eul_wid: uyg-ad

*Δαμάσκιος ὁ Δαμασκηνός* · Damascius of Damascus

# On Principles

*Περὶ Ἀρχῶν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Neoplatonist

1.1.(1t) ΔΑΜΑΣΚΙΟΥ ΔΙΑΔΟΧΟΥ ΑΠΟΡΙΑΙ ΚΑΙ ΛΥΣΕΙΣ ΠΕΡΙ ΤΩΝ ΠΡΩΤΩΝ ΑΡΧΩΝ Πότερον ἐπέκεινα τῶν πάντων ἐστὶν ἡ μία τῶν πάντων ἀρχὴ λεγομένη, ἤ τι τῶν πάντων, οἷον κορυφὴ τῶν ἀπ' αὐτῆς προϊόντων; καὶ τὰ πάντα σὺν αὐτῇ λέγομεν εἶναι, ἢ μετ' αὐτὴν καὶ ἀπ' αὐτῆς; εἰ μὲν γὰρ τοῦτο φαίη τις, πῶς ἂν εἴη τι τῶν πάντων ἐκτός; ὧν γὰρ μηδοτιοῦν ἄπεστι, ταῦτα πάντα ἁπλῶς· ἄπεστι δὲ ἡ ἀρχή· οὐκ ἄρα πάντα ἁπλῶς τὰ μετὰ τὴν ἀρχήν, ἀλλὰ παρὰ τὴν ἀρχήν. Ἔτι δὲ τὰ πάντα πολλὰ βούλεται εἶναι πεπερασμένα· τὰ γὰρ ἄπειρα οὐκ ἂν εἴη πάντα ἀπαρτί· οὐδὲν ἄρ' ἔξω φανεῖται τῶν πάντων· ὅρος γάρ τις ἡ παντότης καὶ ἤδη περίληψις, ἐν ᾗ ἡ μὲν ἀρχὴ πέρας ἐστὶ τὸ ἄνω· τὸ δ' ἀπ' ἀρχῆς ἔσχατον πέρας ἐστὶ τὸ κάτω· πάντα ἄρα μετὰ τῶν περάτων.

1.2 Ἔτι δὲ ἡ ἀρχὴ συντέτακται τοῖς ἀπὸ τῆς ἀρχῆς· ἐκείνων γὰρ ἀρχὴ λέγεταί τε καὶ ἔστι· καὶ τὸ αἴτιον δὴ τοῖς αἰτιατοῖς, καὶ τὸ πρῶτον τοῖς μετὰ τὸ πρῶτον· ὧν δὲ μία σύνταξις πολλῶν ὄντων, ταῦτα πάντα λέγομεν· ὥστε ἐν τοῖς πᾶσι καὶ ἡ ἀρχή, καὶ ὅλως πάντα λέγομεν ἁπλῶς ὅσα καὶ ὁπωσοῦν ἐννοοῦμεν. Ἐννοοῦμεν δὲ καὶ τὴν ἀρχήν· καὶ τοίνυν εἰώθαμεν πᾶσαν λέγειν πόλιν, ἄρχοντα καὶ ἀρχομένους, καὶ πᾶν γένος, τόν τε γεννήτορα καὶ τοὺς γεννηθέντας. Εἰ δὲ πάντα μετὰ τῆς ἀρχῆς, οὐκ ἂν εἴη τι ἡ ἀρχὴ πάντων, συνειλημμένης ἐν τοῖς πᾶσι καὶ τῆς ἀρχῆς· ἡ ἄρα μία τῶν πάντων σύνταξις, ἣν πάντα φαμέν, ἄναρχός ἐστι καὶ ἀναίτιος, ἵνα μὴ ἐπ' ἄπειρον ἀνίωμεν. Ἀλλὰ μὴν δεῖ γε πᾶν ἢ ἀρχὴν εἶναι ἢ ἀπ' ἀρχῆς· καὶ τὰ πάντα ἄρα ἢ ἀρχή ἐστιν, ἢ ἀπ' ἀρχῆς· ἀλλ' εἰ μὲν τοῦτο, οὐκ ἂν εἴη σὺν τοῖς πᾶσιν ἡ ἀρχή, ἀλλ' ἔξω τῶν πάντων, ὡς ἡ ἀρχὴ τῶν ἀπ' αὐτῆς· εἰ δ' ἐκεῖνο, τί ἂν εἴη ἀπὸ τῶν πάντων προϊόν, ὡς ἀπ' ἀρχῆς καὶ ἔξω τῶν πάντων ἐπὶ τὰ κάτω, ὡς τῶν πάντων ἀποτέλεσμα; καὶ τοῦτο γὰρ ἐν τοῖς πᾶσιν· οὐδὲν γὰρ ἀφίησιν ἡ τῶν πάντων ἁπλῶς ἔννοια· τὰ ἄρα πάντα οὔτε ἀρχή, οὔτε ἀπ' ἀρχῆς. Ἔτι δὲ τὰ πάντα ὁμοῦ ἐν πλήθει πῶς ὁρᾶται, καὶ τίνι διακρίσει; καὶ γὰρ τὸ πᾶν οὐκ ἄνευ τούτων ἐννοοῦμεν· πῶς οὖν εὐθὺς διάκρισίς τις καὶ πλῆθος ἐξεφάνη; ἢ οὐ πανταχῇ τὰ πάντα ἐν διακρίσει καὶ πλήθει, ἀλλὰ κορυφὴ μὲν τῶν πολλῶν τὸ ἕν, τῶν δὲ διακεκριμένων τὸ ἡνωμένον μονάς, καὶ τὸ ἓν ἔτι τῆς μονάδος ἁπλούστερον. Ἀλλὰ πρῶτον μὲν καὶ ἡ μονὰς ἅπας ὁ ἀριθμός, εἰ καὶ ἔτι συνεπτυγμένος· πάντα ἄρα οὕτως καὶ ἡ μονάς· ἔπειτα δὲ καὶ τὸ ἓν οὐ τῶν πολλῶν τί ἐστιν· ἢ γὰρ ἂν καὶ συνεπλήρου τὰ πολλά, καθάπερ τῶν ἄλλων ἕκαστον; ἀλλ' ὅσαπέρ ἐστι τὰ πολλὰ κατὰ δή τινα μερισμόν, τοσαῦτα καὶ τὸ ἓν ἐκεῖνο πρὸ τοῦ μερισμοῦ, κατὰ τὸ πάντη ἀμερές· οὐ

γὰρ ἓν ὡς ἐλάχιστον, καθάπερ ὁ Σπεύσιππος ἔδοξε λέγειν· ἀλλ' ἓν ὡς πάντα καταπιόν· τῇ γὰρ ἑαυτοῦ ἁπλότητι πάντα συνανέλυσεν, καὶ ἓν τὰ πάντα ἐποίησεν.

1.3 Διὸ καὶ πάντα ἀπ' αὐτοῦ, ὅ τι πάντα, καὶ αὐτὸ πρὸ τῶν πάντων· ὥσπερ τὸ ἡνωμένον πρὸ τῶν διακεκριμένων, οὕτω τὸ ἓν πρὸ τῶν πολλῶν τὰ πάντα ἐστίν. Ἀλλ' ὅταν πᾶσαν ἡμῶν τὴν ἔννοιαν ἐξαπλώσωμεν εἰς τὰ πάντα, τότε οὐ τὸν αὐτὸν τρόπον πάντα κατηγορήσομεν, ἀλλὰ τριχῶς τοὐλάχιστον, ἑνιαίως τε καὶ ἡνωμένως καὶ πεπληθυσμένως · ἀφ' ἑνὸς ἄρα καὶ πρὸς ἕν, ὡς εἰώθαμεν λέγειν. Εἰ μὲν οὖν πάντα εἴποιμεν συνηθέστερον τὰ ἐν πλήθει καὶ διακρίσει ὑφεστῶτα, τούτων ἀρχὰς θησόμεθα τὸ ἡνωμένον, καὶ ἔτι μειζόνως τὸ ἕν· εἰ δὲ καὶ ταῦτα ὡς πάντα ἐννοήσαιμεν καὶ τοῖς ἄλλοις πᾶσι συλλάβοιμεν κατὰ τὴν πρὸς αὐτὰ σχέσιν τε καὶ σύνταξιν, ὡς εἴρηται καὶ πρότερον, ἐπιζητήσει ἡμῖν ὁ λόγος ἀρχὴν ἑτέραν πρὸ τῶν πάντων, ἣν οὐκ ἄξιον ἔτι πάντα νοεῖν, οὐδὲ συντάττειν τοῖς ἀπ' αὐτῆς. Εἰ γὰρ λέγοι τις ὅτι τὸ ἓν εἰ καὶ πάντα ἐστὶν ὁπωσοῦν, ἀλλὰ καὶ ἓν πρὸ τῶν οὕτω γε πάντων, καὶ μᾶλλον ἓν ἢ πάντα ἐστίν· ἓν μὲν γὰρ καθ' ἑαυτό, πάντα δὲ ὡς αἴτιον πάντων καὶ κατὰ τὴν πρὸς πάντα σύνταξιν, καὶ ἁπλῶς εἰπεῖν δευτέρως, ἓν δὲ πρώτως τό γε ἕν. Ἀλλ' εἰ καὶ τοῦτο λέγοι τις, πρῶτον μὲν διπλόην ἐν αὐτῷ θήσεται, ἡμεῖς δὲ οἱ μερίζοντες καὶ περὶ τὴν ἐκείνου ἁπλότητα διπλασιαζόμενοι καὶ ἔτι πολλαπλασιαζόμενοι, ἐκεῖνο γὰρ τῷ ἓν εἶναι, πάντα ἐστὶ τὸν ἁπλούστατον τρόπον· εἰ δὲ καὶ τοῦτο λέγοι τις, ὅμως ἐξῃρημένην δεῖ εἶναι τὴν τῶν πάντων ἀρχήν, αὐτῶν τῶν πάντων καὶ τῆς ἁπλουστάτης παντότητος καὶ τῆς πάντα καταπιούσης ἁπλότητος, οἵα ἡ τοῦ ἑνός.

1.4 Μαντεύεται ἄρα ἡμῶν ἡ ψυχὴ τῶν ὁπωσοῦν πάντων ἐπινοουμένων εἶναι ἀρχὴν ἐπέκεινα πάντων ἀσύντακτον πρὸς πάντα. Οὐδὲ ἄρα ἀρχήν, οὐδὲ αἴτιον ἐκείνην κλητέον, οὐδὲ πρῶτον, οὐδέ γε πρὸ πάντων, οὐδ' ἐπέκεινα πάντων· σχολῇ γε ἄρα πάντα αὐτὴν ὑμνητέον· οὐδ' ὅμως ὑμνητέον, οὐδ' ἐννοητέον, οὐδὲ ὑπονοητέον· ὅ τι γὰρ ἂν νοήσαιμεν ἢ ἐπινοήσαιμεν ἤτοι τῶν πάντων τί ἐστι, καὶ τοῦτό γε ἀληθέστερον, ἢ διακαθαιρόμενον τὰ πάντα ἐστί, κἂν εἰς τὸ ἁπλούστατον ἀναβαίημεν, ἀναλύοντές τε καὶ ἀναλυόμενοι, ὃ πάντων ἐστὶν περιεκτικώτατον, οἷον ἡ ἐσχάτη περιφέρεια, οὐ τῶν ὄντων, ἀλλὰ καὶ τῶν μὴ ὄντων. Τῶν μὲν γὰρ ὄντων τὸ ἡνωμένον καὶ πάντη ἀδιάκριτον ἔσχατον· πᾶν γὰρ ὂν μικτὸν ἐκ στοιχείων, τῶν δὲ πολλῶν ἁπλῶς τὸ ἕν· τοῦ γὰρ ἑνὸς ἁπλούστερον οὐδὲν ἔχομεν ἐννοεῖν, τοῦ πάντη ἑνὸς καὶ μόνον ἑνός· ὃ καὶ εἰ ἀρχὴν λέγοιμεν καὶ αἴτιον καὶ πρῶτον καὶ ἁπλούστατον, ἐκεῖ ταῦτά τε καὶ πάντα τὰ ἄλλα μόνον κατὰ τὸ ἕν· ἡμεῖς δὲ συνελεῖν οὐ δυνάμενοι μεριζόμεθα περὶ αὐτὸ τὰ ἐν ἡμῖν μεμερισμένα ἐκείνου κατηγοροῦντες, πλὴν ὅτι καὶ ταῦτα ἀτιμάζομεν, ὡς πολλὰ τῷ ἑνὶ μὴ ἐφαρμόζειν. Οὐδὲ ἄρα γνωστόν, οὐδὲ ὀνομαστόν; εἴη γὰρ ἂν καὶ ταύτῃ πολλά· ἢ καὶ ταῦτα ἐν αὐτῷ κατὰ τὸ ἕν· πανδεχὴς γὰρ ἡ τοῦ ἑνὸς φύσις, μᾶλλον δὲ παντοφυής. Καὶ οὐδὲν ὅ τι μὴ ἔστι τὸ ἕν· διὸ πάντα ἀπ' αὐτοῦ οἷον ἐκμηρύεται· καὶ τὸ κυρίως αἴτιόν τε καὶ πρῶτον, ἐκεῖνο καὶ τέλος αὐτὸ καὶ ἔσχατον αὐτὸ θριγκὸς ἀτεχνῶς τῶν πάντων, καὶ τῶν πολλῶν μία φύσις, οὐχ ἡ ἐν αὐτοῖς ἀπ' ἐκείνου, ἀλλ' ἡ πρὸ αὐτῶν γεννητικὴ τῆς ἐν αὐτοῖς, ἡ ἀμερεστάτη κορυφὴ τῶν ὁπώσποτε πάντων, καὶ ἡ μεγίστη περιοχὴ τῶν ὁπώσποτε ὅλων λεγομένων.

1.5 Ἀλλ' εἰ τὸ ἓν πάντων αἴτιον καὶ πάντων περιεκτικόν, τίς ἡ ἐπεκείνα καὶ τούτου ἀνάβασις ἡμῶν; μήποτε γὰρ κενεμβατοῦμεν εἰς αὐτὸ τὸ οὐδὲν ἀνατεινόμενοι· ὁ γὰρ μηδὲ ἕν ἐστι, τοῦτο οὐδέν ἐστι κατὰ τὸ δικαιότατον· πόθεν γὰρ ὅτι καὶ ἔστι τι τοῦ ἑνὸς ἐπέκεινα; ἄλλου γὰρ οὐδενὸς χρῄζει τὰ πολλὰ ἢ τοῦ ἑνός· διὸ μόνον τὸ ἓν αἴτιον τῶν πολλῶν· διὸ καὶ τὸ ἓν πάντως αἴτιον, ὅτι τῶν πολλῶν αἴτιον δεῖ μόνον εἶναι τὸ ἕν· οὔτε γὰρ τὸ οὐδέν (τὸ γὰρ οὐδὲν αἴτιον οὐδενός), οὔτε αὐτὰ τὰ πολλά· ᾗ γὰρ πολλά, ἀσύντακτα καὶ πῶς ἓν αἴτιον ἔσται τὰ πολλά· εἰ δὲ καὶ πολλὰ αἴτια, οὐκ ἀλλήλων διὰ τὸ ἀσύντακτον καὶ διὰ τὸ κύκλῳ· αὐτὸ ἄρα ἑαυτοῦ ἕκαστον αἴτιον· τῶν ἄρα πολλῶν οὐδὲν αἴτιον· ἀνάγκη ἄρα τὸ ἓν εἶναι τῶν πολλῶν αἴτιον, ὃ καὶ τῆς ἐν αὐτοῖς αἴτιον συντάξεως· ὁμόπνοια γάρ τις ἡ σύνταξις καὶ ἡ πρὸς ἄλληλα ἕνωσις. Εἰ δ' οὖν

ταῦτά τις ἀπορούμενος λέγοι ἀρκεῖσθαι τῇ ἀρχῇ τοῦ ἑνὸς καὶ προστιθείη τὸν κολοφῶνα ὡς οὐδὲ ἔννοιαν οὐδὲ ὑπόνοιαν ἔχομεν ἁπλουστέραν τοῦ ἑνός, πῶς οὖν ὑπονοήσομεν ἐπέκεινά τι τῆς ἐσχάτης ὑπονοίας τε καὶ ἐννοίας; εἴ τις ταῦτα φάσκοι, συγγνωσόμεθα μὲν αὐτῷ τῆς ἀπορίας· ἄβατος γὰρ ὡς ἔοικεν καὶ ἀμήχανος ἡ τοιάδε φροντίς. Ἀλλ’ ὅμως ἐκ τῶν ἡμῖν γνωριμωτέρων, ἀνεθιστέον τὰς ἐν ἡμῖν ἀρρήτους ὠδῖνας, εἰς τὴν ἄρρητον οὐκ οἶδα ὅπως εἴπω συναίσθησιν τῆς ὑπερηφάνου ταύτης ἀληθείας· ἐπεὶ γὰρ ἐν τοῖς τῇδε τὸ ἄσχετον πάντη τιμιώτερον τοῦ ἐν σχέσει καὶ τοῦ συντεταγμένου τὸ ἀσύντακτον, ὡς ὁ θεωρητικὸς τοῦ πολιτικοῦ, καὶ ὁ Κρόνος φέρε εἰπεῖν τοῦ δημιουργοῦ, καὶ τὸ ὂν τῶν εἰδῶν, καὶ τὸ ἓν τῶν πολλῶν, ὧν ἀρχὴ τὸ ἕν, οὕτω καὶ ἁπλῶς αἰτίων καὶ αἰτιατῶν καὶ ἀρχῶν ἁπασῶν καὶ ἀρχομένων τὸ πάντα τὰ τοιαῦτα ἐκβεβηκὸς καὶ ἐν οὐδεμιᾷ συντάξει καὶ σχέσει ὑποτιθέμενον, ὡς τῷ λόγῳ φάναι· ἐπεὶ καὶ τὸ ἓν τῶν πολλῶν φύσει προέστηκεν καὶ τὸ ἁπλούστατον τῶν συνθετωτέρων ὁπωσοῦν, καὶ τὸ περιεκτικώτατον τῶν εἴσω περιεχομένων· τόδ’ εἰ θέλεις εἰπεῖν ἐπέκεινα πάσης ἐστὶν καὶ τῆς τοιαύτης ἀντιθέσεως, ἐπέκεινα οὐ τῆς ἐν ὁμοταγέσι μόνον, ἀλλὰ καὶ τῆς ὡς πρώτου καὶ μετὰ τὸ πρῶτον.

1.6 Ἔτι τοίνυν τὸ μὲν ἓν καὶ τὸ ἡνωμένον καὶ τὰ ἀπὸ τούτων πολλὰ καὶ διακεκριμένα, πάντα ἐστίν· ὅσα γὰρ τὰ διακρινόμενα, τοσαῦτα τὸ ἡνωμένον, ἀφ’ οὗ καὶ διακρίνεται· καὶ ὅσα τὰ πολλά, τοσαῦτα τὸ ἕν, ἀφ’ οὗ ἐξελίττεται· ἓν μέντοι οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον ὅτι μετ’ αὐτὸ τὰ πολλά, καὶ οὐκ ἐν αὐτῷ· καὶ ἡνωμένον, ὅτι συναίρεμα τῶν διακρινομένων πρὸ τῆς διακρίσεως· εἴτε οὖν κατὰ τὴν σύνταξιν, εἴτε κατὰ φύσιν τὴν ἑαυτῶν, πάντα ἑκάτερον. Τὰ δὲ πάντα οὐ δύναται πρῶτα εἶναι οὐδὲ ἀρχή, εἰ μὲν κατὰ σύνταξιν, ὅτι καὶ τὰ ἔσχατα σὺν αὐτοῖς, εἰ δὲ τὸ ἓν αὐτῶν μόνον, ὅτι καὶ ἓν καὶ πάντα ὁμοῦ κατὰ τὸ πάντη ἓν (τὸ δὲ πάντη ἐπέκεινα τῶν πάντων οὔπω εὑρήκαμεν), καὶ ὅτι κορυφὴ τῶν πολλῶν τὸ ἕν, ὡς αἴτιον τῶν ἀπ’ αὐτοῦ. Πρὸς δὲ τούτοις, τὸ ἓν ἡμεῖς ἐννοοῦμεν κατὰ τὴν διακαθαιρομένην ὑπόνοιαν εἰς τὸ ἁπλούστατον καὶ περιεκτικώτατον· τὸ δὲ σεμνότατον ἄληπτον εἶναι δεῖ πάσαις ἐννοίαις τε καὶ ὑπονοίαις, ἐπειδὴ καὶ ἐν τοῖς τῇδε τὸ ἀναφεῦγον ἀεὶ πρὸς τὸ ἄνω τὰς ἡμετέρας ἐννοίας τιμιώτερον τοῦ προχειροτέρου, ὥστε τιμιώτατον ἂν εἴη τὸ πάσας ἐκπεφευγὸς τὰς ἡμετέρας ὑπονοίας· εἰ δὲ τοῦτο οὐδέν ἐστιν, ἔστω διττὸν τὸ οὐδέν, τὸ μὲν κρεῖττον τοῦ ἑνός, τὸ δὲ ἐπίταδε· εἰ δὲ κενεμβατοῦμεν ταῦτα λέγοντες, διττὸν καὶ τὸ κενεμβατεῖν, τὸ μὲν ἐκπίπτον εἰς τὸ ἄρρητον, τὸ δὲ εἰς τὸ μηδαμῇ μηδαμῶς ὑπάρχον· ἄρρητον μὲν γὰρ καὶ τοῦτο, ὥς φησι Πλάτων, ἀλλὰ κατὰ τὸ χεῖρον, ἐκεῖνο δὲ κατὰ τὸ κρεῖττον. Εἰ δὲ χρείαν αὐτοῦ τινα ἐπιζητοῦμεν, αὕτη ἐστὶν ἡ πάντων ἀναγκαιοτάτη χρεία τὸ ἐκεῖθεν, ὥσπερ ἐξ ἀδύτου πάντα προϊέναι, ἔκ τε ἀπορρήτου καὶ τὸν ἀπόρρητον τρόπον· οὔτε γὰρ ὡς ἓν προάγει τὰ πολλά, οὔτε ὡς ἡνωμένον τὰ διακρινόμενα, ἀλλ’ ὡς ἀπόρρητον ἀπορρήτως τὰ πάντα ὁμοίως.

1.7 Εἰ δὲ αὐτὰ ταῦτα περὶ αὐτοῦ λέγοντες ὅτι ἀπόρρητον, ὅτι οὐδέν ἐστι τῶν πάντων, ὅτι ἀπερινόητον περιτρεπόμεθα τῷ λόγῳ, εἰδέναι χρὴ ὅτι ταῦτα ὀνόματά ἐστι καὶ ῥήματα τῶν ἡμετέρων ὠδίνων, ὅσαι πολυπραγμονεῖν ἐκεῖνο τολμῶσιν, ἐν προθύροις ἑστηκυιῶν τοῦ ἀδύτου, καὶ οὐδὲν μὲν τῶν ἐκείνου ἐξαγγελουσῶν, τὰ δὲ οἰκεῖα πάθη περὶ αὐτὸ καὶ τὰς ἀπορίας τε καὶ ἀτευξίας ἑαυτῶν μηνυουσῶν, οὐδὲ σαφῶς, ἀλλὰ δι’ ἐνδείξεων, καὶ ταῦτα τοῖς ἐπαΐειν καὶ τούτων δυναμένοις. Οὐ μὴν ἀλλὰ καὶ τὰς ὠδῖνας ὁρῶμεν τὰς ἡμετέρας καὶ περὶ τὸ ἓν ταῦτα πασχούσας, καὶ τὸν ὅμοιον τρόπον ἀδημονούσας τε καὶ περιτρεπομένας· τὸ γὰρ δὴ ἕν, φησὶν ὁ Πλάτων, εἰ ἔστιν, οὐδὲ ἕν ἐστιν· εἰ δ’ οὐκ ἔστιν, οὐδεὶς αὐτῷ λόγος ἁρμόσει, ὥστε οὐδὲ ἀπόφασις, ἀλλ’ οὐδὲ ὄνομα· οὐδὲ γὰρ τοῦτο ἁπλοῦν, οὐδέ τις δόξα, οὐδὲ ἐπιστήμη· οὐδὲ γὰρ αὗται ἁπλαῖ, οὐδὲ αὐτὸς ὁ νοῦς ἁπλοῦς, ὥστε πάντη ἄγνωστόν τε καὶ ἄρρητον τὸ ἕν. Τί οὖν; ἄλλο τι τοῦ ἀρρήτου ἐπέκεινα ἐπιζητοῦμεν; ἢ τάχα μὲν ὁ Πλάτων διὰ μέσου τοῦ ἑνὸς ἀνήγαγεν ἡμᾶς ἀπορρήτως εἰς τὸ νῦν δὴ προκείμενον ἀπόρρητον ἐπέκεινα τοῦ ἑνός· αὐτῇ γε τῇ ἀναιρέσει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἑνός, ὥσπερ τῇ ἀναιρέσει τῶν ἄλλων, εἰς τὸ ἓν περιήγαγεν, ἐπεὶ τὸ ἕν, ὅτι ἐν θέσει τινὶ οἶδε διακαθαιρόμενον, ἐδήλωσεν ἐν τῷ Σοφιστ ῇ, ἀποδείξας αὐτὸ καθ' αὑτὸ προϋπάρχον τοῦ ὄντος. Εἰ δὲ καὶ μέχρι τοῦ ἑνὸς ἀναβὰς ἐσιώπησεν, καὶ τοῦτο Πλάτωνι πρεπῶδες περὶ τῶν πάντη ἀφθέγκτων πάντη σιωπᾶν ἀρχαιοτρόπως· καὶ γὰρ ἦν τῷ ὄντι παρακινδυνευτικώτατος ὁ λόγος ἐκπίπτων εἰς ἰδιώτιδας ἀκοάς· ἀμέλει καὶ τὸν περὶ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ἀνακινήσας περιετράπη καὶ ἐκινδύνευσεν ἐκπεσεῖν εἰς τὸν τῆς ἀνομοιότητος πόντον, μᾶλλον δὲ τῆς ἀνυποστάτου κενότητος.

1.8 Εἰ δὲ αἱ ἀποδείξεις τῷ ἑνὶ οὐχ ἁρμόζουσι, θαυμαστὸν οὐδέν· ἀνθρωπικαὶ γάρ εἰσι καὶ μεμερισμέναι καὶ συνθετώτεραι τοῦ δέοντος. Αὗται γοῦν οὐδὲ τῷ ὄντι ἁρμόζουσι, εἰδητικαί γε οὖσαι, μᾶλλον δὲ οὐδὲ τοῖς εἴδεσι, λογικαὶ οὖσαι· ἢ οὐκ αὐτός ἐστιν ὁ ἐν ἐπιστολαῖς ἀποφηνάμενος ὡς τοῦ εἴδους οὐδέν ἐστι σημαντικὸν παρ' ἡμῖν, οὐ τύπος, οὐκ ὄνομα, οὐ λόγος, οὐ δόξα, οὐκ ἐπιστήμη; νοῦς γὰρ μόνος ἐπιβάλλοι ἂν τοῖς εἴδεσιν, ὃν οὐδέπω ἔχομεν, οἱ διαλέγεσθαι ἀγαπῶντες. Εἰ δ' οὖν καὶ προβαλλοίμεθα νόησιν, ἀλλ' εἰδητικήν, οὐκ ἂν ἐφαρμόσαιμεν τῷ ἡνωμένῳ καὶ ὄντι· εἰ δέ ποτε καὶ τὴν συνῃρημένην προβαλοίμεθα, ἀλλὰ καὶ αὐτὴ πρὸς τὸ ἓν ἀσύγκλωστος καὶ ἀσύμβατος· εἰ δὲ καὶ τὴν ἑνιαίαν καὶ ταύτην εἰς τὸ ἓν αὐτὸ μύσασαν, ἀλλ' αὕτη γε μέχρι τοῦ ἑνὸς ἀναπλοῦται, εἴπερ τις. καὶ ἔστιν τοῦ ἑνὸς γνῶσις. Τοῦτο γὰρ ἡμᾶς περιμενέτω, ὥστε πολλαχῇ τὸ ἄρρητον καὶ ἄγνωστον, ὥστε καὶ τὸ ἓν τοιοῦτον· ἀλλ' ὅμως καὶ νῦν ὧδε ἔχοντες, παραβαλλόμεθα πρὸς τὴν διάκρισιν τῶν τηλικούτων δι' ἐνδείξεων καὶ ὑπονοιῶν, καὶ διακαθαιρόμενοι, πρὸς τὰς ἀσυνήθεις ἐννοίας καὶ δι' ἀναλογίας ἀναγόμενοι καὶ δι' ἀποφάσεων, ἀτιμάζοντες τὰ παρ' ἡμῖν πρὸς ἐκεῖνα καὶ πρὸς τοῦτο, ποδηγούμενοι ἀπὸ τῶν παρ' ἡμῖν ἀτιμωτέρων πρὸς τὰ τιμιώτερα· ταῦτα γὰρ καὶ νῦν ποιοῦντες διετελέσαμεν. Καὶ μήποτε τὸ μὲν πάντη ἀπόρρητον, οὕτως ὡς μηδ' ὅ τι ἀπόρρητον, οὕτως τιθέναι περὶ αὐτοῦ· τὸ δὲ ἓν οὕτως ὡς πᾶσαν σύνθεσιν ἐκφεῦγον λόγου τε καὶ ὀνόματος καὶ πᾶσαν διάκρισιν, ὡς γνωστοῦ ἀπὸ τοῦ γινώσκοντος, ἁλώνης τρόπον ἐπινοούμενον, ἁπλούστατον καὶ περιεκτικώτατον· καὶ οὐχὶ μόνον ἕν, ὡς τὸ ἰδίωμα τοῦ ἑνός, ἀλλ' ὡς πάντα ἓν καὶ πρὸ πάντων ἕν· οὐ μὴν ἓν τὸ τὶ τῶν πάντων.

1.9 Αὗται γὰρ αἱ ὠδῖνες καὶ οὕτω διακαθαίρονται πρὸς τὸ ἁπλῶς ἓν καὶ τὴν μίαν ἀληθῶς τῶν πάντων ἀρχήν· πάντως δ' ὅτι τὸ ἐν ἡμῖν ἓν οὕτως ὑπονοούμενον, ἅτε προσεχέστερον καὶ ἡμῖν συγγενέστερον καὶ ἐκείνου τῷ παντὶ σχεδὸν λειπόμενον, ἑτοιμότερόν ἐστιν εἰς ὑπόνοιαν τὴν τοιαύτην. Ἀπὸ δὲ τοῦ τινός, ὁπωσοῦν τεθέντος, καὶ εἰς τὸ ἁπλῶς ῥᾳδία ἡ μετάβασις· κἂν ἐκείνῳ μηδαμῇ προσβάλλοιμεν, ἀλλὰ καὶ τῷ ἁπλῶς τῷ παρ' ἡμῖν ἐποχούμενοι περὶ τοῦ πρὸ πάντων ὑπονοοῖμεν. Τὸ μὲν δὴ ἓν οὕτω ῥητὸν καὶ οὕτως ἄρρητον· ἐκεῖνο δὲ παντελεῖ σιγῇ τετιμήσθω, καὶ πρότερόν γε παντελεῖ ἀγνοίᾳ τῇ πᾶσαν γνῶσιν ἀτιμαζούσῃ. Φέρε οὖν τὸ δεύτερον αὐτὸ τοῦτο κατίδωμεν ὅπως λέγεται ἄγνωστον εἶναι παντελῶς· εἰ γὰρ τοῦτο ἀληθές, πῶς ταῦτα πάντα περὶ αὐτοῦ διαταττόμενοι γράφομεν; οὐ γὰρ δὴ λογοποιοῦμεν, πολλὰ ληροῦντες περὶ ὧν οὐκ ἴσμεν; Εἰ δέ ἐστιν ἀσύντακτον τῷ ὄντι πρὸς πάντα καὶ ἄσχετον πρὸς πάντα, καὶ οὐδὲν τῶν πάντων, οὐδὲ αὐτὸ τὸ ἕν, αὐτὰ ταῦτα φύσις αὐτοῦ ἐστιν, ἣν ὡς γινώσκοντες διακείμεθα καὶ ἄλλους διατιθέναι σπουδάζομεν. Ἔτι δὲ αὐτὸ τὸ ἄγνωστον αὐτοῦ ἢ γιγνώσκομεν ὅτι ἄγνωστον, ἢ ἀγνοοῦμεν· ἀλλ' εἰ μὲν τοῦτο, πῶς λέγομεν ὅτι πάντη ἄγνωστον; εἰ δὲ γιγνώσκομεν, ταύτῃ ἄρα γνωστόν, ᾗ ἄγνωστον, γιγνώσκεται ὅτι ἄγνωστον; Πρὸς τοίνυν τούτοις οὐκ ἔστιν ἕτερον ἑτέρου ἀποφάσκειν, μὴ εἰδότα ἀφ' οὗ τις ἀποφάσκει· οὐδὲ ἔστι φάναι τοῦτο μὴ εἶναι ἐκεῖνο, παντελῶς ἐκείνου μὴ ἁπτόμενον· ὃ γὰρ οἶδέ τις, ὃ μὴ οἶδεν, οὐκ ἄν τις εἴποι εἶναι, οὐδὲ μὴ εἶναι, φησὶν ὁ ἐν Θεαιτήτῳ Σωκράτη ς. Πῶς οὖν ἡμεῖς ἃ γινώσκομεν ὁπωσοῦν, ἐκείνου ἀποφάσκομεν ὃ ἀγνοοῦμεν παντάπασιν; ὅμοιον γὰρ ὡς εἴ τις ὡς ἐκ γενετῆς ὢν τυφλὸς ἀποφαίνοιτο θερμότητα μὴ ὑπάρχειν χρώματι· ἢ τάχα μὲν καὶ οὗτος ἐρεῖ δικαίως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι τὸ χρῶμα οὐκ ἔστιν θερμόν· τὸ μὲν γὰρ ἁπτόν, καὶ οἶδε τοῦτο διὰ τῆς ἁφῆς, τὸ δὲ χρῶμα πάντη οὐκ οἶδεν, πλὴν ὅτι οὐχ ἁπτόν· οἶδε γὰρ ὅτι οὐκ οἶδεν αὐτό· καὶ γάρ ἐστιν ἁπλῶς ἡ τοιαύτη γνῶσις οὐκ ἐκείνου, ἀλλὰ τῆς οἰκείας ἀγνοίας.

1.10 Καὶ δὴ καὶ ἡμεῖς ἄγνωστον ἐκεῖνο λέγοντες οὐκ αὐτοῦ τι ἀπαγγέλλομεν, ἀλλὰ τὸ περὶ αὐτὸ πάθος ἡμῶν ὁμολογοῦμεν· οὐ γὰρ ἐν τῷ χρώματι ἡ τοῦ τυφλοῦ ἀναισθησία, οὐδὲ γὰρ ἡ τυφλότης, ἀλλ’ ἐν αὐτῷ, καὶ τοίνυν ἐν ἡμῖν ἡ ἀγνωσία ἐκείνου ὃ ἀγνοοῦμεν· καὶ γὰρ ἡ γνῶσις τοῦ γνωστοῦ ἐν τῷ γιγνώσκοντι, οὐκ ἐν τῷ γιγνωσκομένῳ. Εἰ δὲ ὥσπερ ἡ γνῶσις ἐν τῷ γιγνωσκομένῳ ἐστίν, οἷον φανότης αὐτοῦ οὖσα, οὕτω λέγοι τις ἐν τῷ ἀγνοουμένῳ εἶναι τὴν ἄγνοιαν, οἷον σκοτεινότητα οὖσαν αὐτοῦ, ἢ ἀφάνειαν, καθ’ ἣν ἀγνοεῖται καὶ ἀφανές ἐστι τοῖς πᾶσιν, ἀγνοεῖ ὁ ταῦτα λέγων ὅτι στέρησίς ἐστι, καθάπερ ἡ τυφλότης, οὕτω καὶ πᾶσα ἄγνοια, καὶ ὡς τὸ ἀόρατον, οὕτω τὸ ἀγνόητόν τε καὶ ἄγνωστον. Ἐπὶ μὲν οὖν τῶν ἄλλων ἡ τοῦδε στέρησις ἄλλοτι καταλείπει· καὶ γὰρ τὸ ἀσώματον, εἰ καὶ ἀόρατον, ἀλλὰ νοητόν· καὶ τὸ ἀνόητον, ἄλλο τι ὅμως, οἷον εἴ τι τῶν ὁπωσοῦν νοήσει τινὶ ἀκατάληπτον· εἰ δὲ πᾶσαν ἔννοιαν καὶ ὑπόνοιαν ἀναιροῦμεν, καὶ ταύτην εἶναί φαμεν, τὴν παντάπασι ἡμῶν ἀγνοουμένην, περὶ ὃ πᾶν ὄμμα μύομεν, καὶ πάντη μύομεν, τοῦτο ἄγνωστον λέγομεν, οὐχ ὅτι αὐτοῦ τι λέγομεν, οἷον τὸ μὴ πεφυκὸς ὁρᾶσθαι ὄψει, ὡς ἐπὶ τοῦ νοητοῦ, οὐδὲ τὸ μὴ πεφυκὸς νοεῖσθαι τῇ οὐσιώδει καὶ πολλῇ νοήσει, ὡς ἐπὶ τοῦ ἑνός, ἀλλὰ τὸ μηδεμίαν ἑαυτοῦ παρεχόμενον ἀντιλαβήν, μηδὲ ὑποψίαν· οὐδὲ γὰρ μόνον ἄγνωστον αὐτό φαμεν, ἵνα ἄλλο τι ὂν ἔχει φύσιν τὸ ἄγνωστον, ἀλλ’ οὐδὲ ὄν, οὐδὲ ἕν, οὐδὲ πάντα, οὐδὲ ἀρχὴν τῶν πάντων οὐδὲ ἐπέκεινα πάντων, οὐδέ τι ἁπλῶς ἀξιοῦμεν αὐτοῦ κατηγορεῖν. Οὐκοῦν οὐδὲ ταῦτα φύσις αὐτοῦ τὸ οὐδὲν καὶ τὸ ἐπέκεινα πάντων καὶ τὸ ὑπεραίτιον καὶ τὸ ἀσύντακτον πρὸς πάντα, οὐδὲ τὰ τοιαῦτα φύσις αὐτοῦ, ἀλλὰ μόνον ἀναιρέσεις τῶν μετ’ αὐτό.

1.11 Πῶς οὖν λέγομέν τι περὶ αὐτοῦ; ἢ ὅτι τὰ μετὰ ταῦτα γιγνώσκοντες, αὐτῷ τουτῷ τῷ ὁπωσοῦν γιγνώσκειν, ἀτιμάζομεν αὐτὰ πρὸς τὴν θέσιν, ἵνα οὕτως εἴπω, τοῦ πάντη ἀρρήτου. Ὡς γὰρ τό τινος γνώσεως ἐπέκεινα κρεῖττόν ἐστι τοῦ ὑπ’ αὐτῆς αἱρουμένου, οὕτω καὶ τὸ πάσης ὑπονοίας ἐπέκεινα δεῖ εἶναι σεμνότερον, οὐδὲ ὅτι σεμνότερόν ἐστι γιγνωσκόμενον, ἀλλὰ τὸ σεμνότατον ἔχον ὡς ἐν ἡμῖν καὶ ὡς ἡμέτερον πάθημα· καὶ θαῦμα τοῦτο λεγόμενον αὐτῷ τῷ πάντη ἀλήπτῳ ταῖς ἡμετέραις ἐννοίαις· δι’ ἀναλογίας γάρ. Εἰ τὸ πῇ κατὰ τὸ κρεῖττον ἄγνωστον ὑπέρτερόν ἐστι τοῦ πάντη γνωστοῦ, τὸ πάντη ἄρα κατὰ τὸ κρεῖττον ἄγνωστον ὑπέρτατον ἀνάγκη ὁμολογεῖν, κἂν ἐκεῖνο μηδὲ τὸ ὑπέρτατον ἔχῃ, μηδὲ τὸ κράτιστον, μηδὲ τὸ σεμνότατον· ἡμέτερα γὰρ ταῦτα ὁμολογήματα περὶ ἐκείνου ὃ πάντη διαφεύγει τὰς ἡμετέρας ἐννοίας τε καὶ ὑπονοίας· τῷ γὰρ μηδὲν ὑπονοεῖν αὐτῷ τούτῳ ὁμολογοῦμεν εἶναι αὐτὸ θαυμασιώτατον· εἰ γάρ τι ὑπενοοῦμεν, ἐζητοῦμεν καὶ ἄλλο πρὸ τῆς ὑπονοίας· καὶ ἤτοι ἐπ’ ἄπειρον, ἢ ἀνάγκη ἐν τῷ παντάπασιν ἀπορρήτῳ στῆναι. Ἆρα οὖν ἀποδείκνυμέν τι περὶ ἐκείνου, καὶ ἔστιν ἐκεῖνο ἀποδεικτόν, ὅπερ οὐδὲ ὑπονοητὸν εἶναι ἀξιοῦμεν; ἢ ταῦτα μὲν λέγοντες ἀποδείκνυμεν καὶ περὶ ἐκείνου, ἀλλ’ οὐκ ἐκεῖνο, οὐδὲ τὸ ἀποδεικτὸν ἐν ἐκείνῳ· οὐδὲ γὰρ ἄλλο τι οὐδὲ ἐκεῖνό ἐστιν ἐν αὐτῷ, οὐδὲ αὐτό, ἀλλὰ τὴν ἡμετέραν ἀποδείκνυμεν περὶ αὐτὸ ἄγνοιάν τε καὶ ἀφασίαν, καὶ αὕτη ἐστὶ τὸ ἀποδεικτόν. Τί οὖν; οὐ δοξάζομεν περὶ αὐτοῦ ταῦτα ἃ λέγομεν; εἰ δέ ἐστιν δόξα αὐτοῦ, καὶ δοξαστόν ἐστιν· ἢ ὅ τι οὐκ ἔστι, δοξάζομεν; καὶ ἀληθής γε αὕτη ἡ δόξα, φησὶν Ἀριστοτέλη ς.

1.12 Οὐκοῦν εἰ ἀληθὴς ἡ δόξα, καὶ πρᾶγμά ἐστιν, ᾧ ἐφαρμόζουσα ἡ δόξα γίνεται ἀληθής. Τῷ γὰρ εἶναι τὸ πρᾶγμα καὶ ἡ δόξα ἀληθεύει· καίτοι ἐκεῖνο πῶς ἂν εἴη, ἢ πῶς ἀληθὲς ὅ γε ἄγνωστόν ἐστι παντελῶς; ἢ τόγε μὴ εἶναι αὐτοῦ καὶ τὸ μὴ γνωστόν, τοῦτο ἀληθές, ὡς τὸ ἀληθῶς ψεῦδος· ἀληθὲς γὰρ ὅ τι ψεῦδος· ἢ ταῦτα μὲν ἐπὶ τῶν στερήσεων συνακτέον καὶ τοῦ πῇ μὴ ὄντος, ἐφ’ ὧν παραπολαύειν ἐστὶ τῆς τοῦ εἴδους ὑποστάσεως τὴν ἔκπτωσιν, ὡς τοῦ φωτὸς τὴν τοῦ φωτὸς ἀπουσίαν, ἣν σκιὰν καλοῦμεν· μὴ γὰρ ὄντος φωτός, οὐδὲ σκιά τις· ἐπὶ δὲ τοῦ μηδαμῇ μηδαμῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄντος οὐδὲν τῶν ὄντων ὁπωσοῦν προσεῖναι δυνατόν, ὥς φησι Πλάτω ν· οὐδὲ ἄρα τὸ μὴ ὂν οὐδὲ στέρησιν ὅλως, ἀλλὰ καὶ τὸ μηδαμῇ μηδαμῶς ἄκυρον τῆς αὐτοῦ σημασίας· ὂν γὰρ τοῦτο καὶ ἡ σημασία τῶν ὄντων τι καὶ τὸ δοξαστόν γε ὄν, κἂν ὅτι μὴ ἔστι δοξάζῃ, μηδαμῶς, ἀλλ' αὐτὸ ὅμως τὸ δοξαστὸν ὂν τῶν ὄντων. Διόπερ ἄμεινον ὁ Πλάτων ἄρρητον καὶ ἀδόξαστον εἶναί φησι τὸ μηδαμῇ μηδαμῶς ὂν κατὰ τὸ χεῖρον, ὡς ἡμεῖς ἐκεῖνο κατὰ τὸ κρεῖττον· ἀλλὰ γὰρ δοξάζομεν ὅ τι ἀδόξαστον, ᾗ περιτρέπεται, φησίν, ὁ λόγος, καὶ τῷ ὄντι οὐδὲ δοξάζομεν. Τί οὖν; οὐκ οἰόμεθα καὶ πειθόμεθα τοῦτο οὕτως ἔχειν; ἢ τάγε ἡμέτερα πάθη περὶ ἐκεῖνο, ὡς εἴρηται πολλάκις· ἀλλ' ἔχομεν ἐν ἡμῖν τοῦτο τὸ δόξασμα, οὐκοῦν κενόν, ὡς τοῦ κενοῦ καὶ τοῦ ἀπείρου. Ὥσπερ οὖν τούτων οὐκ ὄντων δόξας ἀναλαμβάνομεν, ὡς ὄντων, φαντασιώδεις καὶ πεπλασμένας, ἐπεὶ καὶ τὸν ἥλιον ποδιαῖον δοξάζομεν, οὐκ ὄντα τηλικοῦτον, οὕτως εἴ τι δοξάζομεν ἢ περὶ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ἢ περὶ οὗ ταῦτα γράφομεν, ἡμέτερον τὸ δόξασμα καὶ ἐν ἡμῖν κενεμβατοῦν· ὃ καὶ αἱροῦντες οἰόμεθα ἐκεῖνο αἱρεῖν, τόδ' ἐστὶν οὐδὲν πρὸς ἡμᾶς, οὕτως ἐκβέβηκε τὴν ἡμετέραν ἔννοιαν. Πῶς οὖν ἀποδεικτὸν τόγε ὅσον ἐν ἡμῖν συνίσταται περὶ ἐκεῖνο ἀγνόημα; πῶς γὰρ ἐκεῖνο ἄγνωστον λέγομεν; ἑνὶ μὲν λόγῳ τῷ ῥηθέντι, ὅτι ἀεὶ τὸ ὑπὲρ τὴν γνῶσιν τιμιώτερον εὑρίσκομεν· ὥστε τὸ ὑπὲρ ἅπασαν γνῶσιν εἴπερ ἦν εὑρετόν, εὑρέθη ἂν καὶ αὐτὸ τιμιώτατον· ἀρκεῖ δὲ πρὸς τὴν ἀπόδειξιν τὸ μηδ' εὑρετὸν εἶναι αὐτό· ἑτέρῳ δὲ λόγῳ, ὅτι ὑπὲρ πάντα· ὅτι δὲ ἦν ὁπωσοῦν γνωστόν, ἦν ἂν καὶ αὐτὸ ἐν τοῖς πᾶσιν· ἃ γὰρ γινώσκομεν, ταῦτα πάντα φαμέν, καὶ ἦν ἄν τι κοινὸν αὐτῷ πρὸς πάντα, ὡς αὐτὸ τὸ γνῶστον· οἷς δέ ἐστι κοινόν τι, τούτων μία σύνταξις, ὥστε καὶ ταύτῃ μετὰ πάντων ἐκεῖνο· καὶ ταύτῃ ἄρα ἄγνωστον αὐτὸ εἶναι δεῖ· τρίτον δ' ὅτι ἔνεστι τοῖς οὖσι τὸ ἄγνωστον ὥσπερ τὸ γνωστόν· εἰ καὶ πρός τι, ὅμως ἔνεστιν.

1.13 Ὡς οὖν τὸ αὐτὸ πρός τι μέγα καὶ μικρὸν λέγομεν, οὕτω καὶ γνωστὸν καὶ ἄγνωστον πρὸς ἄλλο καὶ ἄλλο, καὶ ὡς τὸ αὐτὸ μετέχον τῶν δύο εἰδῶν μικροῦ καὶ μεγάλου, οὕτως ἅμα ἐστὶ μέγα καὶ μικρόν, οὕτω καὶ ἅμα τοῦτο τοῦ γνωστοῦ μετασχὸν καὶ τοῦ ἀγνώστου ἑκάτερόν ἐστιν· καὶ ὡς τὸ γνωστὸν προϋπάρχει, καὶ τὸ ἄγνωστον ἀνάγκη προϋπάρχειν, ἄλλως τε καὶ εἰ κρεῖττον εἴη τοῦ γνωστοῦ, ὡς τῇ αἰσθήσει τὸ νοητὸν ἄγνωστον, τῷ δὲ νῷ γνωστόν· οὐ γὰρ ἂν εἴη τὸ κρεῖττον στέρησις εἴδους ὄντος τοῦ χείρονος, ἄλλως τε καὶ τῷ νοητῷ ὑπάρχον. Πᾶσα γὰρ ἡ ἀπουσία καὶ ἡ τοιαύτη στέρησις ἐν ὕλῃ ἐστὶν ἢ ἐν ψυχῇ· ἐν νῷ δὲ πῶς ἂν εἴη, ἐν ᾧ πάντα πάρεστιν; ἐν δὲ τῷ νοητῷ πώς ἐστι μᾶλλον, εἰ μίαν ἄρα στέρησιν καλοῖμεν κατὰ τὸ κρεῖττον, ὡς τὸ μὴ εἶδος, ὅπερ ἐστὶν ὑπερείδεον, καὶ τὸ μὴ ὄν, ὅπερ ἐστὶν ὑπερούσιον, καὶ τὸ μηδέν, ὅπερ ἐστὶ τὸ ὡς ἀληθῶς ἄγνωστον κατὰ τὴν πάντων ὑπεροχήν. Εἰ τοίνυν τὸ ἓν ἔσχατόν ἐστι γνωστόν, τῶν ὁπώς ποτε γνωριζομένων ἢ ὑπονοουμένων, καὶ τὸ τοῦ ἑνὸς ἐπέκεινα τὸ πρώτως ἐστὶ καὶ πάντῃ ἄγνωστον, ὅπερ οὕτως ἐστὶν ἄγνωστον, ὡς μηδὲ τὸ ἄγνωστον ἔχειν φύσιν, μηδὲ ὡς ἀγνώστῳ προσβάλλειν ἡμᾶς, ἀγνοεῖν δὲ καὶ εἰ ἄγνωστον. Παντελὴς γὰρ ἄγνοια περὶ αὐτό· καὶ οὔτε ὡς γνωστόν, οὔτε ὡς ἄγνωστον ἐκεῖνο γιγνώσκομεν. Διὸ καὶ περιτρεπόμεθα πανταχῇ ὡς κατὰ μηδὲν αὐτοῦ ἐφαπτόμενοι, ἅτε καὶ οὐδενὸς ὄντος, μᾶλλον δὲ μηδὲ τούτου ὄντος, τὸ οὐδέν. Οὐκοῦν τὸ μηδαμῇ μηδαμῶς ὄν ἐστιν ἢ ἐπέκεινα τούτου, εἴπερ τοῦτο μὲν τοῦ ὄντος ἀπόφασις, τὸ δὲ καὶ τοῦ ἑνός, οἷον τὸ οὐδέν· ἀλλὰ τὸ οὐδὲν κενόν ἐστι καὶ πάντων ἔκπτωσις. Οὐχ οὕτω δὲ ἐννοοῦμεν περὶ τοῦ ἀρρήτου; ἢ τὸ οὐδὲν διττόν, τὸ μὲν ἐπέκεινα, τὸ δὲ ἐπίταδε· καὶ γὰρ τὸ ἓν διττόν, τὸ μὲν ἔσχατον, οἷον τὸ τῆς ὕλης, τὸ δὲ πρῶτον, οἷον τὸ τοῦ ὄντος πρεσβύτερον· ὥστε καὶ τὸ οὐδέν, τὸ μὲν ὡς οὐδὲ τὸ ἔσχατον ἕν, τὸ δὲ ὡς οὐδὲ τὸ πρῶτον.

1.14 Ταύτῃ ἄρα καὶ τὸ ἄγνωστόν τε καὶ ἄρρητον διττόν, τὸ μὲν ὡς οὐδὲ τὸ ἔσχατον ὑπονοητόν, τὸ δὲ ὡς οὐδὲ τὸ πρῶτον. Ἆρα οὖν ὡς ἡμῖν ἄγνωστον αὐτὸ τίθεμεν; ἢ τοῦτο μὲν οὐδὲν παράδοξον, εἴη δ' ἄν, εἰ θέμις εἰπεῖν, καὶ τῷ πολυτιμήτῳ νῷ ἄγνωστον· πᾶς γὰρ νοῦς εἰς τὸ νοητὸν ὁρᾷ· τὸ δὲ νοητὸν ἢ εἶδός ἐστιν ἢ ὄν. Ἀλλὰ μήποτε ἡ θεία γνῶσις αὐτὸ γινώσκει καὶ ταύτῃ γνωστόν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστι τῇ ἑνιαίᾳ καὶ ὑπερουσίῳ. Ἀλλ’ αὕτη τῷ ἑνὶ ἐπιβάλλει· τὸ δὲ ἓν ἄρα καὶ τοῦ ἑνὸς ἐπέκεινα· ὅλως δὲ εἰπεῖν, εἰ γινώσκοιτο, καὶ ἐκεῖνο μετὰ τῶν ἄλλων ἔσται, καὶ αὐτὸ τῶν πάντων. Κοινὸν γὰρ αὐτῷ καὶ τοῖς ἄλλοις ἔσται τὸ γνωστοῖς εἶναι, καὶ συντετάξεται τοῖς πᾶσι κατὰ τοσοῦτον. Ἔτι δέ, εἰ γνωστόν, περιλήψεται αὐτὸ ἡ γνῶσις ἥγε θεία· ὁριεῖ ἄρα· πᾶς δὲ ὅρος ἐπ’ ἔσχατον ἀναβαίνει τὸ ἕν· ἐκεῖνο δὲ ὑπὲρ τὸ ἕν· ἀπερίληπτον ἄρα καὶ ἀόρατον πάντη· ὥστε καὶ γνώσει πάσῃ ἄγνωστον ἄρα, καὶ τῇ θείᾳ γνώσει. Πρὸς δὲ τούτοις ἡ γνῶσις τῶν γιγνωσκομένων ἐστὶν ὡς ὄντων ἢ ὑπαρχόντων, ἢ 〈τοῦ〉 ἑνὸς μετεχόντων, τὸ δ’ ἐπέκεινα τούτων· τὸ δὲ γνωστὸν πρὸς τὴν γνῶσιν καὶ τὸ γιγνῶσκον· ἕξει ἄρα καὶ ἐκεῖνο σύνταξίν τινα καὶ σχέσιν πρὸς τὰ τοιαῦτα. Ἔτι καὶ τὸ ἓν κινδυνεύει ἄγνωστον εἶναι, εἴπερ δεῖ ἄλλο τὸ γιγνῶσκον εἶναι καὶ τὸ γιγνωσκόμενον, κἂν ἐν τῷ αὐτῷ ᾖ ἑκάτερον, ὥστε τὸ ἓν ἑαυτό γε οὐκ ἂν γνοίη, τό γε ὄντως ἕν· οὐ γὰρ ἔχει τινὰ διπλόην τὸ ἕν. Οὐκ ἔσται ἄρα ἐν αὐτῷ γιγνῶσκον καὶ γιγνωσκόμενον· οὐδὲ ἄρα θεὸς κατά γε τὸ ἓν αὐτὸ μόνον ἑστώς, καὶ τῷ ἑνὶ συναπτόμενος τῷ ἁπλῶς, κατὰ διπλόην συναφθήσεται· πῶς γὰρ ἂν συναφθείη τῷ ἁπλῷ τὸ διπλοῦν; Εἰ δὲ τῷ ἑνὶ τὸ ἓν γνοίη, ἔσται τὸ μὲν γιγνῶσκον, τὸ δὲ γιγνωσκόμενον ἕν, καὶ ἑκάτερον ἐπιδέξεται ἡ τοῦ ἑνὸς φύσις, μέγα οὖσα καὶ ἕν, ὥστε οὐχ ὡς ἕτερον ἑτέρῳ συναφθήσεται, ὡς γνωστῷ γνωστικόν, ἓν μόνον αὐτὸ τοῦτο οὖσα, ὥστε οὐδὲ κατὰ γνῶσιν. Ἀλλὰ τοῦτο μὲν ὅπως ἔχει περὶ τὸ ἕν, εἰσαῦθις· πολλῷ δὴ οὖν τόγε μηδὲ ἓν ἄγνωστόν ἐστι· καλῶς γὰρ καὶ ὁ Πλάτων ἀδύνατον εἶναί φησι γιγνώσκειν μὲν φάναι, γιγνώσκειν δὲ μηδέν, ἀλλ’ ἢ τὸ ἔσχατον γνωστόν, τόγε ἕν, οὐδὲν ἴσμεν τι τοῦ ἑνὸς ἐπέκεινα· ὥστε μάτην ταῦτα ῥαψῳδοῦμεν. Ἢ ταῦτα ἃ ἴσμεν εἰδότες, ἴσμεν καὶ τοῦτο αὐτῶν ὅτι ἀνάξιά ἐστιν, εἰ θέμις εἰπεῖν, τῆς πρώτης ὑποθέσεως, ἐπεὶ καὶ τὰ νοητὰ εἴδη μήπω εἰδότες, ἀτιμάζομεν τὰ ἐν ἡμῖν συνιστάμενα ἐκείνων εἴδωλα, τῆς ἐκείνων φύσεως ἀμερίστου οὔσης καὶ αἰωνίου, τούτων δὲ μεριστῶν ἐν ἡμῖν γιγνομένων καὶ πολλαχῇ μεταβαλλομένων, ἔτι δὲ μειζόνως τὸ συναίρεμα τῶν εἰδῶν καὶ γενῶν ἀγνοοῦντες· ἔχοντες δὲ ἐκείνου τὸ εἴδωλον, συναίρεμά γε ὂν τῶν ἐν ἡμῖν διακεκριμένων γενῶν τε καὶ εἰδῶν, τοιοῦτον μὲν εἶναι τὸ ὂν ὑπονοοῦμεν, οὐ τοῦτο δέ, κρεῖττον δέ τι καὶ τὸ μάλιστα ἡνωμένον.

1.15 Ἤδη δὲ καὶ τὸ ἓν ἐννοοῦμεν, οὐ συναιροῦντες, ἀλλὰ ἀναπλοῦντες τὰ πάντα εἰς ἐκεῖνο· καὶ ἐν ἡμῖν ἡ ἁπλότης αὕτη συνίσταται πρὸς ἓν ἡμῖν πάντα, πολλοῦ δέουσα τῆς παντελοῦς ἅπτεσθαι ἐκείνης· τὸ γὰρ ἐν ἡμῖν ἓν καὶ τὸ ἁπλοῦν ἥκιστα τοῦτό ἐστιν ὃ λέγεται, πλὴν ὅτι δεῖγμά ἐστιν τῆς φύσεως ἐκείνης. Οὕτω δὴ καὶ πᾶν τὸ ὁπωσοῦν γνωστὸν καὶ ὑπονοητὸν λαβόντες ἐν τῷ νῷ, μέχρι καὶ τοῦ ἑνὸς ἀξιοῦμεν, εἰ δεῖ φθέγγεσθαι τὰ ἄφθεγκτα καὶ ἐννοεῖν τὰ ἀνεννόητα. Ἀξιοῦμεν ὅμως ὑποτίθεσθαι τὸ ἀσύμβατον πρὸς πάντα καὶ ἀσύντακτον καὶ οὕτως ἐξῃρημένον, ὥστε μηδὲ τὸ ἐξῃρημένον ἔχειν κατ’ ἀλήθειαν· ἐξῄρηται γὰρ ἀεί τινος τόγε ἐξῃρημένον καὶ οὐ πάντη ἐστὶν ἐξῃρημένον, ἅτε σχέσιν ἔχον πρὸς τὸ οὗ ἐξῄρηται, καὶ ὅλως ἐν προηγήσει τινὶ σύνταξιν. Εἰ οὖν μέλλοι τῷ ὄντι ἐξῃρημένον ὑποκεῖσθαι, μηδ’ ἐξῃρημένον ὑποκείσθω· οὐ γὰρ ἐπαληθεύει τῷ ἐξῃρημένῳ τὸ οἰκεῖον ὄνομα κατὰ ἀκρίβειαν· ἅμα γὰρ ἤδη καὶ συντεταγμένον, ὥστε καὶ τοῦτο αὐτοῦ ἀποφῆσαι ἀνάγκη· ἀλλὰ καὶ ἡ ἀπόφασις λόγος τις, καὶ τὸ ἀποφατὸν πρᾶγμα, τὸ δὲ οὐδὲν οὐδὲ ἄρα ἀποφατόν, οὐδὲ λεκτὸν ὅλως, οὐδὲ γνωστὸν ὁπωσοῦν· ὥστε οὐδὲ ἀποφῆναι τὴν ἀπόφασιν δυνατόν. Ἀλλὰ ἡ πάντη περιτροπὴ τῶν λόγων καὶ τῶν νοήσεων αὕτη ἐστὶν ἡ ἐμφανταζομένη ἡμῖν ἀπόδειξις οὗ λέγομεν· καὶ τί πέρας ἔσται τοῦ λόγου, πλὴν σιγῆς ἀμηχάνου καὶ ὁμολογίας τοῦ μηδὲν γιγνώσκειν, ὧν μηδὲ θέμις, ἀδυνάτων ὄντων, εἰς γνῶσιν ἐλθεῖν; Ἆρα οὐκ ἄν τις καὶ τοῦτο ἐπιζητήσειε τοιούτοις λόγοις παραβαλλόμενος; εἰ γὰρ ἀπὸ τῶν τῇδε περὶ ἐκείνου, τί λέγομεν; ἐπειδὴ ἐν τούτοις ἑκασταχοῦ ἡ μονὰς ἡγεῖταί τινος οἰκείου ἀριθμοῦ (μία γὰρ ψυχὴ καὶ πολλαὶ ψυχαί, καὶ εἷς νοῦς καὶ πολλοὶ νόες, καὶ ἓν τὸ ὂν καὶ πολλὰ ὄντα, καὶ ἑνὰς μία καὶ πολλαὶ ἑνάδες), οὕτω δήπουθεν ἀπαιτήσει ὁ λόγος καὶ ὂν ἀπόρρητον καὶ πολλὰ ἀπόρρητα, καὶ ἔδει γε τὸ ἀπόρρητον γόνιμον εἶναι ἀπορρήτως εἰπεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.16 Γεννήσει ἄρα πλῆθος οἰκεῖον; ἢ ταῦτα καὶ τὰ τοιαῦτα τῶν ἀπορημάτων ἐπιλαθομένων ἐστὶ τῶν προειρημένων· οὐδὲν γὰρ ὅ τι ἐκείνῳ κοινὸν πρὸς τὰ τῇδε οὐδ’ ἂν εἴη τι αὐτῷ τῶν λεγομένων καὶ νοουμένων καὶ ὑπονοουμένων· οὐδὲ ἄρα τὸ ἓν οὐδὲ τὰ πολλά, οὐδὲ τὸ γόνιμον ἢ παράγωγον ἢ ὁπώς ποτε αἴτιον, οὐδέ τις ἀναλογία, οὐδὲ ὁμοιότης· οὐκ ἄρα ὡς τὰ τῇδε, καὶ ἐκεῖνο ἢ ἐκεῖνα· μᾶλλον δὲ οὐδὲ ἐκεῖνο ῥητέον, οὐδὲ ἐκεῖνα, οὐδὲ ὅτι ἕν, οὐδὲ ὅτι πολλά· μάλιστα μὲν ἡσυχίαν ἄγειν τῷ ἀπορρήτῳ μένοντας ἀδύτῳ τῆς ψυχῆς, οὐδὲ προϊόντας. Εἰ δὲ ἄρα ἀνάγκη τι ἐνδείκνυσθαι, ταῖς ἀποφάσεσιν τούτων χρηστέον, ὅτι οὐδὲ ἓν οὐδὲ πολλά, οὐδὲ γόνιμον οὐδὲ ἄγονον, οὔτε αἴτιον οὔτε ἀναίτιον, καὶ ταύταις μέντοι ταῖς ἀποφάσεσιν ἐπ’ ἄπειρον ἀτεχνῶς οὐκ οἶδα ὅπως περιτρεπομέναις. Οὐκοῦν τὸ μηδαμῇ μηδαμῶς 〈ὂν〉 προφερώμεθα, ταῦτα ληροῦντες. Ἐφαρμόσει γὰρ καὶ ἐκείνῳ πάντα ταῦτα λεγόμενα καὶ αὕτη γε ἐπὶ πᾶσιν ἡ περιτροπή, καθάπερ ἡμᾶς καὶ ὁ Ἐλεάτης διδάσκει φιλόσοφο ς. Ἢ τοῦτο μὲν οὐ χαλεπὸν διαλῦσαι· καὶ εἴρηται πρότερον ὅτι τοῦτο μὲν κατὰ τὸ χεῖρον, ἐκεῖνο δὲ ὑποτίθεται κατὰ τὸ κρεῖττον· καὶ γὰρ τὰ ἀποφασκόμενα οὐ τὸν αὐτὸν ἑκατέρου τρόπον ἀποφάσκεται, ἀλλ’ ἄνω μὲν χείρονα κρείττονος, εἰ θέμις εἰπεῖν, κάτω δὲ ὡς κρείττονα χείρονος, εἰ δυνατὸν εἰπεῖν. Καὶ γὰρ καὶ τῆς ὕλης καὶ τοῦ ἑνὸς ἀποφάσκομεν, ἀλλὰ τὸν διχῇ τοῦτον εἰρημένον τρόπον· τοῦτο μὲν οὖν, ὅπερ ἔφην, εὐδιάλυτον, ἐκεῖνο δὲ ἤδη καρτερώτερον, εἰ τὸ μηδαμῇ μηδαμῶς ὂν ἀπόπτωσίς ἐστι τοῦ ὄντος, ἥγε παντελής, ἐπέκεινα δὲ τοῦ ὄντος τὸ ἕν, καὶ ἔτι μᾶλλον τὸ ἀπόρρητον. Περισχεθήσεται ἄρα τὸ μηδαμῶς ὂν ὑπὸ τοῦ ἑνὸς ὑπερεκτεινομένου εἰς τὸ ἐπίταδε, καὶ ἔσται ἓν καὶ ἔτι ἀπόρρητον, ὅτι ἐπίταδε καὶ τοῦ ἑνὸς τὸ ἀπόρρητον, ὡς ἐπέκεινα. Ἢ εἰ μὲν στέρησις τοῦ ὄντος ἐστί, τοῦτο δὴ τὸ μηδαμῶς ὂν λεγόμενον πάσχοι ἂν ταῦτα· καὶ οὐδὲν θαυμαστόν· ἡ γὰρ ὕλη μὴ ὄν ἐστι παντελῶς, ὅταν ἑστήκῃ θεωρουμένη κατὰ τὸ ἕν, ἐκεῖ τε γὰρ τὸ ἓν τὸ ὑπὲρ τὸ ὂν καὶ ἐνθάδε μετὰ τὸ ὄν, καὶ οὐδὲν ἄτοπον εἰ μετέχοι καὶ τοῦ ἀπορρήτου· εἰ δὲ οὕτω λέγεται μηδαμῶς ὂν μηδαμῇ, ὡς οὔτε ὄν, οὔτε ἕν, οὔτε ἀπόρρητον τιθέμενον, οὔτε καταφατικῶς, οὔτε ἀποφατικῶς, οὔτε κατὰ περιτροπήν, οὔτε ἀντιφατικῶς, οὔτε ὁπωσοῦν ἄλλως οὐδαμῇ οὐδαμῶς (περὶ γὰρ τοιούτου καὶ ὁ Ἐλεάτης διελέγετο ξένο ς), τοῦτο δὴ πάντων ἔκπτωσίς ἐστι τῶν ὑπονοουμένων, καὶ ὁπωσοῦν, αὐτό γε δήπου τὸ μηδ’ ὁτιοῦν.

1.17 Τὸ τοίνυν ἀπόρρητον ὡς ἀληθῶς οἷον θριγκὸς τῷ ῥητῷ παντὶ περιβέβληται, ἄνωθέν τε ὑπερέχον καὶ κάτωθεν ἕδρα πᾶσιν ὑποκείμενον; ἢ οὐδὲ τοῦτο πρέψει ἐκείνῳ λεγόμενον· οὔτε γὰρ ἄνωθεν, οὔτε κάτωθεν, οὔτε τι πρῶτον αὐτοῦ, οὐδὲ ἔσχατον· οὐδὲ γὰρ πρόοδος· οὐδὲ ἄρα θριγκός ἐστι πάντων, οὐδὲ περιέχει πάντα, οὐδὲ εἴσω αὐτοῦ τὸ ῥητόν, οὐδὲ αὐτὸ τὸ ἕν. Ἆρα οὐδὲ ἥκει τι ἀπ’ αὐτοῦ εἰς τὰ τῇδε; ἐπὶ γὰρ τούτοις τοῦτο ζητητέον· καὶ πῶς οὐκ ἂν ἥκοι, εἴπερ ἀπ’ αὐτοῦ τὰ πάντα ἐστὶν ὅτῳ δὴ τρόπῳ; ἀφ’ οὗ γὰρ ἕκαστον πρόεισι, καὶ μετέχει αὐτοῦ, εἰ μηδὲν ἄλλο τοῦτο, ὅ ἐστιν, ἔχον ἐκεῖθεν καὶ ἀναπνέον τὴν οἰκείαν ἀρχὴν καὶ εἰς ἐκείνην ἐπιστρεφόμενον, ὅσον δύναται· τί γὰρ δὴ καὶ κωλύσει ἐκεῖνο διδόναι τι ἑαυτοῦ τοῖς ἀπ’ αὐτοῦ; τί γὰρ ἄλλο μέσον; πῶς δὲ οὐκ ἀναγκαῖον ἀεὶ τὸ δεύτερον ὅτι ἐγγυτέρω εἶναι τοῦ τρίτου, πρὸς τὴν μίαν ἀρχήν, καὶ τοῦ τετάρτου τὸ τρίτον, εἰ δὲ τοῦτο, καὶ ἧττον αὐτῆς ἐκφοιτᾶν, εἰ δὲ τοῦτο, καὶ μᾶλλον ἐν τῷ ὅρῳ μένειν ἐκείνης τῆς φύσεως, εἰ δὲ τοῦτο, καὶ μᾶλλον ὁμοιῶσθαι πρὸς αὐτήν, ὥστε καὶ ἐπιτήδειον εἶναι πρὸς τὸ μετέχειν αὐτῆς, ὥστε καὶ μετέχειν; Πῶς δ’ ἂν ἡμεῖς ταῦτα περὶ αὐτῆς ὑπονοοῦμεν, καὶ ὅπως δήποτε, εἰ μή τι καὶ ἦν ἐν ἡμῖν ἴχνος ἐκείνης, οἷον πρὸς αὐτὴν ἐπειγόμενον; Μήποτε οὖν καὶ ῥητέον, ἀπόρρητον οὖσαν, ἀπορρήτου μεταδιδόναι τοῖς πᾶσι μεθέξεως, καθ’ ἣν ἔστι τι καὶ ἐν ἑκάστῳ ἀπόρρητον, ὥσπερ τοῦτο ὁμολογοῦμεν ἄλλα ἄλλων ἀπορρητότερα εἶναι φύσει, τὸ μὲν ἓν τοῦ ὄντος, τὸ δὲ ὂν τῆς ζωῆς, τὴν δὲ ζωὴν τοῦ νοῦ καὶ ἀεὶ ἑξῆς, ἀνὰ τὸν αὐτὸν λόγον, μᾶλλον δὲ τὸν ἀντίστροφον ἀπὸ τῆς ὕλης ἄχρι τῆς λογικῆς οὐσίας, ταῦτα μὲν κατὰ τὸ χεῖρον, ἐκεῖνα δὲ κατὰ τὸ κρεῖττον, εἰ θέμις εἰπεῖν. Ἢ εἴ τις ὑποθοῖτο ταῦτα, ποιήσει καὶ ἐκείνου πρόοδον καὶ τάξιν τινὰ τῶν προελθόντων ἀπόρρητον, καὶ πάντα

ὅσα ῥητὰ καὶ εἰς τὸ ἀπόρρητον ἀνοίσομεν, ἅτε πανταχοῦ τῷ ῥητῷ συνδιῃρημένον, καὶ τρεῖς ἄρα μονάδας καὶ τρεῖς ἀριθμούς, ἀλλ’ οὐκέτι δύο ποιήσομεν, τὸν οὐσιώδη, τὸν ἑνιαῖον, τὸν ἀπόρρητον, καὶ οὕτω γε θησόμεθα, οὗ πρόσθεν ἀπέγνωμεν ἓν καὶ πολλὰ ἐν τῷ ἀπορρήτῳ, καὶ πρώτων τάξιν καὶ μέσων καὶ τελευταίων, ἔτι δὲ μονήν, πρόοδον, ἐπιστροφήν· καὶ ὅλως τὸ ῥητὸν πολὺ τῷ ἀπορρήτῳ ἐγκαταμίξωμεν.

1.18 Εἰ δέ, ὡς ἐλέγομεν, ἐκεῖνο ἢ ἐκεῖνα, οὐ προσοιστέον τῷ ἀπορρήτῳ, ὅγε ὑπὲρ τὸ ἓν καὶ τὰ πολλὰ βουλόμεθα. Οὐδὲ ἄρα τὸ πρὸ τῶν πολλῶν ἕτερον θετέον, καὶ τὸ ἐν μεθέξει τοῖς πολλοῖς ἕτερον συνδιῃρημένον· οὐκ ἄρα μετέχεται, οὐδὲ μεταδίδωσί τι ἑαυτοῦ τοῖς ἐφ’ ἑαυτοῦ, οὐδὲ πᾶς θεὸς ἀπόρρητος πρότερον ἢ ἕν, ὥσπερ ἓν πρότερον ἢ οὐσία. Μήποτε οὖν καὶ ἐνταῦθα περιτρεπόμενος ὁ λόγος ἀπόρρητον ἀποφαίνει ἐκεῖνο κατὰ πάντα τρόπον, ἐναντία ἐπινοήσειεν ἀπὸ τῶν μετ’ αὐτόν· καὶ τί θαυμαστὸν ὅτε καὶ περὶ τοῦ ἑνὸς ἕτερα τοιαῦτα ἀπορήσομεν, καὶ δήπου καὶ περὶ τοῦ παντελῶς ἡνωμένου καὶ ὄντος; Ἀλλὰ ταῦτα μὲν ἡμᾶς περιμενέτω· νῦν δὲ περὶ τοῦ πρώτου τεθέντος ἔτι ζητητέον τίς ἡ ἀνάβασις ἡ ἐπ’ ἐκεῖνο καὶ τίνα τρόπον ἐπιτελουμένη ἀπὸ τῶν ἐσχάτων. Ἔστω δὲ ὁ λόγος κοινὸς καὶ ἐπὶ τῶν ἄλλων ἀρχῶν καὶ τῶν ἀπ’ αὐτῶν εἰς ἔσχατον προελθόντων· ὡς γὰρ ὁ Παρμενίδης τὸ ἓν ἐπιζητῶν ἐπὶ πάντα προῆλθε τὰ ὁπωσοῦν τοῦ ἑνὸς ἐξηρτημένα, καὶ ἡμεῖς οὕτω συμπρόϊμεν τῷ πρώτῳ τεθέντι, μᾶλλον δὲ ἀπὸ τῶν ῥητῶν πάντη καὶ τῇ αἰσθήσει γνωρίμων ἀρξάμενοι ἐπ’ ἐκεῖνα ἀναβησόμεθα καὶ εἰς τὴν περὶ αὐτοῦ σιωπὴν καθορμιοῦμεν τὰς τῆς ἀληθείας ὠδῖνας. Πῶς ἂν οὖν τις ἐξ ἀρχῆς ἀπὸ τῶν ἐναργῶν ὁρμώμενος τὴν ὅλην ποιήσαιτο ταύτην ἀνάβασιν; Οὐκοῦν ἀξίωμα τοῦτο προβλητέον, ᾧ ἐποχούμενοι διαβαλοῦμεν ἐντεῦθεν ἐκεῖσε κατὰ δύναμιν, ὡς οἷόν τε ἀσφαλῶς. Λεγέσθω τοίνυν τὸ ἀνενδεὲς φύσει πάντως εἶναι πρὸ τοῦ ἐνδεοῦς· τὸ γὰρ ἄλλου δεόμενον δουλεύειν ἐκείνῳ πέφυκεν ἐξ ἀνάγκης οὗ ἐστιν ἐνδεές· εἰ δὲ ἀλλήλων ἀντιδεῖται, κατ’ ἄλλο καὶ ἄλλο ἑκάτερον ἐνδεόμενον, οὐκ ἂν εἴη ἀρχή· τῇ γὰρ ὄντως ἀρχῇ τὸ ἀνενδεὲς οἰκειότατον· εἰ γάρ του δέοιτο, κατὰ τοῦτο οὐκ ἂν εἴη ἀρχή· δεῖ δὲ τὴν ἀρχὴν αὐτὸ τοῦτο μόνον εἶναι, ἀρχήν.

1.19 Πρέπει ἄρα ταύτῃ τὸ ἀνενδεὲς καὶ οὐδαμῇ τι πρὸ αὐτῆς εἶναι ὁμολογεῖν· ὁμολογήσει δὲ τὸ ἐνδεὲς ἔχουσα καθ’ ὁτιοῦν· καὶ εἰ μὲν δέοιτο τῶν πρὸ αὐτῆς τινος ὅ ἐστι κυριώτερον ἀρχή, οὐ θαυμαστόν, εἰ καὶ εἴη πρὸς τὰ μεθ’ ἑαυτὴν ἀρχή, ἅτε τούτων γε οὐ δεομένη· εἰ δέ πη δέοιτο καὶ τούτων, οὐδὲ πρὸς ταῦτα τὴν ἀρχῆς ἀξίαν διατηρήσει· ἔστω τοίνυν σῶμα πεποιωμένον. Τοῦτο γάρ ἐστι τὸ πρῶτον ἡμῖν ῥητόν, ὅπερ ἐστὶ τὸ αἰσθητόν. Ἆρα δὴ τοῦτο πρῶτόν ἐστιν; ἀλλὰ δύο ταῦτά ἐστι, σῶμα καὶ τὸ τοιόνδε, ὅπερ ἐν ὑποκειμένῳ ἐστὶ τῷ σώματι. Ποτέρα οὖν φύσις ἐστὶ προτέρα; ἡ γὰρ συναμφότερος ἐνδεής ἐστι τῶν οἰκείων μερῶν· ἀλλὰ καὶ τὸ ἐν ὑποκειμένῳ δεῖται τοῦ ὑποκειμένου· μήποτε δὴ τὸ σῶμα ἀρχὴ καὶ οὐσία ἡ πρώτη· ἀλλ’ ἀδύνατον. Πρῶτον μὲν γὰρ ἡ ἀρχὴ οὐκ ἄν τι προσλάβοι ἀπὸ τοῦ μετ’ αὐτήν τε καὶ ἀπ’ αὐτῆς· τὸ δὲ σῶμα πεποιῶσθαί φαμεν· οὐκ ἄρα ἀπ’ αὐτοῦ τὸ τοιόνδε καὶ ἡ ποιότης, ὅγε αὐτῷ πρόσεισιν ἑτέρῳ ὄντι. Δεύτερον δὲ μεριστόν ἐστι πάντη τὸ σῶμα, καὶ τῶν μερῶν αὐτοῦ ἕκαστον ἐνδεὲς τῶν ἄλλων, καὶ τὸ ὅλον ἐνδεὲς τῶν ἁπάντων· ἐνδεὲς ἄρα καὶ ἐξ ἐνδεῶν συμπληρούμενον οὐκ ἂν εἴη πάντη ἀνενδεές. Ἔτι δὲ εἰ οὐχ ἕν ἐστιν, ἀλλὰ ἡνωμένον, δεῖται τοῦ συνέχοντος ἑνός, ὥς φησι Πλάτω ν· ἀλλὰ μὴ κοινόν τι καὶ ἀνείδεον ἀτεχνῶς, ὥσπερ ὕλη τις· δεῖται ἄρα κόσμου καὶ εἰδοποιίας, ἵνα μὴ μόνον ᾖ σῶμα, ἀλλὰ καὶ τοιόνδε σῶμα, οἷον πύριον ἢ γήϊνον καὶ ὅλως εἰπεῖν κεκοσμημένον τε καὶ πεποιωμένον. Τὰ ἄρα προσγινόμενα τελεῖ αὐτὸ καὶ διακοσμεῖ, ὡς ἤδη τὸ δεύτερον ὑποκείμενον, οἷον ὕλην φασὶν δευτέραν. Ἆρα οὖν τὸ προσγινόμενον ἡ ἀρχή; ἀλλ’ οὐχ οἷόν τε· οὐ γὰρ μένει ἐφ’ ἑαυτοῦ οὐδὲ μόνον ὑφέστηκεν, ἀλλ’ ἔστιν ἐν ὑποκειμένῳ καὶ τοῦ ὑποκειμένου ἐνδεές· εἰ δὲ μὴ ὑποκείμενον αὐτὸ θεῖτό τις, ἀλλ’ ἓν τῶν ἐν ἑκάστῳ στοιχείων, ὡς τὸ ζῷον ἐν ἵππῳ καὶ ἀνθρώπῳ, καὶ οὕτως ἐνδεὲς ἑκάτερον τοῦ ἑτέρου, τό τε ὑποκείμενον τοῦτο καὶ τὸ ἐν ὑποκειμένῳ, μᾶλλον δὲ τὸ κοινὸν στοιχεῖον, ὡς τὸ ζῷον, καὶ τὰ ἴδια, ὡς τὸ

λογικὸν καὶ ἄλογον· ἀεὶ γὰρ τὰ στοιχεῖα δεῖται ἀλλήλων, καὶ τὸ ἐκ στοιχείων, αὐτῶν τῶν στοιχείων· ὅλως δὲ τὸ αἰσθητὸν τοῦτο καὶ τρανὲς ἡμῖν οὕτω προβεβλημένον οὔτε τὸ σῶμά ἐστιν, οὐ γὰρ κινεῖ τοῦτο τὴν αἴσθησιν καθ' ἑαυτό, οὔτε ἡ ποιότης, οὐ γὰρ ἔχει διάστασιν τῇ αἰσθήσει σύμμετρον, οὐδὲ τοῦ αἰσθητηρίου σώματος ὄντος ἐστί.

1.20 Τὸ γοῦν διακριτικὸν ὄψεως ἢ συγκριτικὸν οὔτε τὸ σῶμα οὔτε τὸ χρῶμα, ἀλλὰ τὸ κεχρωσμένον σῶμα, ἢ χρῶμα σεσωματωμένον, τοῦτό ἐστι τὸ κινητικὸν ὄψεως, καὶ καθόλου τῆς αἰσθήσεως τὸ αἰσθητόν, ὅπερ ἐστὶ σῶμα τοιόνδε. Ἐκ τούτων ἄρα φανερὸν ἓν μὲν ὅτι τὸ τοιόνδε τοῦτο προσκείμενον ἀσώματον· εἰ γὰρ σῶμα, οὔπω αἰσθητόν· τὸ ἄρα σῶμα δεῖται τοῦ ἀσωμάτου, καὶ τὸ ἀσώματον δὲ τοῦ σώματος· οὐδὲ γὰρ τοῦτο καθ' αὑτὸ αἰσθητόν. Ἕτερον δὲ ὅτι ἀντιπλεονεκτεῖται τὰ ἄλληλα, καὶ οὐδέτερον τοῦ ἑτέρου προϋπάρχει, στοιχεῖα δὲ ὄντα τοῦ ἑνὸς αἰσθητοῦ σύνεστιν ἀλλήλοις· τὸ μὲν τὴν διάστασιν τῷ ἀδιαστάτῳ παρεχόμενον, τὸ δὲ τὴν ἄλλην συνεισάγον τῷ ἀμορφώτῳ διαμεμορφωμένην αἰσθητὴν ποικιλίαν. Τρίτον δὲ ἐπὶ τούτοις ὅτι οὐδὲ τὸ συναμφότερον ἀρχή· οὐδὲ γὰρ ἀνενδεές· τῶν τε γὰρ οἰκείων στοιχείων ἐπιδεῖται καὶ τοῦ συνάγοντος αὐτὰ πρὸς ἑνὸς εἴδους τοῦ αἰσθητοῦ γένεσιν· οὔτε γὰρ τὸ σῶμα συνάξει, ὅγε καὶ διίστησιν, οὔτε ἡ ποιότης, ἅτε μηδὲ ὑφισταμένη χωρὶς τοῦ σώματος ἐν ᾧ ἐστιν ἢ σὺν ᾧ τυγχάνει οὖσα· ἀλλὰ καὶ εἶδος ὃ σύνθετον. Ἢ οὖν ἑαυτὸ παράγει, ὅπερ ἀδύνατον, οὐ γὰρ συννεύει πρὸς ἑαυτό, ἀλλὰ διέρριπται αὐτοῦ πολλαχῇ τὸ ὅλον, ἢ οὐχ ὑφ' ἑαυτοῦ παράγεται, καὶ ἔσται τις ἄλλη ἀρχὴ πρὸ αὐτοῦ. Καὶ δὴ ὑποκείσθω ἣν καλοῦσιν φύσιν, ἀρχὴν κινήσεως οὖσαν καὶ ἠρεμίας, ἐν αὐτῷ οὖσαν τῷ κινουμένῳ καὶ ἠρεμιζομένῳ καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός· ἁπλούστερον γάρ τι αὕτη ἐστὶ καὶ δημιουργικὴ τῶν συνθέτων εἰδῶν· ἀλλ' εἰ ἐν αὐτοῖς ἐστι τοῖς δημιουργουμένοις, καὶ χωρὶς αὐτῶν, οὐδὲ πρὸ αὐτῶν ὑφέστηκεν, ἀλλὰ δεῖται αὐτῶν πρὸς τὸ εἶναι ὅ ἐστιν· ἐχέτω μέντοι ἐξαίρετον πρὸς αὐτὰ τὸ συμπλάττειν αὐτὰ καὶ δημιουργεῖν, ὥς φαμεν· ἀνενδεὴς δὲ ὅμως οὐκ ἔστιν, ἥγε σὺν αὐτοῖς ἔχει τὸ εἶναι, καὶ ἐν αὐτοῖς ἐστιν ἀχώριστος, καὶ ὄντων οὖσα, καὶ μὴ ὄντων οὐκ οὖσα, διὰ τὸ πάντη αὐτοῖς ἐγκαταδῦναι καὶ μὴ δύνασθαι τὸ οἰκεῖον ἀνενεγκεῖν· τὸ γὰρ αὖξον καὶ τρέφον καὶ γεννῶν τὰ ὅμοια καὶ τὸ ἓν πρὸ τῶν τριῶν τούτων ἡ φύσις οὐκ ἔσται τὸ ὅλον ἀσώματος, ἀλλὰ σχεδόν τι τοῦ σώματός ἐστι ποιότης, καὶ διαφέρει τοσοῦτον μόνον ὅσον τὸ δοκοῦν ἔνδοθεν κινεῖσθαι καὶ ἠρεμεῖν παρέχεται τῷ συνθέτῳ.

1.21 Ἡ μὲν γὰρ τοῦ αἰσθητοῦ ποιότης τὸ ἐπιπολῆς φαινόμενον καὶ τῇ αἰσθήσει προσπίπτον ἐνδίδωσι, τὸ δὲ σῶμα τὴν πάντη διάστασιν, ἡ δὲ φύσις τὴν ἔνδοθεν προϊοῦσαν ἐνέργειαν φυσικήν, εἴτε κατὰ τόπον μόνον, εἴτε κατὰ τὸ τρέφειν καὶ αὔξειν καὶ ὅμοια γεννᾶν. Ἤδη γὰρ καὶ αὕτη φύσις ἀξιολογωτέρα, οἵα ἡ διὰ τῶν φυτῶν· ἀλλ' οὐ δι' αὐτῆς γε, ὡς ἀνασπάσαι δύναται ἑαυτὴν τῶν διοικουμένων· ὅλην γὰρ ἑαυτὴν ἐκείνοις ἐπιδέδωκεν κατ' αὐτὴν τὴν οὐσίαν· ζωὴ μὲν γάρ τις καὶ ἄλλη παρὰ τὸ σῶμα τὸ φυσικόν, ἁπλῶς λεγόμενον καὶ τρανέστερον τῆς ἐν τούτῳ καταπεπομένης ὑπ' αὐτοῦ φύσεως, τῆς ἔνδοθέν πως ἐνεργούσης, οὔτε δὲ τρεφούσης, οὔτε αὐξούσης, οὔτε τὰ ὅμοια γεννώσης· ἀλλὰ γὰρ καὶ αὕτη ἀχώριστός ἐστι τοῦ ὑποκειμένου καὶ ἐνδεής, ὥστε οὐκ ἂν εἴη ἁπλῶς ἀρχὴ τὸ ἐνδεὲς ἔχουσα τοῦ χείρονος· οὐ γὰρ δὴ ἐκεῖνο θαυμαστόν, εἰ ἀρχή τις οὖσα τῆς ὑπὲρ ἑαυτὴν ἀρχῆς ἐστιν ἐνδεής, ἀλλ' εἰ τῶν μεθ' ἑαυτὴν ὧν εἶναι ἀρχὴ ὑποτίθεται. Τῷ δὲ αὐτῷ λόγῳ διελέγξωμεν καὶ εἴ τις ἀρχὴν ὑποθοῖτο τὴν ἄλογον ψυχήν, εἴτε αἰσθητικήν, εἴτε ὀρεκτικήν· εἰ γὰρ καὶ δοκεῖ τι χωριστότερον ἔχειν αὕτη, κατὰ τὰς ὁρμητικάς τε καὶ γνωστικὰς ἐνεργείας, ἀλλ' ἐνδέδεται ὅμως καὶ αὐτὴ τῷ σώματι καὶ ἔχει τι αὐτοῦ ἀχώριστον, εἴπερ οὐ δύναται πρὸς ἑαυτὴν ἐπιστρέφειν, ἀλλὰ τῷ ὑποκειμένῳ συμπέφυρται αὐτῆς ἡ ἐνέργεια· δῆλον γὰρ ὅτι καὶ ἡ οὐσία τοιαύτη τις· εἰ γὰρ ἦν ἀπόλυτος αὕτη καὶ ἐλευθέρα ἐφ' ἑαυτῆς, κἂν ἐπεδείξατό τινα καὶ τοιαύτην ἐνέργειαν, οὐ πρὸς τὸ σῶμα ἀεί, πρὸς ἑαυτὴν δὲ ἐπιστρεφομένη ποτέ· καὶ εἰ ἀεὶ πρὸς τὸ σῶμα, ἀλλὰ κριτικῶς τε καὶ ἑαυτῆς

ἐξεταστικῶς· αἱ γοῦν τῶν πολλῶν ἀνθρώπων ἐνέργειαι, κἂν περὶ τὰ ἔξω τευτάζωσιν καὶ διατρίβωσιν, ὅμως περὶ αὐτὰ τὸ χείριστον ἐπιδείκνυνται, βουλευόμεναι ὅπως αὐτῶν τύχωσι καὶ ἐφιστάνουσαι ὅτι βουλῆς χρεία πρὸς τὸ δρᾶσαί τι ἢ παθεῖν τῶν φαινομένων ἀγαθῶν ἢ ἐκκλῖναί τι τῶν ἐναντίων.

1.22 Αἱ δὲ τῶν ἀλόγων ζῴων ὁρμαὶ μονοειδεῖς τέ εἰσι καὶ αὐτοφυεῖς, καὶ τοῖς ὀργάνοις συγκινούμεναι καὶ αἰτοῦσαι μόνον πρὸς τὰς ἀπὸ τῶν αἰσθητῶν ἡδείας αἰσθήσεις, καὶ ἀποστρεφόμεναι τὰς λυπηράς. Εἰ τοίνυν τῆς λύπης καὶ τῆς ἡδονῆς κοινωνεῖ τὸ σῶμα καὶ διατίθεταί πως ὑπ' αὐτῶν, δῆλον ὅτι καὶ αἱ ψυχικαὶ ἐνέργειαι, συμπεφυρμέναι τοῖς σώμασι προέρχονται καὶ οὐκ εἰσὶ καθαρῶς ψυχικαί, ἀλλὰ καὶ σωματοειδεῖς, ὥσπερ οὐδὲ τὸ διακριτικὸν ἢ συγκριτικὸν μόνου τοῦ χρώματος, ἀλλὰ 〈καὶ〉 τοῦ κεχρωσμένου σώματος, ὥσπερ οὐδὲ τοῦ σιδήρου τομὴ εἴη, φησὶν Ἀριστοτέλης, ἀλλ' οὐδὲ τοῦ σχήματος, τοῦ δὲ συναμφοτέρου, ὅ ἐστι πέλεκυς ἢ σμίλη ἢ ξίφος· οὕτω γὰρ καὶ τὸ αἰσθάνεσθαι καὶ τὸ ὀρέγεσθαι τοῦ ἐψυχωμένου σώματος, ἢ τῆς σωματοειδοῦς ψυχῆς, εἰ καὶ μᾶλλον ἐν τούτοις τὸ ψυχικὸν διαφαίνεται τοῦ σωματικοῦ, ὥσπερ ἐν ἐκείνοις τὸ σωματικὸν ἐπικρατεῖ κατὰ τὴν διάστασίν τε καὶ ὑπόστασιν. Ἀλλὰ γὰρ καθ' ὅσον ἐν ἄλλῳ ἔχει τὸ εἶναι καὶ ὁπωσοῦν, κατὰ τοιοῦτόν ἐστιν ἐνδεὴς τοῦ χείρονος, τὸ δὲ τοσοῦτον οὐκ ἂν εἴη ἀρχή. Καὶ μὴν πρὸ τῆσδε τῆς οὐσίας, ὁρῶμέν τι καὶ χωριστὸν εἶδος ἐφ' ἑαυτοῦ, καὶ εἰς ἑαυτὸ ἐπιστρεφόμενον, οἷον τὸ τῆς λογικῆς ὑποστάσεως.

1.23 Ἡ γοῦν ἡμετέρα ψυχὴ ἐφιστάνει ταῖς οἰκείαις ἐνεργείαις καὶ ἐπανορθοῦται ἑαυτήν· οὐκ ἂν τοῦτό γε, εἰ μὴ ἐπέστρεφε πρὸς ἑαυτήν· οὐκ ἂν δὲ τοῦτό γε, εἰ μὴ χωριστὴν εἶχε τὴν οὐσίαν, ὡς καὶ Ἀριστοτέλει δοκεῖ· οὐκ ἄρα αὕτη δεῖται τοῦ χείρονος. Ἀρχὴ αὕτη ἄρα τελεωτάτη; ἢ οὐ πάσας ὁμοῦ προβάλλεται τὰς ἐνεργείας, ἀλλὰ τῶν πλείστων ἀεί ἐστιν ἐνδεής· ἡ δὲ ἀρχὴ οὐδὲν ἔχειν βούλεται ἐνδεές· ἡ δέ ἐστιν οὐσία τῶν ἑαυτῆς ἐνεργειῶν ἐλλιπής. Ἀλλ' ἡ οὐσία αἰώνιος, εἴποι τις ἄν, καὶ ἀνενδεὴς καὶ ἔχουσα τὰς οὐσιώδεις ἐνεργείας ἀνελλιπεῖς καὶ ἀεὶ τῇ οὐσίᾳ συνδρόμους κατὰ τὸ αὐτοκίνητόν τε καὶ ἀείζων, καὶ εἴη ἂν αὕτη ἀρχή. Ἀλλ' ἓν εἶδος ἡ ψυχὴ τὸ ὅλον καὶ μία φύσις, πῇ μὲν ἀνενδεής, πῇ δὲ ἐνδεής· ἡ δὲ ἀρχὴ πάντῃ ἀνενδεής· ἡ ψυχὴ ἄρα ἡ καὶ τὰς μεταβαλλομένας ἐνεργείας προβαλλομένη οὐκ ἂν εἴη ἀρχή, ἥ γε κυριωτάτη. Δεῖ ἄρα καὶ πρὸ ταύτης εἶναι ἑτέραν, τὴν πανταχῇ ἀμετάβλητον κατά τε οὐσίαν καὶ ζωὴν καὶ γνῶσιν, κατά τε πάσας δυνάμεις καὶ ἐνεργείας, οἵαν τὴν ἀκίνητον καὶ αἰώνιον εἶναί φαμεν, αὐτὸν τὸν πολυτίμητον νοῦν ἐφ' ὃν καὶ Ἀριστοτέλης ἀναβὰς ᾠήθη τὴν πρώτην ἀρχὴν εὑρηκέναι· τί γὰρ καὶ ἐπιδεῖ τῇ πάντα συλλαβούσῃ ἐν ἑαυτῇ τὰ ἑαυτῆς πληρώματα, καὶ ἧς οὔτε πρόσθεσις οὔτε ἀφαίρεσις μεταβάλλει τι τῶν ὑπαρχόντων οὐδέποτε οὐδὲν οὐδενός; ἢ καὶ αὐτὴ ἕν ἐστι καὶ πολλά, ὅλον τε καὶ μέρη, πρῶτά τε ἐν αὐτῇ καὶ μέσα καὶ τελευταῖα. Τὰ δὲ χείρω πληρώματα δεῖται τῶν κρειττόνων, καὶ τὰ κρείττω τῶν χειρόνων, καὶ τὸ ὅλον τῶν μερῶν, τὰ γὰρ πρὸς ἄλληλα δεῖται ἀλλήλων, καὶ τὰ πρῶτα τῶν τελευταίων διὰ τὴν αὐτὴν αἰτίαν· οὐδὲν γὰρ καθ' ἑαυτὸ πρῶτον· ἀλλὰ μὴν καὶ τὸ ἓν τῶν πολλῶν ἐπιδεές, ὅτι ἐν πολλοῖς ἔχει τὸ εἶναι, ἢ τῶν πολλῶν ἐστι συναγωγὸν τοῦτο τὸ ἕν, καὶ οὐ καθ' ἑαυτό, ἀλλὰ σὺν ἐκείνοις· πολὺ ἄρα καὶ ἐν τῇ ἀρχῇ ταύτῃ τὸ ἐνδεές, ἐπεὶ καὶ ὡς γεννῶν ἐν ἑαυτῷ τὰ οἰκεῖα πληρώματα ὁ νοῦς, ἐξ ὧν ὁ σύμπας ὁμοῦ συμπληροῦται, ἐπιδεὴς ἂν εἴη αὐτὸς ἑαυτοῦ, οὐ μόνον ὁ γεννώμενος τοῦ γεννῶντος, ἀλλὰ καὶ ὁ γεννῶν τοῦ γεννωμένου, πρὸς τὴν τοῦ γεννῶντος ἑαυτὸν ὅλου ὅλον συμπλήρωσιν.

1.24 Ἔτι δὲ νοῶν ἐστι καὶ νοούμενος, νοητόν τε καὶ νοερὸν ἑαυτοῦ τε καὶ ἑαυτῷ, καὶ τὸ συναμφότερόν ἐστιν ὁ νοῦς. Οὐκοῦν τό τε νοερὸν δεῖται τοῦ νοητοῦ, ὡς οἰκείου ἐφέτου, τό τε νοητὸν προσδεῖται τοῦ νοεροῦ, ὅτι καὶ αὐτὸ νοερὸν εἶναι βούλεται, τό τε συναμφότερον ἑκατέρου προσδεές· εἰ καὶ ἡ τεῦξις ἀεὶ τῇ ἐνδείᾳ σύνεστιν, ὥσπερ τῇ ὕλῃ ὁ κόσμος· ἀλλὰ φύσει γε ὅμως καὶ ἔνδειά τις τῷ νῷ συνουσίωται, πρός τε τὸ μὴ εἶναι ἀρχὴν τὴν κυριωτάτην. Μήποτε

οὖν συναιρετέον τὸν νοῦν εἰς τὸ τῶν ὄντων ἁπλούστατον, ὃ δὴ ἓν ὂν καλοῦμεν· μηδενὸς γὰρ ἐκεῖ διακεκριμένου τὸ πάμπαν, μηδέ τινος ἐνούσης πληθύος ἢ τάξεως ἢ διπλόης ἢ πρὸς ἑαυτὸ ἐπιστροφῆς, τὶς ἂν ἔνδεια φανείη τῷ πάντη ἡνωμένῳ, καὶ μάλιστά γε ἡ τοῦ χείρονος ἔνδεια ἀφ' ἧς τανῦν ὥρμησεν ὁ λόγος. Διὸ καὶ ἐπὶ ταύτην ἀρχὴν ἀσφαλεστάτην ἀνέβη Παρμενίδης ὁ μέγας, ὡς ἀνενδεεστάτην. Ἢ πάντως μὲν δεῖ τὸ τοῦ Πλάτωνος ἐννοεῖν, ὡς τὸ ἡνωμένον οὐκ ἔστιν αὐτὸ τὸ ἕν, ἀλλὰ τὸ πεπονθὸς ἐκεῖνο, καὶ δῆλον ὅτι μετ' ἐκεῖνο τετάξεται· οὐ μέντοι, ἀλλὰ καὶ κατὰ τὸν παρόντα τρόπον τῶν λόγων, τὸ ἡνωμένον ἐνδείκνυται ἐν ἑαυτῷ ἔχον, τό τε ἑνιζόμενον (εἰ καὶ ἐπ' ἔσχατον εἴη καταπεπομένον τὸ ἑνιζόμενον ὑπὸ τοῦ ἑνίζοντος, ὅμως γὰρ ἡνωμένον ὑπόκειται), καὶ αὐτὸ τὸ ἕν. Εἴ γε ἐκ στοιχείων τὸ ὄν, ὡς δοκεῖ λέγειν τὸ μικτὸν ὁ Πλάτων, δεῖται τῶν ἑαυτοῦ στοιχείων, εἴτε χαλάσαν τῆς τοῦ ἑνὸς ἁπλότητος ἔστη τι κατὰ τὸ μέτρον τοῦ ἑνός, οἷον παχὺ καὶ ἀμφιλαφὲς συμπροβαλλόμενον ἅμα ἑαυτῷ· καὶ τὰ στοιχεῖα οὔτι γέ φημι διακρινόμενα, ἀλλὰ τῷ ἑαυτοῦ ἑνὶ δεδεμένα καὶ ἔτι οἷον συγκεχυμένα, τοσοῦτόν γε προβληθέντα ὅσον ἐκεῖνο, μηκέτι ἓν εἶναι, ἀλλ' ἡνωμένον, οὐσία ἤδη ἀντὶ ἑνάδος.

1.25 Οὕτω γὰρ ἄν τις ἀπολογήσαιτο τὸ μικτὸν ἀκριβολογούμενος, καὶ εὐλαβούμενος μή τι ποιεῖν ἐκ τῶν κρειττόνων τὸ κρεῖττον, ἀλλὰ σὺν τῷ κρείττονι καὶ ἀπὸ τούτου καὶ ἐν τούτῳ τὰ χείρω. Ἀλλὰ δὴ καὶ οὕτως τὸ ἐν αὐτῷ ἓν τοῦ ἐν αὐτῷ αὐτοενός, καὶ τὸ συναμφότερον ἑκατέρου πάντως ἐπιδεές. Εἰ δὲ καὶ ἄλλη μὲν ἔννοια τοῦ εἶναι, ἄλλη δὲ τοῦ ἡνῶσθαι, τὸ δὲ ὅλον ἡνωμένον καὶ ὄν, δεῖται ταῦτα ἀλλήλων, καὶ τῶν δυεῖν τὸ ὅλον, ὃ δὴ καλεῖται ἓν ὄν· καὶ εἰ μὲν τὸ ἓν κρεῖττον, δεήσεται τοῦτο τοῦ ὄντος εἰς τὴν τοῦ ἑνὸς ὄντος ὑπόστασιν· εἰ δὲ τὸ ὂν τοῦ ἑνὸς ὡς ἐπιγιγνόμενον, οἷον εἶδος, τῷ μικτῷ καὶ ἡνωμένῳ, ὡς τῷ ἅμα ζῴῳ λογικῷ, θνητῷ ἡ ἀνθρώπου ἰδιότης, καὶ οὕτως ἐπιδεὲς ἔσται τὸ ἓν τοῦ ὄντος· εἰ δέ, ὅπερ ὀρθότερον λέγειν, διττὸν τὸ ἕν, τὸ μὲν τῆς μίξεως αἴτιον, ὃ προϋπάρξει τοῦ ὄντος, τὸ δὲ καὶ τῷ ὄντι ἐπανορθοῦν, περὶ μὲν γὰρ τούτων εἰσαῦθις, ἐὰν δέῃ, πλείω ἐροῦμεν, ὅμως τὸ ἐνδεὲς οὐδὲ ταύτην παντελῶς ἀπολείψει τὴν φύσιν· οὐδὲ τὸ τοῦ χείρονός φημι ἐνδεές, ἐφ' ᾧ πρόεισιν ὁ τῆς ἀναβάσεως τρόπος. Ἀλλὰ μὴν ἐπὶ πᾶσι τούτοις τὸ ἓν πάντη ἂν εἴη ἀνενδεές· οὔτε γὰρ 〈τοῦ〉 μεθ' αὑτὸ ἐνδεῖται πρὸς τὸ εἶναι (καθ' ἑαυτὸ γάρ ἐστι τῶν πάντων κεχωρισμένον) τόγε ὡς ἀληθῶς ἕν, οὔτε τοῦ ἐν ἑαυτῷ χείρονος ἢ κρείττονος (οὐδὲν γὰρ ἐν αὐτῷ ἐστιν παρ' ἑαυτό), ἀλλ' οὐδὲ ἑαυτοῦ. Ἓν δ' ἔστιν, ὅ τι μηδὲ ἔχει τινὰ διπλόην πρὸς ἑαυτό· οὐδὲ γὰρ αὐτὸ τὸ πρὸς ἑαυτὸ ῥητέον ἐπὶ τοῦ ὄντως, ἁπλοῦν γὰρ πάντη· τοῦτο ἄρα τὸ πάντων ἀνενδεέστατον· τοῦτο ἄρα πάντων ἀρχή, καὶ τοῦτο αἴτιον, καὶ τοῦτο πρῶτον ἅπαξ ἁπάντων. Ἀλλ' εἰ τὰ τρία ταῦτα αὐτῷ πρόσεστιν, οὐκ ἂν εἴη ἕν; ἢ τῷ γε ἑνὶ πάντα κατὰ τὸ ἓν ὑπάρξει, καὶ ταῦτα, καὶ ὅσα ἄλλα αὐτοῦ κατηγορήσομεν, οἷον καὶ τὸ ἁπλούστατον καὶ τὸ κράτιστον καὶ τὸ ἄριστον καὶ τὸ πάντων σωστικόν, καὶ αὐτό γε τἀγαθόν, καὶ πάντα εἴ τις αὐτὸ λέγοι κατὰ τὴν τοῦ ἑνὸς ἁπλότητα, ἐπεὶ πάμφορον οὖσαν καὶ ἔτι πρότερον πανούσιον, διά τοι τοῦτο καὶ πάντροπον.

1.26 Ἀλλ' εἰ ἀληθῆ καὶ οὕτως ταῦτα ἐπὶ τοῦ ἑνός, ἐνδεὲς ἂν εἴη καὶ οὕτω τῶν μεθ' ἑαυτό, κατά γε ταῦτα ἃ προστίθεμεν αὐτῷ καὶ ὁπωσοῦν· ἥ τε γὰρ ἀρχὴ τῶν ἀπ' ἀρχῆς, καὶ τὸ αἴτιον τῶν αἰτιατῶν, καὶ τὸ πρῶτον τῶν μετ' αὐτὸ τεταγμένων ἐστί τε καὶ λέγεται, ἔτι δὲ τὸ ἁπλοῦν κατὰ ἄλλων ὑπεροχήν, καὶ τὸ κράτιστον κατὰ τὴν πρὸς τὰ κρατούμενα δύναμιν, καὶ τὸ ἀγαθόν τε καὶ ἐφετὸν καὶ σωστικὸν τῶν σωζομένων καὶ ἐφιεμένων ἐστί· καὶ δὴ πάντα εἰ λέγοιτο, κατὰ τὴν πάντων ἐν αὐτῷ πρόληψιν ῥηθήσεται τὴν κατ' αὐτό γε μόνον τὸ ἕν, ὅμως δὲ πάντων μίαν πρὸ πάντων αἰτίαν, οὐκ ἄλλην οὖσαν, ἀλλὰ καὶ ταύτην κατὰ τὸ ἕν· ᾗ μὲν ἄρα καὶ μόνον, ταύτῃ ἀνενδεέστατον· ᾗ δὲ ἀνενδεέστατον, ἀρχὴ πρώτη καὶ ῥίζα πασῶν ἀρχῶν ἡ ἀκλινεστάτη· ᾗ δὲ καὶ ὁπωσοῦν ἀρχὴ καὶ ἡ πρώτη αἰτία τῶν πάντων καὶ πᾶσιν ἐφετὴ προϊδρυμένη, ταύτῃ δὲ ἐνδεές πως εἶναι φαντάζεται τούτων, πρὸς ἅ ἐστιν· ἔχει τι ἄρα, εἰ θέμις εἰπεῖν, καὶ ἐνδείας ἀκρότατον ἴχνος, ὥσπερ ἀνάπαλιν ἡ ὕλη τοῦ ἀνενδεοῦς ἔσχατον ἀπήχημα, κατ' αὐτό γε ὅ ἐστιν ἕν,

ἀμυδρότατον. Καὶ δοκεῖ μὲν ὁ λόγος ἔχειν τινὰ περιτροπήν· ᾗ γὰρ ἕν, καὶ ἀνενδεές, εἴπερ καὶ ἀρχὴ πέφηνε κατὰ τὸ ἀνενδεέστατον καὶ ἕν· ἀλλ' ὅμως ᾗ ἕν, καὶ ἀρχή· καὶ ᾗ μὲν ἕν, ἀνενδεές, ᾗ δὲ ἀρχή, καὶ ἐνδεές· ᾗ ἄρα ἀνενδεές, καὶ ἐνδεές, ἀλλ' οὐ κατὰ ταὐτόν, ἀλλὰ πρὸς μὲν τὸ εἶναι ὅ ἐστιν, ἀνενδεές, ὡς δὲ καὶ τὰ ἄλλα παράγον καὶ προειληφός, ἐνδεές· ἴδιον δὲ καὶ τοῦτο τοῦ ἑνός· ὥστε κατὰ τὸ ἓν ἑκάτερον, καὶ οὐκ ἄρα ἑκάτερον οὕτως ὡς ὁ λόγος μερίζει τὸ ἑκάτερον λέγων, ἀλλ' ἓν μόνον, κατὰ δὲ τοῦτο τά τε ἄλλα καὶ τὸ ἐνδεές. Καὶ πῶς γὰρ οὐχὶ καὶ τοῦτο εἴη ἂν κατὰ τὸ ἕν, ὥσπερ τὰ ἄλλα πάντα ὅσα ἀπ' αὐτοῦ πρόεισιν; τούτων γάρ τι καὶ τὸ ἐνδεές· ἄλλο τι ἄρα ζητητέον, ὃ μηδαμῶς ἕξει τὸ ἐνδεὲς μηδ' ὁπωστιοῦν· εἴη δ' ἂν τοιοῦτον ὂν μηδὲ ὅτι ἀρχὴ ἀληθὲς εἰπεῖν, μηδ' αὐτό γε τοῦτο ὃ σεμνότατον ἔδοξε λέγεσθαι τὸ ἀνενδεέστατον. Καὶ τοῦτο γὰρ ὑπεροχὴν σημαίνει καὶ ἐξαίρεσιν τοῦ ἐνδεοῦς· οὐδὲ γὰρ τὸ πάντων ἐξῃρημένον αὐτὸ καλεῖν ἠξιοῦμεν, ἀλλὰ τὸ πάντη ἀπερινόητον καὶ πάντη σιγώμενον· τοῦτο γὰρ εἴη δικαιότατα τὸ νῦν ζητούμενον ἀξίωμα τῆς ἐννοίας, οὐδὲ ταύτης τι φθεγγομένης, ἀλλὰ τὸ μὴ φθέγγεσθαι ἀγαπώσης καὶ ταύτῃ σεβομένης ἐκείνην τὴν ἀμήχανον ἀγνωσίαν.

1.27 Ἔστι μὲν οὖν καὶ οὗτος τρόπος ἀναβάσεως τῆς ἐπὶ τὸ πρῶτον οὕτω λεγόμενον, μᾶλλον δὲ τὸ πάντων ἐπέκεινα τῶν ὁπωσδήποτε τιθεμένων· ἔστι δὲ καὶ οὗτος ἕτερος, οὐ τὸ ἀνενδεὲς τοῦ χείρονος προτιμῶν τοῦ ἐνδεοῦς, ἀλλὰ τὸ ἐνδεὲς τοῦ κρείττονος ἐν δευτέρῳ τιθέμενος αὐτοῦ τοῦ κρείττονος, αὐτίκα τὸ δυνάμει πανταχοῦ τοῦ ἐνεργείᾳ δεύτερον· ἵνα γὰρ ἔλθῃ εἰς τὸ ἐνεργείᾳ καὶ μὴ μείνῃ μάτην δυνάμει, τοῦ ἐνεργείᾳ προσδεῖται· οὐδέποτε γὰρ ἀπὸ τοῦ χείρονος ἀναβλαστάνει τὸ κρεῖττον· ἔστω γὰρ ἡμῖν καὶ τοῦτο προωρισμένον, κατὰ τὰς κοινὰς ἐννοίας ἀπαντῶντας ἀδιαστροφοῦν. Οὐκοῦν ἡ ὕλη πρὸ αὐτῆς ἔχει τὸ ἔνυλον εἶδος, ὅτι δυνάμει τὸ εἶδος ἡ ὕλη πᾶσα, εἴτε ἡ πρώτη κατὰ τὸ πάντη ἀνείδεον εὑρισκομένη, εἴτε ἡ δευτέρα κατὰ τὸ ἄποιον ἱσταμένη σῶμα· πρὸς ἣν καὶ εἰκὸς ἀποβλέψαι πρώτην τοὺς ἐζητηκότας τὰ αἰσθητά, ἃ καὶ μόνα ἔδοξεν εἶναι τὴν πρώτην· ἡ γὰρ κοινότης τῶν διαφερόντων στοιχείων ἔπειθεν αὐτοὺς εἶναί τι σῶμα ἄποιον νῷ· καὶ δῆλον ὅτι αἱ ποιότητες, καθ' ἃς αἱ διαφοραὶ συνίστανται, τοῦ ἀποίου σώματος ὑπερφέρουσιν αὐτοῦ, ὡς ὕλης τινὸς εἴδη προϋπάρχουσαι. Τί οὖν; τῆς οὐσίας κρείττω τὰ συμβεβηκότα φαίη τις ἄν; ἢ οὐδὲν μὲν θαυμαστὸν ἀντιπλεονεκτεῖν ἄλληλα τὰ συνόντα ἀλλήλοις καὶ ἀντιμετέχειν τὰ συμπληροῦντα ὁμοῦ τι τὸ ἐκ πάντων ἕν. Ἔπειτα καὶ διττὸν τὸ ποιόν, τὸ μὲν οὐσιῶδες, οἷον αὐτὸ τὸ πῦρ (αὐτὸ λέγω τὸ εἶδος), καὶ ἄνθρωπος καὶ τῶν ἄλλων ἕκαστον, καθὸ ποιὸν σῶμα ἕκαστόν ἐστι, καὶ τὰ ἑκάστου στοιχεῖα, οἷον πυρὸς ἡ θερμότης καὶ λαμπρότης, καὶ ἀνθρώπου τὸ θνητὸν καὶ λογικόν, τὴν μορφήν, ὥσπερ ἔχει τὸ ὄρθιόν τε καὶ διηρθρωμένον· ἐφ' ἑκάστου τε τὰ ἑκάστου πληρώματα τῆς οὐσίας, οἷς ἅμα τὸ ὅλον εἶδος ἐποίωσε τὸ δεύτερον ὑποκείμενον εἰδοποιῷ ποιότητι, τῇ ἁπλῶς λεγομένῃ πρὸς τὸ ἄποιον σῶμα· τὸ δέ ἐστιν, ποιὸν ἐπεισοδιῶδες καὶ συμβεβηκός, ὅπερ ἐν ἄλλῳ κατ' οὐσίαν ὄν, ἄλλῳ προσγίγνεται κατὰ συμβεβηκός, καὶ πάντως ὅτι πεποιωμένῳ κατ' οὐσίαν προσγίγνεται τῷ σώματι, ὥστε ἀναγκαίως χεῖρον ἔσται τοῦτο τῆς ὑποδεχομένης οὐσίας, ἤδη οὔσης εἰδητικῆς τε καὶ προηγουμένης.

1.28 Ὅτι δὲ τὸ ἄποιον σῶμα πρώτῃ ποιοῦται τῇ οὐσιώδει ποιότητι, δῆλον· τῶν γὰρ συμβεβηκότων ἐπιγιγνομένων, ἕκαστα μένει τὰ εἴδη, κατέχοντα τὴν ὑποκειμένην τοῦ σώματος ἕδραν, περὶ ἃ μένοντα ἡ μεταβολὴ θεωρεῖται τῶν συμβεβηκότων. Εἰκότως ἄρα πρὸ τοῦ ἀποίου σώματος τὸ πεποιωμένον τιθέμεθα, καὶ διὰ τοῦτο ὂν αἰσθητὸν ἤδη καὶ ὁ φαινόμενος ὅδε κόσμος. Ἀλλ' ἐπεὶ τῶν τοιούτων δὲ σωμάτων τὰ μὲν ἔνδοθεν ἔχει τὸ διοικοῦν, τὰ δὲ ἔξωθεν, ὥσπερ τὰ τεχνητά, δεῖ καὶ τὴν φύσιν προσεννοεῖν ὥς τι κρεῖττον οὖσαν τῶν ποιοτήτων, ἐν αἰτίας τάξει προτεταγμένον, ὡς τὴν τέχνην τῶν τηχνητῶν. Ἀλλὰ καὶ τῶν ἔνδοθεν διοικουμένων τὰ μὲν εἶναι μόνον δοκεῖ, τὰ δὲ τρέφεσθαι καὶ αὔξειν καὶ τὰ ὅμοια γεννᾶν· ἔστιν ἄρα τις αἰτία καὶ ἄλλη πρὸ τῆς εἰρημένης φύσεως ἡ φυτικὴ αὕτη δύναμις· φανερὸν δὲ ὅτι πάντα ὅσα τῷ σώματι

ἐπιγίγνεται προϋποκειμένῳ ἀσώματά ἐστι καθ’ ἑαυτά, εἰ καὶ σωματοειδῆ γίγνεται κατὰ μέθεξιν τοῦ ἐν ᾧ ἐστιν, ὡς ὑλικὰ λέγεταί τε καὶ ἔστι κατὰ τὴν ἀπὸ τῆς ὕλης πεπόνθησιν· καὶ αἱ ποιότητες ἄρα, καὶ αἱ φύσεις ἔτι μᾶλλον, καὶ ἔτι μέντοι μειζόνως ἡ φυτικὴ ζωὴ τὸ ἀσώματον διασώζουσι καθ’ ἑαυτάς. Ἀλλ’ ἐπεὶ καὶ ἄλλην ἡ αἴσθησις ὑποδείκνυσι τρανεστέραν ζωὴν τῶν κατὰ τὴν ὁρμὴν ἤδη καὶ τόπον κινουμένων, ταύτην πρὸ ἐκείνης θετέον; ὡς κυριωτέραν ἀρχὴν καὶ ὡς ἀμείνονός τινος εἴδους χορηγὸν τοῦ αὐτοκινήτου ζῴου προτερεύοντος φύσει τοῦ κατὰ γῆς ἐρριζωμένου φυτοῦ.

1.29 Καὶ μὴν τὸ ζῷον οὐκ ἀκριβῶς αὐτοκίνητον· οὐ γὰρ ὅλον δι’ ὅλου τοιοῦτον, ἀλλὰ μέρος μὲν αὐτὸ κινεῖ ἕν, μέρος δὲ κινεῖται· φαινόμενον ἄρα τοῦτό ἐστιν αὐτοκίνητον· δεῖ ἄρα πρὸ αὐτοῦ εἶναι τὸ ἀληθινὸν αὐτοκίνητον, ὃ καθ’ ὅλον ἑαυτὸ κινοῦν ἐστι καὶ κινούμενον, ἵνα τούτου εἴδωλον ᾖ τὸ φαινόμενον. Καὶ δὴ τὴν κινοῦσαν τὸ σῶμα ψυχὴν κυριωτέραν θετέον αὐτοκίνητον οὐσίαν· διττὴ μὲν αὕτη, ἡ μὲν λογική, ἡ δὲ ἄλογος· ὅτι γὰρ καὶ τὴν λογικὴν ὑπαγορεύει ἡ αἴσθησις, φανερόν. Ἦ οὐχὶ καὶ ἕκαστος ἑαυτοῦ συναισθάνεται τρανέστερον ἢ ἀμυδρότερον, ἐπιστρεφομένου πρὸς ἑαυτὸν ἐν ἐπιμελείαις τε καὶ ζητήσεσιν ἑαυτοῦ καὶ ἐπιστάσεσιν ἑαυτοῦ ζωτικαῖς τε καὶ γνωστικαῖς; ἡ γὰρ ταῦτα δυναμένη οὐσία, λογισμῷ καὶ τὰ καθόλου συναιροῦσα, λογικὴ ἂν εἴη δικαίως. Ἀλλὰ δὴ καὶ ἡ ἄλογος εἰ καὶ ταῦτα μὴ φαίνοιτο διεξιοῦσα καὶ λογιζομένη πρὸς ἑαυτήν, ἀλλ’ ὅμως ἐκίνει τὰ σώματα ἀπὸ τόπου εἰς τόπον, αὐτὴ πρότερον κινουμένη καθ’ ἑαυτήν· ἄλλοτε γὰρ ἄλλην ὁρμὴν προβάλλεται. Ἆρα οὖν ἑαυτὴν κινεῖ ἀπ’ ἄλλης εἰς ἄλλην ὁρμήν; ἢ ὑφ’ ἑτέρου κινεῖται, οἷον, ὥς φασι, τῆς ὅλης ἐν τῷ κόσμῳ λογικῆς ψυχῆς· ἀλλὰ τοῦτο μὲν ἄτοπον φάναι, τὰς ἑκάστης ἀλόγου ψυχῆς ἐνεργείας οὐκ αὐτῆς λέγειν ἐκείνης, ἀλλὰ τῆς θειοτέρας, καίτοι ἀπείρους οὔσας καὶ ἀορίστους καὶ πολλῷ τῷ αἰσχρῷ καὶ ἀτελεῖ συμμεμιγμένας· ὅμοιον γὰρ τὰς ἀλόγους ἐνεργείας φάναι τῆς λογικῆς εἶναι ψυχῆς καὶ τήνδε τὴν οὐσίαν ἄλογον ὑποτίθεσθαι, τὴν τὰς ἀλόγους ἐνεργείας προβαλλομένην, ἐῶ λέγειν ὅτι καὶ τὴν ὅλην. Ἄτοπον δὲ καὶ οὐσίαν ὑποτίθεσθαι μὴ γεννητικὴν οἰκείων ἐνεργειῶν. Εἴπερ γὰρ οὐσία τίς ἐστιν ἄλογος, ἔχοι ἂν ἰδίους αὑτῆς ἐνεργείας, οὐχ ἑτέρωθεν ἐνδιδομένας, ἀλλ’ ἀπ’ αὑτῆς προϊούσας. Ἑαυτὴν ἄρα κινεῖ καὶ ἡ ἄλογος ψυχὴ πρὸς τὰς ἄλλοτε ἄλλας ὀρέξεις τε καὶ ὁρμάς; εἰ δὲ ἑαυτὴν κινεῖ, ἐπιστρέφει πρὸς ἑαυτήν· ἐπεὶ δὲ τοῦτο, χωριστή ἐστι καὶ οὐκ ἐν ὑποκειμένῳ ἡ ἄλογος ψυχή· λογικὴ ἄρα ἐστὶν εἴπερ εἰς ἑαυτὴν ὁρᾷ· καὶ γὰρ ὄψεται ἑαυτὴν ἐπιστρεφομένη πρὸς ἑαυτήν· καὶ γὰρ εἰς τὰ ἔξω τεινομένη εἰς τὰ ἔξω ὁρᾷ, μᾶλλον δὲ σῶμα τὸ κεχρωσμένον, ἑαυτὴν δὲ οὐχ ὁρᾷ, ὅτι μήτε σῶμά ἐστι, μήτε κεχρωσμένον αὐτή γε ἡ ὄψις· οὐκ ἄρα ἐπιστρέφει πρὸς ἑαυτήν, οὐκ ἄρα οὐδέν, ἀλλ’ ἢ ἄλογος· οὐδὲ γὰρ ἡ φαντασία τύπον ἑαυτῆς προβάλλεται, ἀλλὰ τοῦ αἰσθητοῦ, οἷον κεχρωσμένου σώματος· οὐδὲ ὄρεξις ἄλογος ὀρέγεται αὑτῆς, ἀλλ’ ὀρεκτοῦ τινος, οἷον τιμῆς ἢ ἀντιλυπήσεως ἢ ἡδονῆς ἢ χρημάτων· οὐκ ἄρα κινεῖ ἑαυτήν.

1.30 Ἀλλὰ μήποτε οὕτω κινεῖ, οὐχ ὡς ἑαυτὴν κινοῦσα, ἀλλ’ ὡς ἀφ’ ἑαυτῆς ἐπὶ τὰ ἔξω κινουμένη καὶ οἷον ἅπτουσα καὶ ταύτῃ αὐτοκίνητος, ὅτι ἀφ’ ἑαυτῆς, οὐ μέντοι ὑφ’ ἑαυτῆς κινεῖται· οὕτω γὰρ ἀξιοῦσι καὶ οἱ ἀμφὶ τὸν μέγαν Συριανὸν ἀκούειν τὸ αὐτοκίνητον κοινότερον λεγόμενον ἔν τε τοῖς Νόμοις καὶ τῷ Τιμαί ῳ· διὰ τοῦτο γὰρ τὰ φυτὰ μὴ κινεῖσθαι, φησὶν ὁ Τίμαιος, ὅτι μὴ μετέχει τῆς αὐτοκινήτου ψυχῆς, ὡς τά γε θηρία μετέχειν κατὰ τόπον κινούμενα· ἀλλὰ οὐδὲν ἧττον ἀνάγκη πᾶν κινούμενον ἤτοι ὑφ’ ἑαυτοῦ κινεῖσθαι, ἢ ὑφ’ ἑτέρου, καὶ τοῦτο διχῶς, ἢ ὑπὸ κρείττονος ὥς φαμεν τάς τε ἀτόμους ἐνεργείας καὶ ὄντως ἀλόγους, ἢ ὑπὸ τινοσοῦν· οὐ γὰρ δὴ ὑπὸ τοῦ ἐν ᾧ ἐστι, σώματος ὄντος, καὶ τοὐναντίον ὑπ’ αὐτῆς κινουμένου. Μήποτε οὖν αἱ ἐνέργειαι κινοῦνται ὑπὸ τῆς οὐσίας καὶ ταύτῃ αὐτοκίνητος ἡ ἄλογος ψυχή, ὡς οὖσα γεννητικὴ τῶν οἰκείων ἐνεργειῶν· ἀλλὰ πρῶτον μὲν κοινὸν τοῦτο ἔσται πάσης οὐσίας καὶ τῆς ἑτεροκινήτου λεγομένης, ἐπεὶ καὶ τὸ πῦρ οὕτως αὐτοκίνητον, ὡς οὐσία γεννητικὴ τῶν ἀτόμων

σφετέρων ἐνεργειῶν, καὶ ἡ βῶλος ὁμοίως καὶ τὸ σκέπαρνον καὶ πᾶν ὅ τι ἂν ᾖ δυνάμενον ἐνεργεῖν· ἀεὶ γὰρ ἀπὸ τῆς οὐσίας ἡ ἴδιος ἐνέργεια πρόεισιν· τοῦτο μὲν τοίνυν οὐκ ἂν ἔχοι λόγον οὕτω λεγόμενον.

1.31 Μήποτε δὲ ἐπεὶ ἐν ὑποκειμένῳ ὑπόκειται εἶναι τὸ τοιοῦτον εἶδος, οὐ καθ’ αὑτὸ ληπτέον αὐτὸ ὡς ἐνεργοῦν, ἀλλὰ μετὰ τοῦ ὑποκειμένου ἐν ᾧ ἐστιν· ὡς γάρ ἐστιν, οὕτω καὶ ἐνεργεῖ. Καθάπερ ἄρα τὸ διακρῖνον τὴν ὄψιν οὐκ ἦν ἡ λευκότης, οὐδὲ τὸ σῶμα τὸ ἄποιον, ἀλλὰ τὸ συναμφότερον, οὕτω καὶ ἡ αἰσθητικὴ ἐνέργεια οὔτε τῆς ἀσωμάτου ἐστὶν αἰσθήσεως, οὔτε τοῦ αἰσθητηρίου, σώματος ὄντος, ἀλλὰ τοῦ ἐξ ἀμφοῖν, ὡς μιᾶς συνθέτου οὐσίας, οἷον τῆς ἐξ ὕλης καὶ εἴδους συγκειμένης· οὐ γὰρ ὄργανον τῆς αἰσθήσεως τὸ αἰσθητήριον, ἀλλ’ ὑποκείμενον, ὡς ἑνούσης, ἀλλ’ οὐχὶ ὡς χρωμένης· εἰ μὲν δὴ ἐχρῆτο, πρὸ τοῦ ὀργάνου ἂν ἑαυτὴν ἐκίνησεν, ἵνα κινήσῃ καὶ τὸ ὄργανον· νῦν δὲ τῷ ὑποκειμένῳ συνυφέστηκεν, καὶ οὐδεμίαν ἔχει χωριστὴν ἐνέργειαν. Τὸ δὴ συναμφότερον μὲν ἐνεργείτω, κατὰ δὲ ὅμως τὸ εἶδος ἡ ἐνέργεια προΐτω, καθάπερ ἡ τῆς σμίλης κατὰ τὸ σχῆμα, καὶ τοῦ λευκοῦ σώματος, ἡ διακριτικὴ τῆς ὄψεως κατὰ τὴν λευκότητα· τί οὖν ἐν τῷ συνθέτῳ τὸ κινοῦν, καὶ τί τὸ κινούμενον; ἢ κινεῖ μὲν ἡ ψυχή, κινεῖται δὲ τὸ σῶμα· ἀλλ’ οὕτω πάλιν ἰδίᾳ μὲν ἡ ψυχὴ κινήσει, ἰδίᾳ δὲ τὸ σῶμα κινήσεται, καὶ ἔσται πρὸ τοῦ κινουμένου ἡ κινοῦσα, χωριστὴν ἐνέργειαν ἔχουσα τὴν κινοῦσαν πρὸ τῆς κινουμένης. Οὐκ ἄρα τὸ μὲν κινοῦν θετέον, τὸ δὲ κινούμενον, ἀλλ’ ἓν τὸ ζῷον γεγονὸς σῶμα αἰσθητικὸν ἢ σωματωθεῖσα αἴσθησις ταύτην ἐνεργεῖ τὴν δοκοῦσαν αὐτοκίνητον ἐνέργειαν. Εἰ γάρ ἐστι καὶ ἡ τοῦ συνθέτου ζῴου τις οὐσία, πάντως ἔτι καὶ σύνθετον ἐνέργειαν, ζῴῳ τῷ ὅλῳ πρέπουσαν, ὅλην τινὰ καὶ αὐτὴν οὖσαν, ἐν ᾗ τι καὶ ἀσώματον ἐνορᾶται καὶ σωματοειδὲς ἅμα συγκεκραμένον, ὡς ἐν τῇ διακριτικῇ τῆς ὄψεως ἔνεστι τὸ συναμφότερον· διὸ καὶ πάσχομεν ὑπὸ τοῦ λευκοῦ σώματος ἑκατέρως, σωματικῶς διακρινόμενοι τὸ αἰσθητήριον, ἀσωμάτως δὲ τοῦ πάθους ἀντιλαμβανόμενοι, οἷον αὐτὸ γνωρίζοντες.

1.32 Ὥσπερ οὖν τὸ δρῶν σύνθετον, οὕτω καὶ τὸ πάσχον, ἡ ὄψις, σύνθετόν τί ἐστιν ἐκ δυνάμεως ὀπτικῆς ἀσωμάτου καὶ ὑποκειμένου σώματος. Τοιοῦτον ἄρα θετέον αὐτοκινησίας εἶδος ἐνεῖναι τῇ ὀπτικῇ δυνάμει, καὶ ὅλως εἰπεῖν τῇ αἰσθήσει, οἷον καθ’ ἑαυτὸ μὲν μὴ ἐνεργεῖν, μηδὲ γὰρ ὑφίστασθαι, τῷ σώματι δὲ ἐγγενόμενον καὶ ποιῶσαν αὐτό, κατὰ δή τινα ἀξιολογωτέραν ποιότητα καὶ ἔλλαμψιν, ἀποτελεῖν τὸ ὅλον φαινόμενον αὐτοκίνητον. Διὰ τί δὲ φαινόμενον; ὅτι οὐκ ἀμερὲς καὶ τὸ αὐτὸ κινοῦν καὶ κινούμενον, ἀλλ’ ὡς αἱ κεχωρισμέναι ἀλλήλων οὐσίαι, τρόπον δὲ ἄλλον συνιοῦσαι, καθάπερ ἡ λογικὴ ψυχὴ καὶ τὸ ζῷον ἢ τὸ ὀστρεΐνον ζῷον καὶ τὸ πνευματικόν, ἢ τοῦτο καὶ τὸ αὐγοειδές· καὶ γὰρ ἐπὶ τούτων τῶν συμπλοκῶν τὸ μὲν κινεῖ, τὸ δὲ κινεῖται, διότι οὐκ ἔστιν τὸ μὲν ὑποκείμενον, τὸ δὲ ἐν ὑποκειμένῳ, ὅταν δὲ οὕτως ἔχῃ τὸ σύνθετον εἶδος, οὔτε ἑκάτερον ἰδίᾳ ἐνεργεῖ, οὐδὲ γὰρ ὑφέστηκεν, οὔτε ἐν τῇ συνθέσει τὸ μέν ἐστι κινοῦν, τὸ δὲ κινούμενον· πάλιν γὰρ διεστήξεται ταῖς ἐνεργείαις, ὥστε καὶ ταῖς ὑποστάσεσιν. Ἀλλ’ ἕτερος ὁ τρόπος οὗτος τῆς αὐτοκινησίας, ἐν ᾧ τὸ συναμφότερον κινεῖται κατὰ τὸ ἕτερον, οἷον τὸ εἶδος, ὅθεν καὶ δοκεῖ τοῦτο εἶναι τὸ κινοῦν, οὐχ ὅτι ὑπὸ τούτου τὸ ἕτερον, ἀλλ’ ὅτι κατὰ τοῦτο τὸ συναμφότερον, ἢ ὑφ’ ἑτέρου· καὶ εἰ μὲν τοῦτο, ἢ ὑπὸ τοῦ κρείττονος ἢ ὑπὸ τοῦ χείρονος, καὶ οἱ αὐτοὶ ἥξουσι λόγοι· εἰ δὲ ὑφ’ ἑαυτοῦ, τὸ αὐτὸ ἔσται κινοῦν καὶ κινούμενον, ὅπερ μόνῳ πρέπει τῷ ἀμερεῖ καὶ ἀσυνθέτῳ. Ἢ ὥσπερ τὸ αὐτοκίνητον οὐκ ἀληθινόν, οὕτως οὐδὲ τὸ αὐτὸ ὑφ’ ἑαυτοῦ κινεῖσθαι καὶ ἑαυτὸ κινεῖν ἀληθές, ἀλλὰ φαινόμενον, ὅτι ἕν ἐστί τι ἁπλοῦν, καθὸ κινεῖ τὸ σύνθετον, καὶ τοῦτο μὲν ὡς κινοῦν ἕν. Ἔστι δὲ καὶ καθ’ ἃ κινεῖται, καὶ καθ’ ὃ κινεῖ· συναμφότερόν ἐστι τὸ ὅλον εἶδος ἐν ᾧ τὸ καθ’ ὃ κινεῖται· συναμφότερον δὲ καθ’ ἑκάτερον διὰ τὴν ἀντιμετάδοσιν τῶν ὡσανεὶ στοιχείων τοῦ ὅλου εἴδους, ὥστε τὸ ὅλον κινεῖν τε καὶ κινεῖσθαι, ἀλλ’ οὐχὶ κατὰ τὸ ὅλον κινεῖν τε καὶ κινεῖσθαι ἑαυτό, ἀλλὰ κινεῖν μὲν κατὰ τὴν ψυχήν, κινεῖσθαι δὲ κατὰ τὸ σῶμα, οὔτε δὲ ὑπὸ

ψυχῆς, οὔτε ὑπὸ σώματος· τί δὲ ἀλλὸ τὸ ὑ φ ʼ οὗ καὶ κα θ ʼ ὅ, δῆλον ἂν εἴη ῥᾳδίως· διττὴ γὰρ ἡ κίνησις, ἡ μὲν ἐγγενομένη τῷ κινουμένῳ, πάθος αὐτοῦ γενομένη, ἡ δὲ ἔξω οὖσα καὶ ἐκείνην ἐνδιδοῦσα· κινεῖται τοίνυν ὑπὸ ταύτης μέν, κατʼ ἐκείνην δέ· εἰ γὰρ καὶ ὑπὸ ταύτης, ἐνδώσει τινὰ καὶ αὕτη κίνησιν ἀφʼ ἑαυτῆς, τῷ κινουμένῳ γε ὑφʼ ἑαυτῆς· ἐκείνη ἄρα ἔσται τὸ πάθος καὶ ἡ καθʼ ἣν κινεῖται τὸ κινούμενον· καὶ ἐπʼ ἄπειρον ἥξομεν.

1.33 Ὁμοίως δὲ καὶ ἐπὶ ζωῆς ἀληθὴς ὁ λόγος ἐξεταζόμενος· ἡ μὲν γὰρ ζωοποιεῖ, καὶ ζωὴν ἐνδίδωσι τῷ ὑφʼ ἑαυτῆς ζωουμένῳ, ἡ δέ ἐστι καθʼ ἣν ζῇ τὸ ζωωθὲν ὑπʼ ἐκείνης· εἰ γὰρ καὶ αὕτη ζωοποιεῖ, καὶ αὐτὴ δώσει ζωὴν ἑτέραν· καὶ τοῦτο ἐπʼ ἄπειρον. Οὕτω δὴ καὶ τὸ τῆς αὐτοκινησίας εἶδος, τὸ μὲν ὑ φ ʼ οὗ τὸ αὐτοκίνητον εἶναι δοκοῦν αὐτοκινητίζεται, τὸ δὲ κα θ ʼ ὃ τοιοῦτον εἶναι δοκεῖ, πάθος ὂν αὐτοκινησίας καὶ τοῦ μετασχόντος ἀχώριστον· τοιάδε γάρ τις ζωὴ καὶ ἡ αὐτοκίνητος φύσις, ψυχὴ γάρ· καὶ ἡ ψυχὴ δὲ διττή, ἡ μὲν γεννῶσα, ἡ δὲ καθʼ ἣν οὐσίωται τὸ ἔμψυχον, ὃ καὶ ἔνδοθεν αὐτὸ ἐξ ἑαυτοῦ δοκεῖ κινεῖσθαι, οὐκ ἐνόντος τοῦ ὑ φ ʼ οὗ κινεῖται, ἀλλὰ τοῦ κα θ ʼ ὅ, ὃ καλοῦμεν ἐμψυχία ν. Ἴσως δὲ καὶ τούτοις συγχωρήσας τις οἰήσεται κοινὰ ταῦτα εἶναι καὶ τοῖς φυτοῖς καὶ τοῖς ἀψύχοις πράγμασι· καὶ γὰρ ἡ βῶλος ἐπὶ γῆν ἔνδοθεν κινεῖται καὶ τὰ φυτὰ ὁμοίως· ἡ γὰρ φυτικὴ ψυχὴ ἐν αὐτοῖς, καθʼ ἣν τρέφεται καὶ αὔξει καὶ γεννᾷ ὅμοια· καὶ ἔτι τὰ ἄλογα τὸν αὐτὸν ἔχει τρόπον, καὶ τὰ λογικὰ ζῷα τὸν αὐτόν· ὥστε οὐδὲν ὃ μὴ αὐτοκίνητον. Πρὸς δὴ τοῦτον ἐροῦμεν ὅτι ἔνδοθεν μὲν κινεῖται πᾶν φυσικόν τε καὶ φυτικὸν εἶδος, καὶ ἔτι ζῷον ἕκαστον, ἀλλʼ οὐ πᾶσαν κίνησιν, ὅταν δὲ τοπικὴν ποιῆται τὴν κίνησιν· αὕτη γὰρ ἡ τρανῶς αὐτοκίνητος· κατὰ δὴ ταύτην τὰ ἄλλα ἑτεροκίνητά φαμεν ὅσα μὴ ταύτην ἔνδοθεν κινεῖται, ἐπεὶ καὶ εἰ τούτῳ διακρίναιμεν τὸ αὐτοκίνητον καθʼ ὃ ἡ λογικὴ ψυχὴ αὐτοκίνητος, οὐδὲ τὰ ἄλογα ζῷα φανεῖται αὐτοκίνητα· εἰς γὰρ ἑαυτὰ οὐ πέφυκεν ἐπιστρέφειν, οἷον ὄψις οὐχ ὁρᾷ ἑαυτήν· οὐδὲ φαντασία φαντάζεται ὅτι φαντάζεται, καὶ ὁ Θυμὸς δὲ καὶ ἡ ἐπιθυμία πρὸς τὸ ἐκτὸς ἔχει ὀρεκτὸν τὴν ὅλην καὶ πᾶσαν ἐνέργειαν· διόπερ ἐλέγομεν τὸ τοιοῦτον αὐτοκίνητον ἔνδοθεν εἰς τὸ ἐκτὸς ἐνεργεῖν, οὐ κύκλῳ πρὸς ἑαυτό, κατʼ εὐθυωρίαν δὲ ἀτεχνῶς· τοῦτο γὰρ ἦν τὸ τῆς ζωῆς ταύτης εἶδος, ἅτε ἀχώριστον ὂν τοῦ εὐθυτενοῦς ὑποκειμένου σώματος.

1.34 Ὡς γὰρ κατὰ τὴν φύσιν ἐνοῦσαν κινεῖται τὸ πῦρ ἄνω, καὶ κάτω ἡ γῆ, καὶ ὡς κατὰ τὴν ψυχὴν τὴν φυτικὴν καὶ τὰ φυτὰ τρέφεται καὶ αὔξει καὶ γεννᾷ ὅμοια, καὶ ταύτην ἐνοῦσαν, οὕτω καὶ τὰ θηρία κατὰ τὴν ἐνοῦσαν τῷ φυσικῷ τε καὶ φυτικῷ αὐτῶν σώματι ζωὴν ὀρεκτικὴν καὶ συνουσιωμένην τῷ τοῦ ζῴου εἴδει, κατὰ ταύτην οὖν ποιεῖται τὴν ἄλογον ἀτεχνῶς αὐτοκινησίαν. Εἰ δέ τις ὁρῶν τὰ θηρία λογοειδῆ ὄντα καὶ ἀφίεντα λογοειδεῖς ἐνεργείας, ὑπολαμβάνει καὶ ταῦτα μετέχειν τοῦ πρώτου αὐτοκινήτου, καὶ διὰ τοῦτο ψυχὴν ἔχειν πρὸς ἑαυτὴν ἐπιστρέφουσαν, τάχα μὲν συγχωρήσαιμεν αὐτῷ καὶ ταῦτα λογικὰ ποιοῦντι, πλὴν ὅτι οὐ καθʼ ὕπαρξιν, ἀλλὰ κατὰ μέθεξιν, καὶ ταύτην ἀμυδροτάτην· ὥσπερ καὶ τὴν λογικὴν ψυχὴν φαίη τις ἂν νοερὰν κατὰ μέθεξιν, ἅτε τὰς κοινὰς ἐννοίας ἀεὶ προβεβλημένην ἀδιαστρόφους. Πάντως δὲ τὸ χωριστὸν ἐν πλάτει θησόμεθα, καὶ ὅπου μὲν τοῦτο πλεονάζειν, ὅπου δὲ ἐκεῖνο φήσομεν· εἶναι μὲν γὰρ ἄκρα τὸ πάντη χωριστόν, οἷον τὸ λογικὸν εἶδος, καὶ τὸ πάντη ἀχώριστον, οἷον ἡ ποιότης· ἐν μέσῳ δὲ ἡ φύσις μὲν πρὸς τῷ ἀχωρίστῳ μικρὰν ἔμφασιν ἔχουσα τοῦ χωριστοῦ, ἡ δὲ ἄλογος ψυχὴ πρὸς τῷ χωριστῷ· δοκεῖ γάρ πως καὶ καθʼ ἑαυτὴν ὑφεστάναι, τοῦ ὑποκειμένου χωρίς, ὅθεν καὶ ἀμφισβητήσιμός ἐστι πότερον αὐτοκίνητος ἢ ἑτεροκίνητός ἐστι, πολὺ γὰρ τὸ τῆς αὐτοκινησίας ἴχνος, ἀλλʼ οὐχὶ τὸ ἀληθινόν τε καὶ εἰς ἑαυτὸ ἐπιστρεφόμενον, καὶ διὰ τοῦτο πάντη τοῦ ὑποκειμένου κεχωρισμένον, ἡ δὲ φυτικὴ ψυχὴ μέσως πως ἔχει· διὸ τοῖς μὲν δοκεῖ ψυχή τις εἶναι, τοῖς δὲ φύσις. Ἀλλὰ γὰρ ταῦτα μὲν ἐπιπλέον ἐν ἄλλοις ἐξεταστέον, καὶ νῦν δὲ εἰρήσθω τοσαῦτα. Πάλιν δὲ ἐπὶ τὰ προκείμενα μεταβατέον· τὸ δὴ τοιοῦτον αὐτοκίνητον, ὃ τῷ ἑτεροκινήτῳ συμπέφυρται, πῶς ἂν εἴη πρῶτον; οὔτε γὰρ ἑαυτὸ ὑφίστησιν, οὔτε τελειοῖ ἑαυτὸ κατὰ τὸ ἀληθές, ἀλλὰ δεῖται πρὸς ἑκάτερον ἑτέρου τινός· καὶ

ἔστι γε πρὸ αὐτοῦ τὸ ὄντως αὐτοκίνητον, οἷον καὶ ἡ αἴσθησις, μᾶλλον δὲ ἡ τῶν φαινομένων ἐνάργεια δίδωσι τὸ ἀνθρώπειον, καὶ δῆλον ὅτι πᾶν λογικὸν εἶδος ἀπὸ τούτου ληψόμεθα νῦν· ὁλοσχερέστερον γὰρ τὰς ἰδιότητας πρόκειται λαβεῖν τῶν πραγμάτων.

1.35 Ἆρα οὖν ἀρχὴ τὸ κυρίως αὐτοκίνητον, καὶ οὐδενὸς ἐπιδεῖται κρείττονος εἴδους; ἢ τὸ κινοῦν ἀεὶ πρὸ κινουμένου κατὰ φύσιν ἐστί, καὶ ὅλως ἅπαν εἶδος τὸ καθαρὸν τοῦ ἐναντίου πρὸ τοῦ συμμιγοῦς ἐκείνῳ καθ’ ἑαυτὸ ὑφέστηκεν, καὶ τὸ καθαρὸν τοῦ συμμιγοῦς αἴτιον· τὸ γὰρ ἄλλῳ συνουσιωμένον καὶ τὴν ἐνέργειαν ἔχει τῇ ἐκείνου συμπεφυρμένην· ὥστε αὐτοκίνητον μὲν ἑαυτὸ ποιήσει τόγε οὕτως ἔχον, ἅμα κινοῦν καὶ κινούμενον· κινοῦν δὲ μόνον οὐκ ἂν ποιήσειεν· οὐδὲ γὰρ μόνον ἐστίν· ἀεὶ δὲ καὶ μόνον εἶναι πᾶν εἶδος, ὥστε καὶ τὸ κινοῦν μέν, οὐ μέντοι κινούμενον. Ἢ ἄτοπον τὸ μὲν κινούμενον μόνον ἅμα, οἷον τὸ σῶμα, τὸ δὲ μόνον κινοῦν μὴ εἶναι πρὸ τοῦ συναμφοτέρου· δῆλον γὰρ ὅτι [ἐπεὶ] κρεῖττον ἔσται, ἐπειδὴ καὶ τὸ αὐτοκίνητον αὐτὸ ἑαυτὸ καθὸ κινεῖ κρεῖττόν ἐστιν, ἢ καθὸ κινεῖται. Δεῖ ἄρα πρῶτον εἶναι τὸ κινοῦν ἀκίνητον, ὡς τρίτον τὸ μὴ κινοῦν κινούμενον, ὧν ἐν μέσῳ τὸ αὐτοκίνητον, ὃ δεῖσθαι τοῦ κινοῦντος ἐροῦμεν, ἵνα αὐτὸ ποιήσῃ κινητικόν· τὸ δὲ ἑαυτοῦ κινητικὸν ἐχέτω ἀφ’ ἑαυτοῦ, εἰ βούλεταί τις· ὅλως δ’ εἰ κινεῖται, οὐ μένει κατά γε τοσοῦτον ὅσον κινεῖται· εἰ δὲ κινεῖ, δεῖ μένον κινεῖν καθ’ ὅσον κινεῖ· οὐκοῦν τὸ μένειν πόθεν ἕξει; ἀφ’ ἑαυτοῦ γὰρ ἢ τὸ κινεῖσθαι μόνον, ἢ ἅμα τὸ μένειν καὶ κινεῖσθαι κατὰ ταὐτὸν ὅλον· ἀλλὰ τὸ μένειν ἁπλῶς, πόθεν; ἢ ἀπὸ τοῦ μένοντος ἁπλῶς· τοῦτο δὲ ἦν τὸ ἀκίνητον αἴτιον· πρὸ ἄρα τοῦ αὐτοκινήτου τὸ ἀκίνητον ὑποθετέον ἡμῖν.

1.36 Σκεψώμεθα τοίνυν εἰ τὸ ἀκίνητον ἀρχή ἐστιν ἡ κυριωτάτη, καὶ πῶς οἷόν τε εἶναι· τὸ γὰρ ἀκίνητον τοσαῦτά ἐστιν ἀκινήτως ὅσα τὸ αὐτοκίνητον αὐτοκινήτως· οὐδὲν γὰρ αὐτοκίνητον δύναται πρῶτον εἶναι διὰ τὰς εἰρημένας αἰτίας· ἕκαστον δὲ τῶν ἐν τῷ αὐτοκινήτῳ αὐτοκίνητόν τί ἐστιν· προϋπάρχει ἄρα τούτου ἑκάστου τὸ ἕκαστον ἀκίνητον. Ἵνα δὲ σαφῶς εἴπω ἃ λέγω, τὰ ἄλλα παραλιπών, ἐπὶ τριῶν ποιήσομαι τὸν λόγον· ὁρᾶται γὰρ ἐν τῇ αὐτοκινήτῳ ψυχῇ τρία τοὐλάχιστον, οὐσιῶδε ς , ζωτικό ν , γνωστικόν, καὶ τούτων ἕκαστον αὐτοκίνητον δῆλον ὅτι. Καὶ γὰρ τὸ ὅλον αὐτοκίνητον ὅλον, οὕτω καὶ πρὸ ἑκάστου τὸ ἀκίνητον ἕκαστον κατὰ λόγους τοὺς αὐτούς· ἔστιν ἄρα καὶ τὸ ἀκίνητον πλήρωμα τῶν τριῶν τούτων εἰδῶν· ἤτοι οὖν διεσπασμένων, ἀλλ’ ἐν τῷ αὐτοκινήτῳ συνήνωται ἀλλήλοις· ἢ πάντη συνηνωμένων, ὡς μηδὲν ἐν αὐτοῖς διακεκρίσθαι· ἀλλ’ οὕτω γε ἕκαστον καθ’ ἑαυτὸ μόνον ἔσται αὐτοκίνητον, οὐ μὴν καὶ ἀκίνητον. Δεῖ δὲ καὶ ἕκαστον εἶναι ἀκίνητον, ἐφ’ ἑαυτοῦ μένον, διότι μὴ ἦν πρῶτον τὸ ἕκαστον αὐτοκίνητον. Καὶ ἄλλως ἡ διάκρισις πρὸ τῆς αὐτοκινήτου ὑπάρξει ἡ ἀκίνητος ἐξ ἀνάγκης· τὸ ἄρα ἀκίνητον ἓν ἅμα ἐστὶ καὶ πολλά, ἡνωμένον τε ἅμα καὶ διακεκριμένον, ὃ δὴ καὶ νοῦν ὠνομάκαμεν· δῆλον δὲ ὅτι τὸ ἡνωμένον ἐν αὐτῷ τοῦ διακεκριμένου φύσει πρότερον καὶ τιμιώτερον· ἀεὶ γὰρ ἡ διάκρισις ἐπιδεής ἐστι τῆς ἑνώσεως, οὐ μέντοι ἀνάπαλιν ἡ ἕνωσις τῆς διακρίσεως. Ὁ δὴ νοῦς τὸ ἡνωμένον οὐκ ἔχει καθαρὸν τοῦ ἀντικειμένου· συνουσίωται γὰρ τῷ διακεκριμένῳ κατὰ ταὐτὸν ὅλον τὸ νοερὸν εἶδος. Δεῖται ἄρα τοῦ ἁπλῶς ἡνωμένου τὸ πῇ ἡνωμένον, καὶ τὸ σὺν ἄλλῳ τοῦ καθ’ ἑαυτό, καὶ τὸ κατὰ μέθεξιν τοῦ κατὰ ὕπαρξιν. Καὶ γὰρ ὁ νοῦς αὐθυπόστατος ὢν παράγει ἑαυτόν, ὡς ἡνωμένον ἅμα καὶ διακεκριμένον· κατὰ τὸ συναμφότερον ἄρα· κατὰ ἄρα τὸ ἡνωμένον ἁπλῶς ἀπὸ τοῦ ἁπλῶς ἡνωμένου παραχθήσεται καὶ μόνον ἡνωμένου. Πρὸ τοῦ ἄρα εἰδητικοῦ, τὸ ἀπερίγραφον καὶ ἀδιάκριτον εἰς τὰ εἴδη· καὶ ὅπερ λέγομεν ἡνωμένον, ὃ δὴ ὂν οἱ σοφοὶ κεκλήκασιν, ἐν μιᾷ συναιρέσει τὰ πολλὰ ἔχον προϋπαρχούσῃ τῶν πολλῶν.

1.37 Οὐκοῦν ἐνταῦθα στάντες ἀναπνεύσωμεν καὶ διαλογισώμεθα τὸ ὂν εἰ ἔστιν ἡ ζητουμένη πάντων ἀρχή· καὶ τί γὰρ ἂν εἴη τοῦ ὄντος ἀμέτοχον, ὥσπερ ὅτε ἐστὶν αὐτοῦ γε τοῦ ὄντος ἐστὶ καταδεέστερον; ἢ εἰ τὸ ἡνωμένον τοῦτό ἐστι, δεύτερον ἂν εἴη τοῦ ἑνὸς καὶ ἐκείνου μετασχὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡνωμένον γέγονεν· ὅλως δέ, εἴ τι ἄλλο μὲν ἐννοοῦμεν τὸ ἕν, ἀλλὸ δὲ τὸ ὄν. Εἰ τὸ ὂν πρὸ τοῦ ἑνὸς εἴη, οὐ μεθέξει τοῦ ἑνός· ἔσται ἄρα πολλὰ μόνον, καὶ ταῦτα ἀπειράκις ἄπειρα· εἰ δὲ σὺν τῷ ὄντι εἴη τὸ ἕν, καὶ τὸ ὂν σὺν τῷ ἑνί, καὶ ἢ ὁμοταγῆ, ἢ διεστήξεται ἀπ' ἀλλήλων, καὶ ἔσονται δύο ἀρχαί, καὶ τὸ εἰρημένον ἄτοπον συμβήσεται· ἢ ἀντιμεθέξει ἀλλήλων, καὶ ἔσται τὰ δύο στοιχεῖα ἢ μέρη ἄλλου τοῦ ἐξ ἀμφοῖν, καί τι τὸ συναγαγὸν αὐτὰ πρὸς ἄλληλα· εἰ γὰρ τὸ ἓν πρὸς ἑαυτὸ ἥνωσε τὸ ὄν, ἅτε ἓν (εἴποι γὰρ ἄν τις καὶ τοῦτο) πρὸ τοῦ ὄντος ἐνεργήσει τὸ ἕν, ἵνα προσκαλέσηται καὶ ἐπιστρέφῃ τὸ ὄν· ἐφ' ἑαυτοῦ ἄρα τὸ ἓν αὐτοτελὲς ὑφέστηκε πρὸ τοῦ ὄντος. Ἔτι δὲ τὸ ἁπλούστερον ἀεὶ πρὸ τοῦ συνθετωτέρου· εἰ οὖν ὁμοίως ἁπλᾶ, καὶ δύο αἱ ἀρχαί, ἢ ἐκ δυοῖν μία, καὶ ἔσται σύνθετος· πρὸ ταύτης ἄρα τὸ ἁπλοῦν καὶ πάντη ἀσύνθετον, ὅπερ ἢ ἓν ἢ οὐχ ἕν· καὶ εἰ οὐχ ἕν, ἢ πολλὰ ἢ οὐδέν· ἀλλὰ τὸ μὲν οὐδέν, εἰ τὸ πάντη κενὸν σημαίνοι, μάταιόν τι δηλοίη· εἰ δὲ ἀπόρρητον, ἐκεῖνό γε οὐδὲ ἁπλοῦν· εἰ δὲ πολλά, οὐχ ἁπλοῦν· ἄπολυ γὰρ εἶναι βούλεται τὸ ἁπλοῦν κατὰ τὸ στερητικὸν τῶν πολλῶν. Καὶ ὅλως ἁπλουστέραν τοῦ ἑνὸς οὐκ ἔστιν ἐπινοῆσαι· πανταχῶς ἄρα τὸ ἓν πρὸ τοῦ ὄντος. Ἵνα δὲ καὶ τούτων ἀποστῶμεν τῶν λόγων, δραξώμεθα τοῦ λόγου τῆς ἀναβάσεως, ἐπὶ τὸ ἡνωμένον ἀναβάντες, ὅ τί ποτε καλεῖται πάντη [δὲ] ἡνωμένον, ἀπὸ τούτου ἐπὶ τὸ ἓν ἀναβαίνομεν, ἀπὸ τοῦ μετέχοντος ἐπὶ τὸ μετεχόμενον. Ἀρχὴ ἄρα τῶν πάντων ἐκεῖνο· καὶ ὁ Πλάτων ἐπὶ ταύτην ἀναδραμὼν οὐκ ἐδεήθη ἄλλης ἀρχῆς ἐν τοῖς λόγοις· ἐκείνη γὰρ ἡ ἀπόρρητος οὐ λόγων ἐστὶν ἀρχή, οὐδὲ γνώσεων· οὐδὲ γὰρ ζῴων, οὐδὲ ὄντων, οὐδὲ ἑνῶν, ἀλλὰ πάντων ἁπλῶς ὑπὲρ πᾶσαν ἐπίνοιαν τεταγμένη.

1.38 Διόπερ οὐδὲν ἐνεδείξατο περὶ ἐκείνης, ἀλλὰ τὰς ἀποφάσεις ἀπὸ τοῦ ἑνὸς ἐποιήσατο τῶν ἄλλων ἁπάντων, πλήν γε αὐτοῦ τοῦ ἑνός· τὸ γὰρ εἶναι ἓν ἀπέφησεν ἔσχατον, ἀλλ' οὐ τὸ ἕν· καὶ τὴν ἀπόφασιν αὐτὴν προσαπέφησεν, ἀλλ' οὐχὶ τὸ ἕν, καὶ τὸ ὄνομα καὶ τὸ νόημα καὶ γνῶσιν ἅπασαν, καὶ τί ἂν λέγοι τις ἐπιπλέον; αὐτὸ ὅλον καὶ ἅπαν τὸ ὄν, ἔστω δὲ καὶ τὸ ἡνωμένον καὶ τὸ ἑνιαῖον καί, εἰ βούλει, τὸ ἄπειρον καὶ τὸ πέρας τὰς δύο ἀρχάς, ἀλλ' οὔτι γε τὸ πάντων τούτων ἐπέκεινα ἓν οὐδαμοῦ ἀπέφησεν οὐδαμῶς. Διὸ καὶ Σοφιστῇ τίθησιν αὐτὸ ὄντος· καὶ ἐν Πολιτεί ᾳ, ὡς τἀγαθὸν ἐπέκεινα πάσης οὐσίας· ἀλλ' ὅμως καταλείπεται μόνον ἕν· ἤτοι δὴ γνωστόν ἐστι καὶ ῥητόν, ἢ ἄγνωστον καὶ ἄρρητον, ἢ πῶς μέν, πῶς δὲ οὔ· διὰ μὲν γὰρ ἀποφάσεων εἴποι ἄν τις περὶ αὐτοῦ, καταφάσει δὲ ἄρρητον. Καὶ αὖ πάλιν τῇ μὲν ἁπλότητι τῆς γνώσεως εἴη ἂν γνωστὸν ἢ ὑπονόητον, τῇ δὲ συνθέσει πάντη ἄγνωστον· διὸ μηδὲ ἀποφάσει αἱρετόν. Καὶ ὅλως ᾗ τίθεται ἕν, ταύτῃ συντάττεταί πως τοῖς ἄλλῃ πῃ τιθεμένοις· κορυφὴ γάρ ἐστι τῶν κατὰ θέσιν ὑφεστώτων· πολὺ δὲ ὅμως ἐν αὐτῷ καὶ τὸ ἄρρητον καὶ ἄγνωστον καὶ ἀσύντακτον καὶ ἄθετον, ἀλλὰ μετὰ τῆς τῶν ἐναντίων ἐμφάσεως· κρείττω δὲ τούτων ἐκεῖνα· τὰ δὲ καθαρὰ τῶν ἐναντίων καὶ πρὸ τῶν συμμιγῶν ἀμιγῆ προϋπάρχει πανταχοῦ. Ἢ γὰρ καθ' ὕπαρξιν ἐν τῷ ἑνὶ τὰ κρείττω· καὶ πῶς ἔσται ἐκεῖ καὶ τὰ ἐναντία ὁμοῦ; ἢ κατὰ μέθεξιν, καὶ ἑτέρωθεν ἥκει ἀπὸ τοῦ πρώτου τοιούτου· καὶ πρὸ τοῦ ἑνὸς ἄρα τὸ ἁπλῶς καὶ πάντη ἄρρητον, ἄθετον, ἀσύντακτον καὶ ἀνεπινόητον κατὰ πάντα τρόπον· ἐφ' ὃ δὴ καὶ ἔσπευδεν ἡ τοῦ λόγου διὰ τῶν ἐναργεστάτων αὕτη ἀνάβασις, μηδὲν παραλείπουσα τῶν μέσων ἐκείνων τε καὶ τοῦ ἐσχάτου τῶν πάντων· ἀλλ' οὕτω μὲν διὰ τῶν ἰδιοτήτων προήλθομεν· τὸ δὲ μέγα καὶ παντέλειον καὶ περιεκτικὸν ἁπάντων οὔπω ἐνεδειξάμεθα τῶν πρώτων ἀρχῶν, οἷον τοῦ ἡνωμένου, τοῦ ἑνός, τοῦ ἀπορρήτου. Ἰτέον δὲ καὶ ἐπὶ ταύτην ἡμῖν τὴν μέθοδον κατὰ δύναμιν.

1.39 Οὐκοῦν τοῦ πρώτου παντελοῦς ἀντιλαβώμεθα, ὅπερ οἱ θεοὶ καὶ τῇ αἰσθήσει προέτειναν εἰς ἔνδειξιν καὶ αὐτοὶ τῆς ἀφανοῦς καὶ νοητῆς καὶ ἑνιαίας καὶ ἀπορρήτου παντελείας. Οὐκοῦν ὅδε ὁ κόσμος τέλειός ἐστιν ἐκ τελείων, ὡς ὁρῶμεν· ὁρῶμεν δὲ αὐτοῦ τὸ αἰσθητόν· ἀλλὰ δῆλον ὅτι τὰ ἐν ἡμῖν καὶ ἐν ἐκείνῳ προϋφέστηκεν· οὐ γὰρ δὴ τὸ μὲν χεῖρον ἔχει τῶν ἐν ἡμῖν, τὸ σωματοειδές, καὶ εἴ τι ὑπόκειται τῷ σωματοειδεῖ, ἅτε μὴ ὄντι ἀφ' ἑαυτοῦ, ἐν ὑποκειμένῳ δὲ ὄντι· τὸ δὲ κρεῖττον οὐκ ἔχει, καὶ ταῦτα ὂν τελειότερον· ἕξει ἄρα καὶ φύσιν τὴν ἐκείνῳ

πρέπουσαν, οὐ τὴν κάτω καὶ ἄνω κινοῦσαν, ἀλλὰ τὴν κυκλίζουσαν· αὕτη γὰρ ἐκείνῳ κατὰ φύσιν κίνησις· ἕξει τοίνυν καὶ τὴν ἀμείνω ταύτης ζωήν, τὴν φυτικήν, οὐ δήπου τὴν αὔξουσαν, ἢ τρέφουσαν ἢ τὰ ὅμοια γεννῶσαν ἐν ἐπιρροῇ τινὶ καὶ ἀπορροῇ γινόμενα καὶ ἀπολλύμενα. Εἰ μὴ ἄρα καὶ ταῦτα ἄλλον τρόπον, ὃν ἐνταῦθα παρεισκυκλεῖν οὐκ ἀναγκαῖον, ἀλλὰ τήν γε συνέχουσαν καὶ δρῶσαν τῇ αὐτῇ κατ' εἶδος καὶ ἀριθμὸν ἀεὶ συμπεφυκυῖαν πλήρωσίν τε καὶ αὔξην, οὐ τὴν αὐξομένην, ἀλλ' ἤδη πᾶσαν ηὐξημένην, καὶ ἔτι τὴν γέννησιν τῶν οἰκείων φωτισμῶν, τὴν ἤδη γεγεννηκυῖαν αὐτούς, ταῦτα δὴ ἀνάλογον ἐκεῖ ποιοῦσάν τε καὶ συνέχουσαν. Ἕξει ἄρα καὶ τὴν ἄλογον ψυχήν, οὐ τὴν αἰσθητικὴν μόνην, ὥς φασιν, ἀλλὰ καὶ τὴν εἴσω κρατοῦσαν τὰ αἰσθητὰ οὐρανίαν καὶ θεοπρεπῆ φαντασίαν ἀεὶ τεταγμένην, ἀλλὰ καὶ τὴν ὀρεκτικήν, ἄλλον τρόπον οὖσαν ἐκεῖ θυμοειδῆ καὶ ἐπιθυμητικήν, ταύτην μὲν ἀπαθοῦσαν ἐπὶ τῇ θείᾳ ῥᾳστώνῃ καὶ εὐφρόσυνον ἀεὶ τοῦ ζῴου κατάστασιν, ἐκείνην δὲ χαίρουσαν ἐπὶ τῷ τελείῳ καὶ σεμνῷ τῆς κατὰ φύσιν τῷ κοσμικῷ ζῴῳ προσηκούσης ὑπεροχῆς. Ἀλλὰ μὴν εἰ λογικὸν ζῷον ὁ ἄνθρωπος, καὶ ψυχῆς λογιζομένης ἐξηρτημένον, πάντως ἔτι καὶ ὁ κόσμος τοιοῦτον· πολλῷ μειζόνως ἔχει ἄρα καὶ τὴν αὐτοκίνητον προεστῶσαν αἰτίαν ὄντως. Οὐ μόνον ἄρα φυσικήν, ἀλλὰ καὶ προαιρετικὴν ποιεῖται τὴν κύκλῳ κίνησιν, καὶ δῆλον ὡς ἀεὶ τεταγμένην καὶ οὐδέποτε τοῦ οἰκείου τέλους ἀποτυγχάνουσαν· τοῦτο γὰρ ὑπαγορεύει καὶ ἡ ἀστροθεάμων ἱστορία τῆς κοσμικῆς περιόδου.

1.40 Τὸ μὲν οὖν πάλιν τὸ αὐτὸ καὶ πάλιν τῆς κυκλοφορίας ποιείτω κατὰ τὰς οἰκείας μεταβολὰς ἡ αὐτοκίνητος, ἄλλοτε ἄλλη γιγνομένη ἐνέργεια, τὸ δὲ ταὐτὸν ἀεὶ καὶ ἐν τῷ αὐτῷ καὶ περὶ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτὸ παντελῶς ἀπαράλλακτον ἐν τῷ παραλλάσσοντι, καὶ ἐν τῷ μεταβαλλομένῳ ἀμετάβλητον, καὶ ἑστὼς ἐν τῷ κινουμένῳ. Τί ἄρα παρέχεται τῷ παντί; ἡ γὰρ αὐτοκίνητος ψυχὴ μεταβαλλομένας ἐνεργείας ποιεῖται· κινοῦσα γὰρ ἅμα κινεῖται· τὸ δὴ ἀκίνητον τῷ κόσμῳ πόθεν; εἰ μὲν ἀΐδιός ἐστι, τὸ πάντη καὶ ἀεὶ ἀκίνητον· εἰ δὲ πολυχρονιώτατον ζῷον (ἔστω γὰρ καὶ τοῦτο πρὸς τὸ παρὸν ἀπὸ τῆς ... εἰλημμένον τὸ ἐν τῷ χρόνῳ τούτῳ μένον), ὡσαύτως ἀεὶ κατὰ τὰ αὐτὰ ἀπαράλλακτον, ἀπὸ τοῦ αὐτοῦ πρὸς ταὐτὸν ἐπανακυκλούμενον κατὰ μίαν τάξιν καὶ ἕνα τρόπον κυκλοφορητικόν. Τοσούτῳ γὰρ ἐν χρόνῳ μεταβολὴν οὐδεμίαν οὐδὲ παράλλαξιν ὑπέμεινεν, εἰ μή τινι καὶ ἀκινήτῳ παντάπασι συνῆν αἰτίῳ. Ἔδει ἄρα καὶ ἐν τῷ παντὶ τοῦ ἀκινήτου τὸ αὐτοκίνητον ἐξηρτῆσθαι, παρεχομένου τῷ κόσμῳ τὴν οἰκείαν αὐτῷ τάξιν τε καὶ ζωὴν ἀκίνητον. Ἔτι δὲ ἡ ψυχὴ τοῦ παντός, ἅτε πρώτη οὖσα τῶν ἐγκοσμίων, τελεία ἐστὶν ἀεὶ καὶ εὐδαίμων ἀεί. Τοῦτο τοίνυν οὐκ ἂν ἔσχεν ἀφ' ἑαυτῆς· τὸ γὰρ μεταβαλλόμενον αὕτη ὑφίστησιν· ἀλλὰ μετέσχε τῆς ἀκινήτου προκαθημένης αἰτίας· εἰ γὰρ τὸ ἀεὶ τεταγμένον καὶ σύμμετρον εἶχε κατὰ τὸ αὐτοκίνητον, τάχα ἂν καὶ ἡ ἀνθρωπίνη ψυχὴ ἀεὶ τελεία ἦν· αὐτοκίνητος γάρ, ἀμέλει καὶ ἀθάνατος καὶ ἀεικίνητος· οὐ μέντοι ἀεὶ 〈κατὰ〉 τὰς μεταβατικὰς ἐνεργείας ἀπαράλλακτος, διὰ τὸ πόρρω τῆς ἀκινήτου διεστάναι. Εἰ δὲ ὅλως δέδεικται πρὸ τοῦ αὐτοκινήτου τὸ ἀκίνητον, δεῖ ἄρα καὶ πρὸ τοῦ κοσμικοῦ αὐτοκινήτου τὸ κοσμικὸν ἀκίνητον προεστάναι ἴδιον τῆς τοῦ κόσμου προεστώσης ἀμεταβλήτου διοικήσεως, ὥσπερ καὶ ἑκάστου θείου ζῴου τὸ οἰκεῖον ἑκάστῳ καὶ τῇ ἰδιότητι σύστοιχον.

1.41 Ἀλλὰ γάρ, ἵνα μὴ τανῦν τούτοις ἐνδιατρίβωμεν ἔχουσι πολλὰς ὑποψίας, πρὸ τοῦ ὅλου αὐτοκινήτου ἀκίνητον ὅλον προθήσομεν· οὐ γὰρ δήπου τὸ μὲν καταδεέστερόν ἐστι παντελές, τὸ δ' ὑπέρτερον μερικόν· ἔσται ἄρα κόσμος ἀκίνητος πρὸ τοῦ αὐτοκινήτου· τῷ δὲ αὐτῷ λόγῳ καὶ πρὸ τοῦ διῃρημένου ὁ συνῃρημένος τε καὶ ἡνωμένος, πάντα ὢν κατὰ ἕνωσιν ὅσα κατὰ διάκρισιν ὁ πεπληθυσμένος, καὶ νῦν δὴ ῥηθεὶς αὐτοκίνητος, καὶ ἔτι πλείω γε, εἰ οἷόν τε εἰπεῖν· ἀπὸ δὲ τοῦ κρυφίου τούτου διακόσμου ἐπ' αὐτὸ τὸ ἓν ἀνέβημεν· μὴ ἓν τὸ ἐλάχιστον ὑπολάβῃς, μηδέ τινα μίαν ἰδιότητα, ὥσπερ ἓν εἶδος ἢ ἕνα νοῦν, ἢ ἕνα θεόν, ἢ πολλούς, ἢ πάντας θεοὺς

μόνον ἀλλὰ πάμμεγά τι ἕν, αὐτὸ τὸ ἁπλῶς ἕν, πάντων περιληπτικὸν τῶν ἀφ' ἑαυτοῦ, μᾶλλον δὲ πάντα ὂν ἐκεῖνα κατὰ τὸ ἓν αὐτὸ τὸ πρὸ πάντων, τοῦ κρυφίου καλουμένου κόσμου κόσμος οὗτος ἀπορρητότερος, ὅς γε οὐδὲ κόσμος ἔτι καλεῖσθαι ἀνέχεται, ἀλλὰ πάντα ἓν ἀδιάκριτο ν· οὐδὲ πάντα κατὰ ἀλήθειαν, ἀλλὰ τὸ πρὸ πάντων ἕν, περιέχον τὰ πάντα τῇ οἰκείᾳ παντελεῖ ἁπλότητι. Τηλικούτου δὲ ὄντος τοῦ ἑνός, καὶ τὸ ἀπόρρητον οὕτως ὑπονοητέον, ὡς ἅμα πάντων εἶναι μίαν ἀπόρρητον περιοχήν, οὕτως ἀπόρρητον ὡς μηδεμίαν εἶναι μηδὲ περιοχήν, μηδὲ εἶναι, μηδὲ ἀπόρρητον· περὶ ἧς καὶ δὴ πέρας ἐχέτω ἡμῖν ἡ τοῦ λόγου προπέτεια, συγγνώμην αἰτοῦσα παρὰ θεῶν τῆς παρακινδυνευτικῆς ταύτης προθυμίας. Πάλιν τοίνυν ἀφ' ἑτέρας ἀρχῆς περὶ τοῦ ἑνὸς ζητητέον ἓν μὲν εἰ μετὰ τὸ πάντη ἀπόρρητον τὸ ἓν τακτέον, ὡς ἐπὶ τῶν ἄλλων διαστάσεων μεταξύ τι Θετέον τοῦ ἀπορρήτου καὶ τοῦ ῥητοῦ· ἢ τρόπον τινὰ ἀποφατικόν ἐστι τὸ ἀπόρρητον· λέγω δὲ τρόπον τινά, οὐχ ὅτι πῆ καταφατικὸν ἢ θετικόν, ἀλλ' ὅτι οὐδὲ ἀπόφασις οὐδὲ θέσις τὸ δὲ ὄνομα ἢ τὸ πρᾶγμα, ἀλλὰ παντελὴς ἀναίρεσις, οὐχί τι οὖσα.

1.42 Καὶ οὔτι γὰρ τῶν ὄντων, ἀλλὰ μηδὲ αὐτὴ οὖσα τὸ πάμπαν. Εἰ δὴ τοιοῦτον ὁριζόμεθα τὸ ἀπόρρητον ὄνομα, ὡς οὐδὲ ὄνομα, πᾶν ὅ ἐστι πρὸ τοῦ ἑνὸς ταύτης ἂν εἴη τῆς φύσεως· τοῦ γὰρ ἑνὸς ἐπέκεινα οὐδὲν ὑπονοεῖν δυνάμεθα. Εἰ δὲ τοῦτο πρῶτον ὑπονόητον καὶ ὁπωσοῦν, τί πρὸ αὐτοῦ πλείω ἐπιζητοῦμεν; ὅπου οὐδὲ τὰ πλείω, οὐδὲ τὸ ἕν· ἐπὶ μὲν δὴ ἐκείνης ἀπαλλαγῶμεν τῆς πολυπράγμονος ἀπορίας τε καὶ ἀμηχανίας, αὐτὸ δὲ τὸ ἓν πάλιν ζητήσωμεν εἰ ῥητὸν ἁπλῶς, ἢ τὸ ζητούμενόν ἐστιν μέσον τοῦ ἀπορρήτου καὶ τοῦ ῥητοῦ. Πολλὰ μὲν οὖν εἴρηται καὶ πρόσθεν περὶ τῆς τοῦ ἑνὸς φύσεως ἐξ ἀνάγκης διὰ τὴν ἐπέκεινα καὶ τοῦδε ἀρχήν· ταύτης γὰρ ἐχόμενοι, λέγειν πειρώμεθα περὶ ἐκείνης, ἧς ἔχεσθαι οὐκ ἐνῆν. Λεγέσθω δὲ ὅμως καὶ νῦν ὁ περὶ τοῦ ἑνὸς προηγούμενος λόγος, καὶ τοῦτό γε πρὸ πάντων ζητητέον, εἴ πη γνωστόν, ἢ πάντη ἄγνωστον. Ἀλλ' εἰ δυνάμεθα καὶ ἡμεῖς ἀναλύειν ἔσχατον ἄχρι τοῦ ἁπλουστάτου καὶ πάντων περιεκτικωτάτου, ὃ δὴ τὸ ἓν μόνον οἷόν τε ὑποθέσθαι, πάντως ὅτι τοῦτο αὐτό πη γνωρίζομεν, καὶ ἔτι μειζόνως ἡ κρείττων γνῶσις αὐτὸ μετέρχεται. Δεύτερον δὲ εἰ τὸ ἓν ἄλλο τι ἐννοοῦμεν, καὶ τὰ πολλὰ ἕτερόν τι ἐκείνῳ ἀντικείμενον, ἔχομεν ἄρα ἔννοιαν τοῦ ἑνός· εἰ δὲ τὸ τοιοῦτον εἰδητικὸν ἐννοοῦμεν, καὶ τὸ πρὸ τῶν εἰδῶν ἀπερίγραφον ἕν, οἷον τὸ πάντα ἓν κατὰ τὸ πάντη ἁπλούστατον. Πρὸς δὲ τούτοις, ἐπειδὴ ἕκαστον τῶν εἰδῶν καὶ ἕν τί ἐστιν, οὐ ταὐτὸν δέ ἐστιν ἑνὶ εἶναι καὶ εἴδει, ὥσπερ οὐδὲ ὄντι καὶ ἑνί, συναιροῦντες ἕκαστα, ὡς μὲν εἴδη συνάγομεν εἰς τὴν μίαν τοῦ νοῦ ἀπερίγραφον οὐσίαν, ὡς δὲ ὄντα εἰς τὴν μίαν τοῦ ὄντος ἀδιάκριτον ἕνωσιν, ὡς δὲ ἕνα εἰς τὴν μίαν τοῦ ἑνὸς ἀσύνθετον ἑνότητα· ὡς γὰρ ἄπειρα σημεῖα συνάγων ἓν σημεῖον ποιεῖς, οὕτως ἄπειρα ἕνα ὁμοῦ συναιρῶν, ἓν ποιεῖς τὸ πάντων περιληπτικώτατον. Πρὸς δὲ τούτοις ἀνάγκη πᾶν ὁτιοῦν προτιθέμενον εἰς ἔννοιαν ἢ μόνον εἶναι πολλὰ ἀμέτοχα τοῦ ἑνός· οὕτω δὲ οὐ στήσεται ἀπειρούμενα, οὕτω δὲ οὐδ' ἐννοήσομεν αὐτῶν οὐδ' ὁτιοῦν, ἢ μετέχοντα πολλὰ τοῦ ἑνός· καὶ ἅμα τῷ γνωρισμῷ τῶν πολλῶν, γνωσθήσεταί πως καὶ τὸ ἕν, ὅπερ καὶ ἔστησε τὴν τῶν πολλῶν ἐπ' ἄπειρον χύσιν· ἢ αὐτὸ μένον ἓν προτίθεσθαι, χωριζόμενον τῆς τῶν πολλῶν ἐννοίας, ὡς οἷόν τε· εἰ γὰρ καὶ μὴ ῥᾴδιον τελέως ἀποστῆναι τοῦ πλήθους, ἀναγόμεθα μᾶλλον πρὸς τὸ ἓν καὶ ἀποκαθαίρομεν ὁμῶς πρὸς αὐτὸ τὴν ἡμετέραν ἔννοιαν.

1.43 Ἔτι τοίνυν τὸ γινώσκειν ἢ κατ' ἐπιβολὴν γίνεται, [ἢ κατὰ συλλογισμόν,] ἥ ἐστι μαλθακή τις καὶ ἀμυδρὰ οἷον πόρρωθεν μὲν ὁρῶσα, τῇ δὲ ἀνάγκῃ τῆς ἀκολουθίας ἐπερειδομένη, ἢ κατὰ νόθον τινὰ συλλογισμὸν οὐδὲ τὴν πόρρωθεν ἔχοντα ἀπέρεισιν, ἀλλ' ἀφ' ἑτέρων ἕτερα ἐννοοῦντα, ᾧ καὶ τὴν ὕλην γνωρίζειν εἰώθαμεν καὶ στέρησιν καὶ ὅλως μὴ ὄν. Εἰ δή τις καὶ οὗτος τρόπος, τίς ἐστι γνώσεως; μήποτε καὶ τὸ ἐπέκεινα πάντων ἓν οὕτω γινώσκομεν, ὡς ὁ Πλάτων παραδίδωσι, ποτὲ μὲν κατ' ἀναλογίαν ἡμᾶς προσβιβάζων εἰς τὸ τῆς οὐσίας ἐξῃρημένον, ποτὲ δὲ διὰ τῶν ἀποφάσεων ἀπογυμνῶν ἡμῶν ἐκείνην τὴν φύσιν, ἣν τελευτῶν οὐδὲ εἶναί φησιν, ἀλλὰ μόνον ἓν τοῦ εἶναι ἀμέτοχον· ἀπ' αὐτῆς γὰρ τὸ εἶναι. Καὶ ἐπειδὴ τὸ ὄνομα καὶ ὁ λόγος καὶ ἡ δόξα καὶ ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιστήμη τοῦ ὄντος, ἀφαιρεῖ καὶ ταύτην. Εἰ δὲ καὶ ἡ νόησις τοῦ νοητοῦ ἐστιν, τοῦτο δέ ἐστι τοῦ ὄντος, ἀφαιρετέον καὶ ταύτην ἅτε σύνθετον καὶ τῷ ἁπλουστάτῳ μὴ ἐφαρμόζουσαν. Εἰ δέ ἐστιν ἑνιαία γνῶσις οἵα ἡ τῶν θεῶν κατὰ τὸ ἓν ἑστῶσα καὶ ὑπὲρ τὸ ἡνωμένον, αὕτη ἐφάψεται τοῦ ἑνὸς κατὰ ἐπιβολήν, ἡ δὲ παχυτέρα, οἵα καὶ ἡ ἡμετέρα, νόθῳ μόλις λογισμῷ ἀντιλήψεται τοῦ ἑνός. Ἤδη δέ ποτε καὶ ἡμεῖς ἐπιβαλοῦμεν, ὅταν, ὥς φησι, τὴν αὐγὴν τῆς ψυχῆς ἀνακλίνωμεν, τὸ ἄνθος αὐτοῦ προβαλλόμενοι τῆς ἑνοειδοῦς ἡμῶν γνώσεως.

1.44 Ὅτι δὲ γνωστὸν αὐτὸ τίθεται, σαφῶς ἐδήλωσε, μέγιστον αὐτὸ μάθημα καλέσας, καὶ ἐν Σοφιστῇ μέντοι πρὸ τοῦ ὄντος ἀποφήνας αὐτό, κατὰ τὴν τοῦ ἑνὸς ἔννοιαν μόνην στήσας τὴν ἀπόδειξιν. Χωρὶς δὲ τούτων, εἰ ἔστιν ἑνιαία γνῶσις, ὡς δηλοῦσιν οἱ ἐνθουσιασμοί, καθάπερ ἡ τῶν πολλῶν ὄντων μεμερισμένη γνῶσις συναιρεῖται εἰς μίαν τὴν τοῦ ἑνὸς ὄντος ἔννοιαν, οὕτω καὶ ἡ τῶν πολλῶν ἑνιαίων γνωστῶν· δῆλον γὰρ ὅτι τῇ ἑνιαίᾳ γνώσει καὶ ἑνιαῖον γνωστὸν ἀντιθήσομεν· οὐ γὰρ δήπου ὁ μεθεκτὸς θεὸς τὰ μὲν ἄλλα εἴσεται, ἑαυτὸν δὲ ἀγνοήσει, ἢ γνώσεται μόνον κατὰ τὸ ὂν ἑαυτόν, οὔτι γε μὴν καὶ κατὰ τὸ ἕν, ἄλλως τε καὶ τῇ ἑνιαίᾳ νοήσει ἣν αὐτὸς ἔχει· καὶ γὰρ ὡς ἐξηρτημένος ἔχει ὁ νοῦς, οὕτω καὶ αὐτὸς προάρχων· γνώσεται ἄρα καὶ αὐτὸς ἑαυτόν· αὐτὸς δὲ τὸ ἕν. Γνώσεται ἄρα καὶ τὸ ἕν. Καὶ ὅλως εἰπεῖν, ὥσπερ διττὸν τὸ νοερό ν , οὕτω διττὸν εἶναί φαμεν καὶ τὸ νοητόν, τὸ μὲν ἡνωμένον, τὸ δὲ ἑνιαῖον, τὸ μὲν ὑπερούσιον, ἐκεῖνο δὲ οὐσιῶδες· τὸ δὲ νοητόν φαμεν τὸ γνωστὸν τῇ νοήσει. Ἔστιν ἄρα καὶ ἑνιαῖον γνωστόν· γνωστὸν ἄρα καὶ ἓν τί ἐστί· πολλὰ οὖν τὰ ἑνιαῖα γνωστά· καὶ ὃ νῦν διηρχόμην, ἐρῶ. Ἡ τῶν πολλῶν τούτων γνώσεων διαίρεσις εἰς μίαν συναιρείσθω γνῶσιν ὁλοτελῆ τοῦ ὁλοτελοῦς ἑνός, ὅ ἐστιν ἁπλοῦν συναίρεμα τῶν πολλῶν ἑνάδων. Ἔτι δὲ λέγωμεν, εἰ ἔστιν ἕν τι γνωστόν, ἡ τοῦ ἑνὸς φύσις οὐκ ἀναίνεται πάντη τὴν γνῶσιν. Ὡς οὖν τὸ ἁπλῶς εἶδος γνωστόν, ὅτι καὶ τουτί, καὶ τὸ ἁπλῶς ὄν, ὅτι καὶ τουτί, οὕτω καὶ τὸ ἁπλῶς ἓν γνωστὸν ἂν εἴη, ὅτι καὶ τουτί. Καὶ γὰρ τὸ ἑκασταχοῦ τοιοῦτον, ᾗ τοιοῦτον, οἷόν τι εἶδος, ἀλλὰ καθὸ εἶδος, καί τι ὄν, ἀλλὰ καθὸ ὄν, καί τι ἄρα ἕν, ἀλλὰ καθὸ ἕν. Εἰ δὲ ἡ συναίρεσις ἡμᾶς ὑπερβαίνει τοὺς ἐν τῷ τιτανικῷ πολέμῳ συνεσπασμένους, τί θαυμαστόν; οὐδὲ γὰρ ἓν τῷ εἴδει γινώσκομεν, ὡς ἐν Ἐπιστολαῖς αὐτὸς λέγει ὁ Πλάτων, ἀλλ’ ὅμως καὶ περὶ ἐκείνων διατάτεσθαι δοκοῦμεν, ἐφαπτόμενοί πως αὐτῶν οὐκ ἀμέσως, ἀλλ’ ὥσπερ διὰ τινῶν σωμάτων διαφανῶν τῶν παρ’ ἡμῖν ἀνεγειρομένων εἰδῶν.

1.45 Ἔτι δὴ οὖν χρὴ καὶ τὸ γνωστὸν ἀπὸ τοῦ ἑνὸς ἄρχεσθαι, καὶ λέγεται ὑπὸ τῶν φιλοσόφων, πάντα γὰρ ἀπὸ τῶν θεῶν ἄρχεται, φασί, καὶ δειχθήσεται ὑφ’ ἡμῶν ἐν τοῖς ἑξῆς, ὅταν ἐπὶ τούτῳ γινώμεθα, ὥστε καὶ τὸ πρῶτον γνωστὸν ἐν θεοῖς, ἐπειδὴ καὶ τὸ γνωστικόν· ὅπου δὲ τὸ ἕτερον, καὶ τὸ ἕτερον τῶν πρός τι πέφυκε· τὸ πρῶτον ἄρα γνωστὸν εἰ ἕν ἐστιν, ἀναγκὴ τὸ πρῶτον ἓν εἶναι γνωστόν, ἐπειδὴ καὶ ἐν τοῖς οὖσι τὸ πρῶτον γνωστὸν αὐτό ἐστι τὸ πρῶτον νοητόν τε καὶ ὄν. Ἀλλὰ γὰρ ἐπὶ πᾶσι τὸ ἓν ἁπλῶς πάντα ἐστὶν ἕν· οὐ γάρ ἐστιν ἕν τι, ἀλλὰ πᾶν ἕν, ὡς Λῖνός τε ἔλεγε καὶ Πυθαγόρας, ὥστε καὶ γνωστόν· ἓν γάρ τι τῶν πάντων καὶ τὸ γνωστόν· ἐν τῷ ἑνὶ ἄρα καὶ τοῦτο προείληπται· ἐκ μὲν δὴ τούτων καὶ τῶν τοιούτων ὑπολάβοι ἄν τις εἶναι γνωστὸν αὐτὸ τὸ πρὸ πάντων ἕν. Πάλιν δὲ ἄν τις ἀπορήσειεν, εἰς ἐκεῖνα ἀποβλέψας ὧν πρῶτον μέν, ὃ δὴ ὕστατον ἐλέγετο· εἰ γὰρ πάντα τὸ ἕν, τί μᾶλλον γνωστὸν ἢ ἄγνωστον; καὶ γὰρ τὸ ἄγνωστον ἐκεῖ πρῶτον· ἓν γάρ τι καὶ τοῦτο τῶν μετὰ τὸ ἕν, ὅπερ καὶ ἀντιδιῄρηται τῷ γνωστῷ καὶ ἕν τι τῶν πολλῶν ἐστι· τὸ δὲ ἐπέκεινα καὶ τοῦ ἑνὸς οὔτε γνωστὸν ἦν οὔτε ἄγνωστον. Ἔστιν ἄρα τὸ ἓν ἄγνωστον, ἔκ γε τοῦ τοιούτου λόγου.

1.46 Καὶ γὰρ ἄλλως, εἰ πρῶτον ἀνέθορεν ἀπὸ τοῦ ἀρρήτου, δῆλον ὡς ἥκιστα διέστη αὐτοῦ. Καὶ ἔτι ὑπὸ τῆς ἐκείνου ἀγνωσίας ἐπιλυγάζεται. Πρὸς τοίνυν τούτοις, εἰ πάντα ἐστὶ κατὰ τὸ ἕν, οὐδὲν ἐν αὐτῷ κεχώρισται· οὔτε ἄρα γνωστόν ἐστιν οὔτε ἄγνωστον, ἀλλὰ μόνον ἓν καὶ πάντα ἕν. Ἔτι, εἰ, ὅτι πάντα, διὰ τοῦτο γνωστόν, ἔσται καὶ γνωστικόν· καὶ τοῦτο γὰρ ἓν τῶν πάντων· καίτοι τί ἂν γινώσκοι; οὔτε γὰρ τὸ πρὸ ἑαυτοῦ, οὐδαμῶς γὰρ ἐκεῖνο γνωστόν, οὔτε ἑαυτό·

διπλόην γὰρ ἕξει τινὰ πρὸς ἑαυτὸ ἐπιστρέφον, καὶ οὐκέτι ἕν· καὶ ἐνεργήσει τὸ πρὸ πάσης ἐνεργείας καὶ δυνάμεως· ἐν διακρίσει γάρ τινι ταῦτα ἀπὸ τῆς οὐσίας ὁρᾶται, τὸ δὲ καὶ ὑπὲρ πᾶσαν διάκρισιν καὶ αὐτὸ τοῦτο ἓν μόνον. Οὔτε τὰ μεθ' ἑαυτὸ γνώσεται· καὶ γὰρ ἐνεργήσει, καὶ ἔσται αὐτοῦ πρὸς τὸ χεῖρον ἡ ἐνέργεια, καὶ ταῦτα πρώτη οὖσα πασῶν ἐνεργειῶν. Καίτοι καὶ ἐν τοῖς ἔπειτα πρώτη γνῶσίς ἐστιν ἡ τοῦ κρείττονος, καὶ δευτέρα ἥγε ἑαυτοῦ, καὶ τρίτη ἡ τοῦ μεθ' ἑαυτό· χωρὶς δὲ τούτων, εἰ καὶ γνωστόν ἐστι τὸ τὶ ἕν, καὶ ᾗ ἕν τι, ἀλλ' οὔτι γε καὶ ὡς ἁπλῶς ἕν. Γινωσκέσθω γὰρ ὡς νοερὸν τόγε ἑνιαῖον, ἢ ὡς ζωτικόν, ἢ ὡς ἓν τὸ ὑπερούσιον ὃ καταλάμπει τὸ ὄν. Ἀλλὰ καὶ τούτων ἐπέκεινα τὸ ἁπλῶς ἕν, ὥστε καὶ οἱ ἀπὸ τῶν συναιρέσεων λόγοι καὶ οἱ ἀπὸ τῆς ἀναλογίας τοῦ ὄντος εἰς τοῦτο φέρουσι τὸ ἓν τὸ τοῦ ὄντος ὑπεριδρυμένον. Ὡς γὰρ τὸ ἓν ὂν ἐν τοῖς οὖσι τὸ πρῶτόν ἐστι νοητόν, οὕτω καὶ τὸ ἓν ἐν τοῖς ὑπερουσίοις τὸ πρῶτόν ἐστιν τὸ ὑπερούσιον. Τὸ ἐπέκεινα ἄρα ἄγνωστον ἂν εἴη. Καὶ μὴν ὁ νόθος λογισμός, ὅ τε δι' ἀποφάσεων καὶ ὁ δι' ἀναλογίας, ἔτι δὲ ὁ δι' ἀκολουθίας ἀναγκάζων συλλογισμός, ὃ μὴ οἶδέ τις εἰδέναι ταῦτα πάντα, μήποτε κενεμβατοῦντός ἐστι λογισμοῦ, ἀπὸ ἄλλων ἄλλα γινώσκοντος· ὅλως δὲ εἰ μὴ οἶδε τὸ ἁπλοῦν, οὐκ ἂν εἰδείη τὴν ὅλην πρότασιν, ὥστε οὐδὲ τὸν ὅλον συλλογισμόν. Καὶ ἡ ἀναλογία γένοιτο ἂν καὶ περὶ τῶν μὴ ὄντων παντάπασιν, οἷόν ἐστιν ἥλιος πρὸς ὁρατὸν καὶ ὁρατικόν, τοῦτο τὸ ἓν πρὸς γινῶσκον καὶ γινωσκόμενον.

1.47 Τὸν μὲν οὖν ἥλιον ἴσμεν, τὸ δὲ ἓν οὐκ ἴσμεν, καὶ ἡ ἀπόφασις ὃ μὲν ἴσμεν ἀφαιρεῖ, ὃ δὲ ἀπολείπει οὐκ ἴσμεν. Καὶ ὁ Πλάτων δὲ οὐ πάντως οἴεται γνωστὸν τὸ ὄν· πρῶτον μὲν γὰρ ἐν Παρμενίδῃ φησίν· "οὐδὲ γινώσκεται ἄρα," καθόλου τὴν γνῶσιν ἀφαιρῶν, καὶ ἐν τῇ Πολιτείᾳ, καίτοι δοκῶν αὐτὸ γνώριμον ποιεῖν, ὅμως τὸ γινῶσκον καὶ γινωσκόμενον δεῖσθαί φησι τοῦ φωτός, ἵνα τῷ φωτὶ γανωθὲν τὸ δὲ ἀντιληπτικὸν οἷον τρανεστέρου γνωστοῦ γενομένου γανωθέντος. Δρᾷ γὰρ καὶ τὸ γνωστὸν εἰς τὸ γινῶσκον, οἷον διεγεῖρον αὐτὸ πρὸς τὴν οἰκείαν ἐνέργειαν. Εἰ δὴ γνωστὸν τὸ ἕν, δεῖ αὐτὸ γανωθῆναι τῷ φωτί· καίτοι πῶς ἂν γανωθείη τὸ ἓν ὑπὸ τοῦ οἰκείου φωτός; τὸ γὰρ τῆς ἀληθείας φῶς ἐν ἐκείνοις ἀπὸ τοῦ ἑνὸς ἀπορρεῖν. Ἀλλὰ μὴ ἡ ἔννοια ἡμῶν τοῦ ἑνὸς ἀντιλαμβανομένη τοῦ διωρισμένου πρὸς τὰ ἄλλα ἀντιλαμβάνεται. Διὸ καὶ συναναφαίνει τὴν τῶν πολλῶν ἀντίληψιν, ὥστε κἂν συνέλωμεν, ἐπὶ τῆς αὐτῆς ἐννοίας ὀχούμεθα τῆς πρὸς τὰ πολλὰ ἀντικειμένης. Τοῦ δὲ ἑνὸς ἡ ἔννοια ὀφείλει ἀναντίθετος εἶναι καὶ μία παντελής, καὶ ἡ συναίρεσις δὲ πρὸς τὸ ἑνιαῖον ἀνάξιον· καὶ τὰ πάντα κατὰ τὸ ἓν τοῦ τοιούτου ἐστὶν ἑνός, ἐπειδὴ καὶ τὸ ὄν, πάντα κατὰ τὸ ἡνωμένον καὶ τὸ ἁπλούστατον, τοῦτό ἐστιν ὃ πρὸ τῶν πολλῶν ἐστι προσεχῶς. Ὡς γὰρ ἄπολυ τὸ ἁπλοῦν λέγεται, ἐκεῖνο δὲ τῶν πολλῶν ἑνάδων ἐπέκεινα, μετ' αὐτὸ γὰρ ἡ διάκρισις· ὡς γὰρ τῶν ἡνωμένων ἁπλούστατόν ἐστι τὸ πάντη ἡνωμένον καὶ ἀδιάκριτον, οὕτω καὶ τῶν ἑνῶν ἁπλούστατον τὸ ὑπερούσιον ἡνωμένον ἐστὶ καὶ ἑνιαῖόν γε ἡνωμένον, εἰ χρὴ οὕτω φάναι· τὸ δὲ ἁπλῶς λεγόμενον ἓν καὶ ὑπὲρ ταύτην ἐστὶ τὴν ἀνάπλωσιν, ὥστε καὶ τὸ ἔσχατον αὐτῆς ἂν εἴη τὸ ὄν, ὃ δὴ καὶ ἑνιαῖόν φαμεν. Ἐπισκεπτέον δὲ μήποτε καὶ τὸ ἡνωμένον οὔπω γνωστόν· συνήρηται γὰρ ἐν αὐτῷ καὶ οἷον συγκέχυται μετὰ τῶν ἄλλων ἀδιακρίτως τὸ γνωστόν, ὥστε πᾶν μὲν ὁμοῦ καὶ ἓν συναίρεμα τῶν πάντων, οὔπω δὲ ἕν τι ἤδη τὸ γνωστόν, ὡς καθ' αὑτὸ φαινόμενον.

1.48 Πρὸς μὲν δὴ τὰ εἰρημένα τοιαῦτα ἄν τις ἀπορήσειεν, χωρὶς δὲ τούτων αὐτὸ καθ' αὑτὸ σκοποῦντες τὸ πρόβλημα λέγωμεν εἰ δυνατὸν τόγε ἓν ἁπλῶς εἶναι γνώριμον. Εἰ τοίνυν τὸ ἓν αὐτὸ μόνον ἐστὶ τὸ ἓν καὶ οὐδὲν ἄλλο τῶν πάντων, οὔτε κατὰ μέθεξιν, ὅτι μηδὲν πρὸ αὑτοῦ, οὔτε καθ' ὕπαρξιν, ὅτι ἕν, οὔτε κατ' αἰτίαν, ὅτι μηδὲ αἰτίαν ἔχει ἐν ἑαυτῷ τῶν ἀπ' αὐτοῦ τινος, οὐδὲν γάρ τι ἐκεῖ παρὰ τὸ ἕν, πῶς αὐτὸ φήσομεν ἓν καὶ γνωστόν; οὔτε γὰρ ταὐτὸν γνωστὸν καὶ ἕν, οὔτε εἰ ἕτερον ἔτι ἕν. Καὶ μὴν εἰ γνωστὸν, ἢ κατὰ μέθεξιν, καὶ ἔσται πρὸ αὐτοῦ καθ' ὕπαρξιν τὸ γνωστόν, ἢ κατ' αἰτίαν, καὶ οὔπω γνωστόν, μετ' αὐτὸ δὲ καὶ ἀπ' αὐτοῦ γνωστόν, ἢ καθ' ὕπαρξιν, καὶ οὐκ ἔστιν ἐκεῖνο καθ' ὕπαρξιν, ἀλλὰ τὸ συναμφότερον ἓν γνωστόν, ὥστε ἓν κατὰ

μέθεξιν, εἴ γε ἐν τῷ συναμφοτέρῳ τὸ καθ' ὕπαρξιν. Ἔτι τοίνυν εἰ τὸ ἓν ἐκεῖνο πάντα ἐστὶ καὶ πᾶν, ὡς Λῖνός τε καὶ Πυθαγόρας ἐλεγέτην, τόδε πάντα εἶναι οὐκ ἔστι τόδε τι εἶναι, τόδε γνωστὸν εἶναι, τόδε τί ἐστιν εἶναι, δῆλον τὸ συμβαῖνον, ὅτι τὸ πάντα ὂν οὐκ ἔστι γνωστόν. Ἔτι τὸ γνωστὸν ἐφετόν ἐστι τοῦ γνωστικοῦ· ἡ ἄρα γνῶσις ἐπιστροφή ἐστι τοῦ γνωστικοῦ πρὸς τὸ γνωστόν· πᾶσα δὲ ἐπιστροφὴ συναφή ἐστι· συνάπτει δὲ τὸ αἰτιατὸν τῷ αἰτίῳ ἢ κατὰ γνῶσιν, ἢ κατὰ ζωήν, ἢ κατὰ τὸ εἶναι αὐτό. Πρὸ τῆς μὲν ἄρα κατὰ γνῶσιν ἐπιστροφῆς ἡ κατὰ ζωήν, πρὸ δὲ ταύτης ἡ κατ' οὐσίαν, πρὸ δὲ τῶν οὕτω διῃρημένων ἐστὶν ἡ ἁπλῶς ἐπιστροφή τε καὶ συναφή. Καὶ ἢ ταὐτὸν οὖσα τῇ ἁπλῶς γνώσει, ἢ τόγε ἀληθέστερον, καὶ πρὸ ταύτης ἡ ἕνωσις. Ἐπειδὴ καὶ τὸ ἓν πρό τε νοῦ καὶ ζωῆς καὶ οὐσίας (καὶ τῆς ἑνιαίας φημί), ἑκάστης ἐπέκεινα ἄρα γνώσεως ἡ ἕνωσις· τὸ ἄρα πρὸς τὸ ἓν ἐπιστρεφόμενον οὔτε ὡς γνωστικὸν οὔτε ὡς πρὸς γνωστὸν ἐπιστρέφεται, ἀλλ' ὡς ἓν πρὸς ἓν δι' ἑνώσεως, ἀλλ' οὐ διὰ γνώσεως· καὶ γὰρ ἔδει πρὸς τὸ πρῶτον διὰ τῆς πρώτης ἐπιστρέφεσθαι ἐπιστροφῆς· οὐκ ἔστι δὲ πρώτη ἡ γνῶσις, ἀλλὰ τοὐλάχιστον τρίτη· μᾶλλον δὲ ἡ κοινὴ τῶν τριῶν· τὸ δὲ ἀληθέστερον καὶ πρὸ τῆς κοινῆς.

1.49 Μήποτε δὲ καὶ αὐτὸ τοῦτο ζητήσεως ἄξιον, εἰ δι' ἐπιστροφῆς ἐκείνῳ συνάπτεσθαι δυνατόν· οὐδὲ γὰρ οἷόν τε ἀπ' αὐτοῦ τι προελθεῖν, ἵνα τι καὶ ἐπιστρέψῃ μετὰ τὴν πρόοδον. Πῶς γὰρ ἂν προέλθοι μὴ διακριθέν; πῶς δ' ἄν τι διακριθείη τοῦ ἑνός, καὶ οὐ διαπεσεῖται εἰς τὸ μηδέν; ὅτι γὰρ ἂν καὶ ὁπωσοῦν ἐκβέβηκε τὸ ἓν οὐδέν ἐστιν. Εἰ δὲ ἕκαστον ἓν καὶ οὐχ ἓν γίνεται, ἵνα τὸ οὐχ ἓν μένῃ καὶ μὴ σκεδασθῇ εἰς τὸ μηδέν, ἅτε ἐνδεδεμένον τῷ ἑνί, ἀλλὰ καθό γε ἓν ἔτι, τῷ ἑνὶ σύνεστι, μᾶλλον δὲ οὐδὲ προῆλθεν κατά γε τὸ ἓν ἀπὸ τοῦ ἑνός· ἀλλ' οὐδὲ κατὰ τὸ οὐχ ἕν, ἀλλ' ἀεὶ προλαμβάνει τὸ ἓν τὴν τοῦ οὐχ ἑνὸς ὅπως δήποτε διάκρισιν, ὥστε οὐδὲ ἐπιστρέφει πρός γε τὸ ἕν, ἀφ' οὗ μὴ προῆλθεν. Ἔτι τὸ διακεκριμένον διακεκριμένου διακέκριται, ὡς τὸ ἕτερον ἑτέρου ἕτερον. Εἰ δὴ ἐπιστρέφει τι, διακέκριται κατὰ τοσοῦτον καθόσον ἐπιστρέφει· καὶ τὸ ἓν ἄρα διακέκριται τούτου· πέπονθεν ἄρα τὴν διάκρισιν, καὶ ἔστιν οὐ μόνον ἕν, ἀλλὰ καὶ διακεκριμένον· οὐκ ἄρα ἕν. Ἔπειτα τί τὸ αἴτιον αὐτῷ τῆς διακρίσεως; ἢ γὰρ αὐτό. Καὶ πῶς γὰρ διακρίσεως αἴτιον τὸ ἕν, χαλεπὸν καὶ πλάσαι· ἑνώσεως γὰρ τὸ ἓν αἴτιον, διακρίσεως δὲ τὰ πολλὰ ἢ ὅ τί ποτε ἕτερον, τοῦτο μὲν γὰρ εἰσαῦθις· εἰ δὲ μηδὲ αὐτό, ἄλλο ἂν αὐτὸ διακρίνοι· καὶ ἤτοι πάλιν τὸ πρὸ αὐτοῦ, ὅπερ ἄτοπον (ἔστω γὰρ τὸ διακριτικὸν πρὸ τοῦ ἑνοποιοῦ, τὸ χεῖρον πρὸ τοῦ κρείττονος), ἢ τὸ μετ' αὐτό· καὶ πῶς τὸ αἴτιον πείσεται ὑπὸ τοῦ αἰτιατοῦ; τί δὲ καὶ τὸ μετ' αὐτὸ προελθόν; κινδυνεύει γὰρ ὁ λόγος εἰς τὸ αὐτὸ περιτρέπεσθαι, πάσης προόδου διακρινούσης καὶ τὸ τῆς διακρίσεως αἴτιον ἐπιζητούσης ἀεὶ μεταξύ, καὶ τοῦτο ἐπ' ἄπειρον.

1.50 Οὐκ ἄρα πρόεισί τι ἀπὸ τοῦ ἑνός, οὐδὲ ἄρχεται ἐκεῖθεν ἡ πρόοδος, ἀλλὰ πρὸ ἐκείνου πρώτου, ὃ δύναται καὶ ἑαυτὸ διακρίνειν ἀπὸ τῶν μετ' αὐτό, καὶ αὖ ἐκεῖνα ἀφ' ἑαυτοῦ· τὸ δὲ ἓν ἀνάπαλιν αὐτό τε ἑνοῦται τοῖς μεθ' ἑαυτό, καὶ ἐκεῖνα οὐκ ἀφίησιν ἑαυτοῦ διακριθῆναι. Εἰ τοίνυν ἀπ' αὐτοῦ μηδὲν πρόεισιν, οὐδὲ ἐπιστρέφεται πρὸς αὐτό· πολλῷ ἄρα μᾶλλον οὐ διὰ γνώσεως, οὐδὲ ὡς γνωστικὸν πρὸς γνωστόν· ἐν πλείστῃ γὰρ διακρίσει ταῦτα πρὸς ἄλληλα. Καὶ εἴπερ τις ἐπινοηθείη διακρίσεως ἀμυδροτάτη ἀπ' αὐτοῦ ἢ τοῦ πρώτου προελθόντος, (οὔτι γε καὶ τοσαύτη ἀπ' ἐκείνου γενήσεται διάκρισις, ἵνα καὶ δεηθῇ γνωστικῆς ἐπιστροφῆς), τοιαῦτα ἄν τις ἔχοι λέγειν τὴν πρὸς τὸ ἓν διαγνώσεως ἀνάτασιν ἀπαρνούμενος. Τίς ἂν οὖν γένοιτο λόγων διαιτητὴς ἀμφισβητούντων πρὸς ἀλλήλους περὶ τηλικούτων; Τὰ μὲν οὖν ἀληθέστατα περὶ τούτων αὐτοὶ ἴσασιν οἱ θεο ί· τολμητέον δὲ καὶ ἡμῖν ἀποπλῆσαι τὰς ἀπορητικὰς ὠδῖνας ἐφ' ὅσον ἐνδίδωσιν ἥ τε Θεία πρόνοια τῆς ζητουμένης ἀληθείας καὶ ἡ ἡμετέρα δύναμις. Τίς μὲν οὖν ἡ ἀπὸ τοῦ ἑνὸς τῶν ἀπ' αὐτοῦ πρόοδος καὶ τίνα τρόπον ἐπιτελεῖται, καὶ πῶς ἄν τις διαφύγοι τὰς πρὸς αὐτὴν ἀπορίας, ὕστερον μέτιμεν αὐτίκα δὴ μάλα· νῦν δὲ τόγε τοσοῦτον ληπτέον, ὅτι μετὰ τὸ ἓν πάντα ἐστίν· οὐ γὰρ ἐκεῖνο μόνον ἐστίν, ἀλλὰ καὶ τὰ μετ' ἐκεῖνο πολλὰ καὶ διάφορα. Καὶ ὅτι μὲν ταῦτα οὐκ ἔστιν ἐκεῖνο, φανερόν· ὥστε διακέκριται ἀπ' αὐτοῦ· καὶ εἰ

μὴ καθόσον ἓν ἕκαστον, ἀλλὰ καθόσον οὐχ ἕν. Τοῦτο τοίνυν τὸ οὐχ ἓν οὐκ ἔστιν ἀπόφασις, ἀλλὰ θέσις τοῦ παρὰ τὸ ἕν· καὶ τοῦτο δὲ ὅμως ἕν, ἀλλ' οὔτι γε ᾖ οὐχ ἓν καὶ παρὰ τὸ ἕν, ἀλλ' ὅτι οὐδὲ τοῦτο τοῦ ἑνὸς διέστη τὸ πάμπαν· ἀλλ' οἷον ἐρρίζωται τῷ ἑνί, καὶ τὸ οὐχ ἕν ἐστι διὰ τὸ ἕν· ὥστε τῷ ἐπιβλέποντι, τὸ μὲν οὐχ ἓν διακρίνεται τοῦ ἑνὸς τῇ ἑαυτοῦ φύσει, τῇ τοῦ οὐχ ἑνὸς διακρινόμενον, τὸ δὲ ἓν αὐτοῦ ἔτι ἔχεται καὶ οὐκ ἀφίσταται αὐτοῦ οὐδὲ κατὰ τοσοῦτον, ἐπεὶ καὶ τὸ οὐχ ἕν, ὅ τί ποτε ἂν ᾖ παρὰ τὸ ἕν, ὅμως ἔτι ἐστὶν ἓν κατὰ μέθεξιν διὰ τὸ γενέσθαι οὐχ ἕν.

1.51 Οὐκοῦν αὐτὸ μὲν ἑαυτὸ ποιεῖ οὐχ ἕν, τὸ δὲ ἓν αὐτό, καὶ ὡς ἓν ἀπεργάζεται φθάνον αὐτοῦ τὴν διάκρισιν τῇ ἑαυτοῦ ἑνώσει. Τὸ μὲν ἄρα οὐχ ἓν διακρίνεται ἀπὸ τοῦ ἑνός, ὅτι γίνεται οὐχ ἕν, τὸ δὲ ἓν οὐ διακρίνεται τοῦ οὐχ ἑνός, ὅ γε καὶ τὸ οὐχ ἕν, καίτοι διαστάν, ὅμως ἓν ποιεῖ. Τοσοῦτον ἀπέχει τοῦ διακρίνεσθαι ὥστε οὐδὲ ἀφιέντος, ἀφίεται, ἀλλὰ καὶ προλαμβάνει τῇ ἑνιζούσῃ μεθέξει τὴν ἐκείνου διακρίνουσαν ὕπαρξιν· οὐ γὰρ ἂν οὐδ' ὕπαρξις εἴη τινὸς ἄνευ τοῦ ἑνός, ὥστε καὶ τὴν ὕπαρξιν ἡ μέθεξις συνίστησι, τοῦτο δέ ἐστι, τὴν διάκρισιν ἡ ἕνωσις. Τοῦτο δὲ οὐ πάνυ θαυμασόμεθα, οὐδ' ὅσον καὶ ἀπιστῆσαι τῷ ῥηθέντι, ἐὰν ἐννοήσωμεν τὴν τοῦ ἑνὸς φύσιν οὔτε ποιεῖν οὔτε πάσχειν τὴν διάκρισιν πεφυκυῖαν. Ἐξετάσωμεν δὲ τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἐμφανοῦς εὐθυντῆρος ἁπάσης ἀληθείας, ἡλίου. Τῷ γὰρ ἀνεῳγότι ὀφθαλμῷ καὶ μὴ ὁρῶντι διά τινα γλαύκωσιν πάρεστι μὲν ὁ ἥλιος, ὥσπερ τῷ ὁρῶντι, ὁ δὲ οὐ πάρεστι τῷ ἡλίῳ διὰ τὴν οἰκείαν ἀπόστασιν· καὶ μὴ φοβώμεθα τὰς λογικὰς ἀξιώσεις· ἐπὶ γὰρ τῶν ὁμοφύλων αὗται χώραν ἔχουσιν, ἐφ' ὧν τὰ πρός τι ἰσάζιά πως ἢ ὁμοφυῆ, ἐπεὶ καὶ τὸ εἶδος ἕτερον τῆς ὕλης. Ἆρα οὖν καὶ ἡ ὕλη τοῦ εἴδους ἑτέρα ἐστίν; ἀλλ' ἡ ἑτερότης εἶδός ἐστιν· οὐκ ἄρα ἑτέρα ἡ ὕλη καὶ τὸ εἶδός ἐστι· διακέκριται τῆς ὕλης, ἀλλ' οὐ διακεκριμένης καὶ ταύτης ἄλλη διάκρισις ἐν τῷ εἴδει μεμένηκεν, οὐ δυνηθεῖσα παρελθεῖν εἰς τὴν ὕλην. Εἰ τοίνυν οὕτω διεκρίθη τι ἀπὸ τοῦ μὴ διακριθέντος, τί κωλύει τόγε αὐτὸ διακριθὲν ἰάσασθαι τῇ ἐπιστροφῇ τὴν διάκρισιν, ἵνα μὴ μόνον τὸ ἓν αὐτῷ παρῇ, ἀλλὰ καὶ αὐτὸ τῷ ἑνί.

1.52 Καὶ δῆλον ὅτι κατὰ τὰ μέτρα τῆς διακρίσεως, ἐγγύθεν ἢ πόρρωθεν· ὡς γὰρ ἕκαστον ἀπ' αὐτοῦ διακρίνεσθαι πέφυκεν, οὕτω καὶ ἐπιστρέφειν πρὸς αὐτὸ δύναται· καὶ ὥσπερ αὐτὸ μένει ἀδιάκριτον πρὸς ἕκαστον διακρινόμενον, οὕτω καὶ πρὸς ἕκαστον ἐπιστρεφόμενον, τὸ αὐτὸ μένει, καὶ ἓν τέλος ἁπάντων ἐστὶν ἀδιάκριτον· ὡς δὲ τὸ αὐτοὸν ἑκάστῳ προϊόντι σύνεστι τῷ ἐκείνου καλούμενον ἰδιώματι, οἷον οὐσιῶδες ἕν, καὶ ζωτικὸν ἕν, καὶ νοερὸν ἕν, αὐτὸ μὲν πανταχοῦ ἕν, ἀπὸ δὲ τῶν μετεχόντων παρονομαζόμενον, οὔπω μερισθὲν αὐτό φημι ταῖς πολλαῖς ἰδιότησι τῶν Θεῶν, ἀλλὰ τὸ ἁπλῶς ἐν ἑκάστῳ ἓν πρὸ τοῦ τινος ἑνὸς Θεωρῶ, καλῶ δὲ αὐτὸ ὅμως ἀπὸ τῶν οἷς πάρεστι, κἂν ἀδιάφορον ᾖ, καὶ πᾶν ἓν ἑκαστάχου, οὕτω δήπου καὶ τέλειόν τι τῷ αὐτῷ κατὰ τὴν ἑαυτοῦ διάκρισιν ἑκάστου ἐντυγχάνειν ἀπὸ τῆς ἑαυτοῦ ἐκεῖθεν τελειώσεως ὀνομάζει αὐτὸ τοιοῦτον τιθέμενον εἶναι, οἵῳ ἐνέτυχε, καὶ οἵου ἔτυχε. Καὶ γὰρ καὶ ἐκεῖνο πάντα ὂν κατὰ τὴν ὕπαρξιν τοῦ ἑνός, ἑκάστῳ σύνεστιν, ὡς ἴδιον αὐτοῦ ῥίζωμα, καὶ ἑκάστῳ φαίνεται, ὡς ἴδιον αὐτοῦ τέλος· ἃ γὰρ πάντα μεμερισμένως ἐστί, ταῦτα ἐκεῖνο κατὰ τὸ ἕν, οὐ δυνάμει, ὡς ἂν οἰηθείη τις, οὐδὲ κατὰ αἰτίαν τὴν οὔπω ὄντων, ἀλλ' εἰ Θέμις εἰπεῖν, καθ' ὕπαρξιν οὖσάν τε καὶ ὄντων, ἀλλὰ μίαν, καὶ μίαν παμφόρου φύσεως. Ὥσπερ οὖν ἑκάστῳ τῶν ἄλλων, οὕτω καὶ τῷ γνωστικῷ σύνεστιν ἕν, ὡς γνωστικόν· πρόκειται δὲ ὡς γνωστόν, οὐ τῷ ἑκάτερον εἶναι, ἀλλὰ τῷ συναμφότερον ὑπὲρ ἑκατέρων, ὡς δὲ ἀκριβέστερον εἰπεῖν, ὑπὲρ τὸ συναμφότερον· πάντα γάρ ἐστιν οὐκ ἀπὸ τῆς διακρίσεως, ἀλλὰ πρὸ τῆς διακρίσεως· οὕτω γὰρ ἔσται κατὰ ἀλήθειαν πάντα πρὸ πάντων οὐκ ἀτελῶς, ὡς δυνάμει, οὐδὲ κατὰ αἰτίαν, ὡς μήπω πάντα, ἀλλὰ πάντα κατὰ ὕπαρξιν τὴν ἀδιάκριτον, οὐ τὴν ἡνωμένην πρὸ πάντων, ἀλλὰ τὴν πάντων ὑπερηπλωμένην τῇ ἑαυτῆς ἁπλότητι, πάντα οὖσαν οἷα καὶ ὅσα τὰ προελθόντα κατὰ διάκρισιν. Καὶ τὰ κυρίως πάντα ἐκεῖνο· τὰ γὰρ ἀπ' αὐτοῦ διακριθέντα ἡ διάκρισις ἠμύδρωσε κατὰ φύσιν τὴν ἑαυτῆς. Ἀλλὰ δὴ καὶ τούτων ἕκαστον αὐτὸ ἑαυτοῦ κυριώτερόν ἐστιν ἐν τῇ μίᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συντάξει τῶν πάντων, ἀπολειπόμενον δὲ καὶ ταύτης, ἀεὶ μερικώτερον γίνεται καὶ ὑποδεέστερον, πλὴν ὅτι τῶν ἰδιοτήτων αἱ μὲν οἰκειότερον ἔχουσι πρὸς τὴν ἧττω διάκρισιν, αἱ δὲ πρὸς τὴν μείζω, διόπερ ἄλλαι ἀλλαχοῦ ἐκφαίνονται.

1.53 Περὶ μὲν οὖν τούτων οὐ καιρὸς ἐπεξάγειν τὴν διηκριβωμένην ἐξέτασιν. Τὸ δὲ οὖν ἓν πάντα πρὸ πάντων καὶ γνωστόν ἐστιν καὶ γνωστικόν, καὶ τῶν ἄλλων ἕκαστον, οὔτι γε ὡς λέγω, καὶ ὡς ἔστιν ἕκαστον (ἐν διακρίσει γὰρ ταῦτα, καὶ ἀντιδιήρηται πρὸς ἄλληλα), ἀλλ’ ὡς ἓν τῷ ἑκάστῳ συνὸν τῶν διακεκριμένων ἰδιοτρόπως, τῷ ᾧ σύνεστιν· τὸ γὰρ ἀνθρώπου ἓν ἀληθέστερος ἄνθρωπος, καὶ τὸ τῆς ψυχῆς ἀληθεστέρα ψυχή, καὶ τὸ σώματος ἀληθέστερον σῶμα· οὕτω γὰρ καὶ τὸ ἡλίου καὶ τὸ σελήνης ἀληθεστέρα σελήνη καὶ ἀληθέστερος ἥλιος· ἀλλ’ ὅμως οὐδὲν τούτων τῶν διακεκριμένων, ὧν τέ ἐστιν ἀληθέστερον, μόνον δὲ ἓν τὸ ἑκάστου προϊδρυμένον· συνήγαγε δέ μοι καὶ τὸ ἑκάστῳ συνόν, ὃ δοκεῖ μεμερίσθαι εἰς τὸ συνὸν καὶ ἀμέριστον καὶ ὄντως ἕν· ἴσως γὰρ οὐδὲ ἐμερίσθη, μένον δὲ τὸ αὐτὸ πᾶσι πάρεστι καὶ ἑκάστῳ ὡς ἴδιον, οὐ μεριζόμενον, διὰ τὸ πάντα ὂν κατὰ τὸ ἓν μὴ δεῖσθαι τοῦ μερισμοῦ. Ἆρα οὖν γινώσκει; ἢ τοῦτο τῆς διακρίσεως ἴδιον· οὐδ’ ἄρα γινώσκεται· καὶ τοῦτο γὰρ διακρίσεως· ἢ καὶ τοῦτο ἀληθές, ὡς ἀντικείμενον τὸ γιγνώσκειν τῷ γιγνώσκεται· οὐδὲν γὰρ τῶν τοιούτων ἐκείνῳ ἁρμόζει, οὐδὲ γὰρ τὸ ἓν ἁρμόζει, οὐδὲ τὰ πάντα· ἀντίκειται γὰρ καὶ ταῦτα καὶ μερίζει ἡμῶν τὴν ἔννοιαν. Ἐὰν μὲν γὰρ εἰς τὸ ἁπλοῦν ἀποβλέψωμεν, καὶ τὸ ἓν ἀπόλλυμεν τὸ παμμέγα ἐκείνου παντελές· ἐὰν δὲ πάντα ὁμοῦ ἐννοήσωμεν, ἀφανίζομεν τὸ ἓν καὶ ἁπλοῦν· αἴτιον δὲ ὅτι ἡμεῖς διῃρήμεθα καὶ εἰς διῃρημένας ἰδιότητας ἀποβλέπομεν, γλιχόμενοι δὲ ὅμως τῆς ἐκείνου γνώσεως ἡστινοσοῦν, συμπλέκομεν ὁμοῦ πάντα χρήματα, εἴ πως οἷοί τε εἴημεν καὶ οὕτως ἐπιλαβέσθαι τῆς μεγάλης φύσεως, εὐλαβούμενοι δὲ ὅμως τὴν πάντων πληθὺν συνεισαγομένην ἢ τὸν τοῦ ἑνὸς ἀπεστενωμένον ἰδιασμόν, τῷ ἁπλῷ καὶ πρώτῳ χαίροντες, εἰς τὸν ἀρχῆς λόγον τῆς πρεσβυτάτης, οὕτω δὴ τὸ ἓν αὐτῷ προσάγομεν, οἷον σύμβολον τῆς ἁπλότητος, ἐπεὶ καὶ τὰ πάντ α , οἷον σύμβολον τῆς πάντων περιοχῆς, τὸ δὲ ἐπ’ ἀμφοῖν ἢ πρὸ ἀμφοῖν οὔτε ἐννοεῖν οὔτε ὀνομάζειν ἔχομεν.

1.54 Καὶ τί θαυμαστὸν εἰ περὶ ἐκεῖνο ταῦτα πάσχομεν, οὗ καὶ ἡ διακεκριμένη γνῶσις ἑνιαία ἐστίν, ἧς οὐκ αἰσθανόμεθα; Ἀλλὰ καὶ περὶ τὸ ὂν τοιαῦτα ἕτερα πεπόνθαμεν· τὸ γὰρ ὂν ἰδεῖν ἐπιχειροῦντες αὐτὸ ἀφίεμεν, τὰ δὲ στοιχεῖα αὐτοῦ περιτρέχομεν, πέρας καὶ ἄπειρο ν , ὥς φασιν. Ἐὰν δὲ καὶ τὸ ἀληθέστερον ἐννοήσωμεν, ὅτι καὶ τοῦτο πλήρωμα τῶν πάντων ἐστὶν ἡνωμένον, τὸ μὲν πάντων εἰς πλῆθος ἡμᾶς καταφέρει, τὸ δὲ ἡνωμένον ἀφανίζει τὸ πάντω ν . Ἀλλ’ οὔπω γε οὐδὲ τοῦτο θαυμαστέον· καὶ γὰρ καὶ τῶν εἰδῶν ἕκαστον ἰδεῖν βουλόμενοι, τὰ στοιχεῖα αὐτοῦ περιθέομεν, τὸ δὲ ἓν αὐτοῦ ἐπιποθοῦντες ἀπόλλυμεν τὰ στοιχεῖα· ὁμοῦ δὲ ἕκαστον εἶδος ἓν καὶ πολλά, οὐ τῇ μὲν ἕν, τῇ δὲ πολλὰ, δι’ ὅλου δὲ ὅλον τοιοῦτον, ὃ μὴ δυνάμενοι ἀθρόον ἑλεῖν, ἀγαπῶμεν αὐτῷ προσβαλεῖν μετὰ τοῦ μερισμοῦ τῶν ἡμετέρων ἐννοιῶν. Ἀναρριχώμενοι δὲ ἀεὶ πρὸς τὸ ἄναντες εἰς τὸ ἀμεριστότερον συναισθανόμεθά πη καὶ ἐν τῷ μερισμῷ τοῦ μονοειδοῦς· ἀτιμάζομεν γοῦν αὐτὸν πρὸς τὴν ἐκείνου ἀθρόαν ἀντίληψιν, οὐκ ἂν τοῦτο συννοοῦντες, εἰ μὴ τῆς ἀθρόας νοήσεως ἴχνος τι ἐν ἡμῖν διεσείετο, καὶ τοῦτό ἐστιν ὅπερ ἐξαίφνης ἀνάπτεται φῶς ἀληθείας ὥσπερ ἐκ πυρείων προστριβομένων. Αἱ γὰρ μερισταὶ ἔννοιαι συναγειρόμεναι καὶ πρὸς ἀλλήλας γυμναζόμεναι κατὰ τὴν εἰς τὸ μονοειδὲς καὶ ἁπλοῦν συννεύουσαν κορυφήν, τελευτῶσιν ὥσπερ εἴς τινα σύμπτωσιν, οἷον τὴν κατὰ τὸ κέντρον ἐν κύκλῳ τὰ πέρατα τῶν ἀπὸ τῆς περιφερείας ἐπειγομένων εἰς τὸ κέντρον πολλῶν εὐθειῶν, καὶ οὕτω δὲ ἔχουσι μεμερισμένως μέν, εἰς δὲ τὸ ἀμέριστον παραβαλλομένοις ἴχνος τι γνώσεως προδιασείεται τοῦ εἴδους ἐν ἡμῖν, ὥσπερ τοῦ κέντρου ἀφανοῦς ὄντος, παρέχεταί τινα ἀμυδρὰν ἔμφασιν ἡ τοῦ κύκλου πρὸς τὸ μέσον ἐπίσης πανταχόθεν ἐπινοουμένη μία σύμπτυξις.

1.55

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τῷ δὲ αὐτῷ τρόπῳ καὶ εἰς τὸ ὂν ἀναβαίνομεν, πρῶτον μὲν ἕκαστον εἶδος, ὃ δὴ μεμερισμένον ἡμῖν προσπίπτει, ἐπινοοῦντες ἀμέριστον οὐ μόνον, ἀλλὰ καὶ ἡνωμένον, τὰ ἐν ἑκάστῳ πολλὰ συγχέαντες, εἰ χρὴ οὕτως εἰπεῖν, εἶτα καὶ πάντα ὁμοῦ λαβόντες διακεκριμένα καὶ τὰς περιγραφὰς ἀνελόντες, ὥσπερ πολλὰ ὕδατα ἓν ὕδωρ ποιοῦντες ἀπερίγραφον, πλὴν ὅτι οὐ τὸ ἐκ πάντων ἡνωμένον ἐπινοοῦμεν ὡς τὸ ἓν ὕδωρ, ἀλλὰ τὸ πρὸ πάντων, ὡς τὸ τοῦ ὕδατος εἶδος πρὸ τῶν διωρισμένων ὑδάτων, οὕτως ἄρα καὶ εἰς τὸ ἓν ἀναπλούμεθα, πρότερον μὲν συναγείροντες, αὖθις δὲ ἀφιέμενοι τῶν συναγειρομένων εἰς τὴν τούτων ὑπερηπλωμένην τοῦ ἑνὸς ἐκείνου ὑπεροχήν. Ἆρα οὖν ἀναβάντες ἐντετυχήκαμεν αὐτῷ ὡς γνωστῷ; ἢ βουληθέντες ὡς τοιούτῳ ἐντυχεῖν, ἀνελύθημεν εἰς τὸ ἄγνωστον; ἢ ἀληθὲς ἑκάτερον· καὶ γὰρ ὡς γνωστῷ πόρρωθεν ἐντυγχάνομεν, καὶ ἐπειδὰν αὐτῷ πόρρωθεν ἑνωθῶμεν, ὑπερβάντες ἡμῶν τὸ γνωστικὸν τοῦ ἑνός, εἰς τὸ ἓν εἶναι περιιστάμεθα, τουτέστιν εἰς τὸ ἄγνωστον εἶναι ἀντὶ γνωστικοῦ. Αὕτη μὲν οὖν ἡ συναφὴ ὡς ἑνὸς πρὸς ἓν ὑπὲρ γνῶσιν, ἐκείνη δὲ ὡς γνωστικοῦ πρὸς γνωστόν. Καὶ πῶς γνωστόν, εἰ μόνον ἕν; οὕτω μὲν ὡς ἀντερείδειν τὴν γνῶσιν, οὐ γνωστόν, οὐδ’ ὡς νόθῳ λογισμῷ κατὰ τὸν εἰρημένον τρόπον γνωστόν, ᾧ καὶ τὴν ὕλην γινώσκομεν, καίτοι τὸ γνωστὸν οὐκ ἔχουσαν· εἶδος γάρ τι καὶ τὸ γνωστόν, ἤ τι τῶν ὄντων· ἡ δὲ τὸ μὴ ὂν καὶ ἀνείδεος. Ὡς οὖν τῷ εὐθεῖ τὸ διεστραμμένον φασίν, οὕτω καὶ τῷ γνωστῷ τὸ ἄγνωστον καθυπονοοῦμεν· τρόπος δὲ ὅμως καὶ οὗτος γνώσεως. Γνωστὸν ἄρα καὶ ἐκεῖνο κατὰ τοσοῦτον ὅτι οὐχ ὑπομένει τὴν γνῶσιν προσιοῦσαν, ἀλλὰ πόρρωθεν μὲν ὡς γνωστὸν φαντάζεται καὶ ἐνδίδωσι τὸν ἑαυτοῦ γνωρισμόν, ὅσῳ δὲ μᾶλλον πρόσεισιν (οὐ καθάπερ ἐπὶ τῶν ἄλλων), τοσούτῳ μᾶλλον γινώσκει, ᾧ πρόσεισιν, ἀλλὰ τοὐναντίον ἧττον ἐκλυομένης ὑπὸ τοῦ ἑνὸς εἰς ἀγνωσίαν τῆς γνώσεως· εἰκότως, ἐπειδὴ προσδεῖται μὲν ἡ γνῶσις διακρίσεως, ὡς εἴρηται πρότερον, πλησιάζουσα δὲ τῷ ἑνί, συμπτύσσεται εἰς ἕνωσιν ἡ διάκρισις, ὥστε καὶ ἡ γνῶσις ἀναχεῖται εἰς ἀγνωσίαν. Οὕτω γάρ που καὶ ἡ Πλάτωνος ἀπαιτεῖ ἀναλογία· καὶ γὰρ τὸν ἥλιον τὴν μὴν πρώτην ἐπιχειροῦμεν ὁρᾶν, καὶ πόρρωθέν γε ὁρῶμεν· ὅσῳ δὲ μᾶλλον αὐτῷ εἶμεν, τοσούτῳ ἔλαττον αὐτὸν ὁρῶμεν· καὶ τελευτῶντες οὔτε ἄλλα οὔτε αὐτὸν ὁρῶμεν, ἀντιφωτιζομένου ὄμματος αὐτοφῶς γινόμενον.

1.56 Ἆρα οὖν ἄγνωστον τῇ οἰκείᾳ φύσει τὸ ἕν, εἰ καὶ τὸ ἄγνωστον, ἄλλο παρὰ τὸ ἕν; τὸ δὲ καθ’ αὑτὸ βούλεται εἶναι, σὺν ἄλλῳ δὲ οὐδενί· τὸ μὲν δὴ ἀντιδιῃρημένον τῷ γνωστῷ ἄγνωστον τὸ ἐπέκεινα τοῦ ἑνός, πάντῃ ἀπόρρητον, ὅπερ οὔτε γινώσκειν οὔτε ἀγνοεῖν ὁμολογοῦμεν, ἀλλ’ ἔχειν πρὸς αὐτὸ καὶ ὑπεράγνοιαν, οὗ τῇ γειτονήσει ἐπιλυγάζεται καὶ τὸ ἕν· ἐγγυτάτω γὰρ ὂν τῆς ἀμηχάνου ἀρχῆς, εἰ Θέμις οὕτως εἰπεῖν, ὥσπερ ἐν ἀδύτῳ μένει τῆς σιγῆς ἐκείνης. Διὸ καὶ ἐπ’ αὐτῷ οἱ λόγοι τῷ Πλάτωνι περιτρέπονται· ἐγγὺς γάρ ἐστι τῆς πανταχῇ τοῦ πρώτου περιτροπῆς, διήνεγκε δὲ ἐκείνης ὅτι ἓν ἁπλῶς καὶ ἔστι κατὰ τὸ ἓν καὶ πάντα ὁμοῦ· τοῦτο δέ ἐστιν ὑπὲρ τὸ ἓν καὶ τὰ πάντα, ἀμφοῖν ἁπλούστερον· ἐκείνη δὲ οὐδὲ τοῦτο. Καθόσον οὖν ἐξέβη τοῦ ἀπορρήτου, ἀλλ’ οὐχὶ τὸ διωρισμένον ἕν, τοῦτο γὰρ τελέως γνωστόν, ἀλλὰ τὸ πάντα ἕν, οὐδὲ πάντα ὅσα διώρισται· καὶ ταῦτα γὰρ ἔτι μᾶλλον γνωστά, ἅτε πολλὰ εἴδη· ἀλλὰ τὸ ὁμοῦ πάντα ἕν, ὅπερ ἀπὸ μὲν τοῦ ἑνὸς ἔχει διακαθαιρόμενον ἀπὸ τῶν πολλῶν τὸ ἁπλοῦν, ἀπὸ δὲ τῶν πάντων ἔχει ἀναινόμενον τὸ διωρισμένον τοῦ ἑνὸς καὶ ἀπεστενωμένον· καὶ τούτων μὲν ἑκάτερον γνωστόν, καὶ τὸ συναμφότερον, ὡς ἐν δυσὶ γνωστόν· ὃ δέ ἐστι πρὸ ἀμφοῖν, ὃ καὶ ἐνδεικνύμεθα δι’ ἐκείνου, τοῦτο αὐτόθεν οὐχ ὑπομένει τὴν γνῶσιν, ἀλλὰ δι’ εἰκόνος τοῦ συναμφοτέρου γινώσκεται, τοιοῦτον εἶναι πρὸ τοῦ συναμφοτέρου οἷον μετ’ ἐκεῖνο τὸ συναμφότερον.

1.57 Καὶ εἰ χρὴ διελόντα φάναι, τὸ μὲν ὄντως γνωστόν ἐστι τὸ ἔν τινι διορισμῷ Θεωρούμενον, ὃ καὶ εἶδος ἤδη πώς ἐστι· τοῦτο γὰρ τῇ οἰκείᾳ περιγραφῇ τὴν περιγράφουσαν ὑπομένει γνῶσιν. Διόπερ ἀπὸ τοῦ τοιούτου καὶ ἡ γνῶσις ἄρχεται· τὸ δὲ ἀντίξουν τούτῳ ἐστὶ πάντῃ ὂν ἄρρητον,

καὶ οὐδεμιᾶς λαβῆς ἀνεχόμενον· τὸ δὲ ἐν μέσῳ καὶ τούτου τὸ μὲν πρὸς τοῦ γνωστοῦ, οἷον τὸ ἡνωμένον, καὶ ταύτην διαφεῦγον τὴν διορίζουσαν ἢ περιγράφουσαν γνῶσιν, τὸ δὲ πρὸς τοῦ ἀρρήτου, οἷον τὸ ἓν ἁπλῶς καὶ πάντα κατὰ τὸ ἕν, ἐλαχίστην τινὰ καὶ ἀμυδροτάτην ὑπόνοιαν περὶ ἑαυτοῦ παρεχόμενον. Εἰ δέ τι καὶ μέσον τούτων ἐστίν, ὅταν ἕκαστα τούτων διακρίνωμεν, ἐπιστήσομεν· νῦν δὲ ἐκεῖνο περὶ τοῦ τοιούτου ἑνὸς ἐπισφραγιζόμενοι λέγομεν ὅτι ὃ μὲν λέγομεν οὐκ ἔστιν οὐδὲ γινώσκομεν ὡς ἓν καὶ ὡς πάντα ὁμοῦ, ὃ δὲ ἀπὸ τούτων ὠδίνομεν (ὠδῖνά φημι γνωστικὴν) τοῦτό ἐστι· μέχρι γὰρ ὠδῖνος ἡ γνῶσις αὐτοῦ προελήλυθεν, εἰς δὲ τόκον ἐκβαίνειν πειρωμένη καὶ διάρθρωσιν ἀποπίπτει ἐκείνου εἰς τοὺς τόκους αὐτοῦ, καὶ τοῦτό ἐστιν ὅπερ ὁ φιλόσοφος Πρόκλος ἐν τῷ μονοβίβλῳ ἀπόρρητον ἀξίωμα κέκληκε, τὸ κατὰ τὴν ὠδίνουσαν ἐκεῖνο γνῶσιν, ὡς ῥητὸν ἀξίωμα τὸ κατὰ τὴν ἤδη διηρθρωμένην. Τοῦτο δὲ αἴτιον καὶ τῆς ἐπαμφοτεριζούσης ἀεὶ περὶ αὐτοῦ δοκιμασίας καὶ κρίσεως, ποτὲ μὲν ὡς γνωστοῦ, ποτὲ δὲ ὡς ἀγνώστου ὄντος αὐτοῦ· πῶς μὲν γὰρ τοῦτο, πῶς δὲ ἐκεῖνο, καὶ διὰ τοῦτο καὶ ὁ Πλάτων ἐν Ἐπιστολαῖς τὸ ποιόν, καὶ τὸ τί ἀφαιρεῖ αὐτοῦ καὶ τοῦτο τῶν κακῶν αἰτιᾶται πάντων τὸν τοῦ ἰδίου μερισμόν, κατὰ τὸ ποιὸν καὶ τὸ τί· τῷ γὰρ ὄντι τοῦτο τιτανικὸν πάσχομεν, καὶ ὅμως τοῦτο τὸ πάθος ἐπὶ τὸ πάντων ἁγιώτατον καὶ παντὸς ὅλου ἀμερέστατον ἀνάγειν ἐπιχειροῦμεν. Εἰ τοίνυν τὸ τὶ καὶ τὸ ποιὸν ἀφαιρετέον τῆς αὐτοῦ γνώσεως, καὶ τὸ ἓν ἀφαιρετέον.

1.58 Τὶ γὰρ τοῦτο τῶν πάντων καὶ τὰ πάντα· τινὰ γὰρ τὰ πάντα· τῶν γὰρ ἁπάντων ἕκαστόν τί ἐστι· τινὰ ἄρα καὶ ὁμοῦ. Εἰ οὖν μήτε ὡς ἕν, μήτε ὡς πάντα γινώσκεται, τί ἂν εἴη; ἄπαγε, ἄνθρωπε, μὴ προσενέγκῃς τὸ τί· αὐτὸ γὰρ τοῦτό σε ἐμποδίζει πρὸς τὴν ἐκείνου γνῶσιν, ὅτι οἴει τι ἀκούσεσθαι, τόδε εἰ ἀφέλοις τὸ τὶ καὶ τὸ ποιόν, φανεῖταί σοι ὅ ἐστι κατὰ τὸ δυνατόν· αὐτὸ γὰρ τοῦτό ἐστι τὸ μή τι, μηδὲ ποιόν, ἀλλὰ πρὸ τούτων, ὅπερ οὔτε εἰπεῖν δυνατόν, πᾶν γὰρ ὄνομά τί ἐστι, καὶ τινὸς δηλωτικόν, οὔτε νοῆσαι ῥᾴδιον, πᾶν γὰρ νόημά τί ἐστι καὶ ποιοῦ τινος, κἂν πάντα ὁμοῦ συνάγῃς, ποιά ἐστι καί τινα, ποιῶν γάρ τινων. Ὥστε καὶ ὁ νοῦς, ᾗ νοῦς, τῶν ποιῶν τινων Θεωρὸς ὤν, ὠδίνει τὴν μὲν τῆς φύσεως ἐκείνης ἔννοιαν, προάγει δὲ αὐτὴν οὐδὲ ἐκεῖνος, ἀλλὰ τοὐναντίον, καὶ συνάγει πρὸς ἑαυτὴν τὴν ὠδῖνα, καὶ ἀνάγει πρὸς τὸ ἁπλούστατον καὶ πάντη ἀπερίγραφον καὶ ἄποιον παντελῶς τῇ περιγραφούσῃ ποιότητι κοινῇ τε ὁμοῦ πάντα καὶ ἰδίᾳ ἕκαστον, ὅπερ καὶ ὁ Πλάτων κατὰ τὰ λόγια παρακελεύεται ποιεῖν, εἴ πως δυνηθείημεν, τῶν ἡμετέρων ἐννοιῶν ἐπιλαθόμενοι, πρὸς τὴν ὠδῖνα ἐκείνην ἀναδραμεῖν, ἣ πέφυκεν ἐκεῖνο γνωρίζειν μέν, ἀπαγγέλλειν δὲ μηδενί, πλὴν ὅτι ἐξαιρεῖ τὸ ἐμπόδιον εἰς τὴν τοιαύτην προβολὴν ἐνιστάμενον, ὅπερ ἐστὶ τὸ ποιόν τι μὴν καὶ τὸ ὥς τι νοεῖν. Εἰ δέ τις αὐτὴν ἀναγκάζει περὶ ἐκείνου διδάσκειν, ἀνθ᾽ ἑαυτῆς προβαλεῖται δευτέραν ἢ τρίτην ἔννοιαν, ἣ τὰ ὁμοῦ διωρισμένα προφέρουσα δοκεῖ προφερεῖν ἐκεῖνο· οἷον ὅτι τὸ ἁπλούστατον ἀρχή, καὶ τὸ πρῶτον, καὶ τὸ πάντων περιεκτικόν, καὶ τὸ πάντων γεννητικόν, καὶ τὸ πᾶσιν ἐφετόν, καὶ τὸ πάντων κράτιστον· καὶ ἤτοι πάντα ἐφεξῆς ἀπαριθμήσεται, ὧν αἴτιον ἐκεῖνο ἢ τὰ κράτιστα καὶ τιμιώτατα τῶν πάντων, οἷα τὰ εἰρημένα, καὶ μάλιστα τὸ ἓν καὶ τὰ πάντα κατὰ τὰς εἰρημένας αἰτίας. Ἀλλὰ τούτων λεγομένων ἐπιλήψεταί τις ἀμείνων ταύτης ἔννοια, παραιτουμένη τὸ διωρισμένον καὶ πολύμορφον ἐν ἀρχῆς λόγῳ, συναίρουσα δὲ πάντα εἰς μίαν φύσιν μονοειδῆ, καὶ ταύτην ἐκείνης ἀξιοῦσα προτιθέναι, τὴν ἡνωμένην τῆς διωρισμένης. Ἀλλ᾽ ἡ εἴσω μένουσα καὶ οὐ προϊοῦσα τῆς γνωστικῆς δυνάμεως πρώτη ὠδὶς οὐδὲ ταύτην δέξεται τὴν συναίρεσιν, ὡς κύουσαν τὸ πλῆθος καὶ οὔπω γε αὐτὸ τετοκυῖαν, αὐτὴ δὲ τὸ ἁπλοῦν πάντη καὶ ὑπὲρ ἅπαν τὸ πλῆθος ἱδρυμένον ὠδίνουσα ἕν, ὅπερ ἄγνωστον ὄν, ὅμως ὠδίνει τὸ γνωστόν, εἰ Θέμις εἰπεῖν, οὐ προστιθέμενον τῷ ἑνὶ ἐκείνῳ· ἀλλ᾽ ἡ φύσις αὐτοῦ μὴ πάντη οὖσα ἀπόρρητος τὸ ἀναλογοῦν τῇ ὠδῖνι γνωστὸν εἰς ὑπόνοιαν παραδίδωσιν ἀδιάρθρωτον, οὐ προϊούσῃ εἰς γνῶσιν, οὐ προϊὸν εἰς τὸ εἶναι γνωστόν.

1.59 Φέρε οὖν ἐπειδὴ πάντα ἐστίν, οὐδέν, ὃ μὴ ἔστι τὸ ἕν, ὥς φαμεν, αὐτὸ τοῦτο ζητήσωμεν πρῶτον ὅπως ἀληθὲς ὅτι πάντα, καὶ δεύτερον εἰ ἐπίσης πάντα, καὶ ἔτι γε τρίτον τίς ἡ διαφορὰ τοῦ εἶναι πάντα τῷ τε ἑνὶ καὶ τῷ ἡνωμένῳ· πάντα γὰρ ἑκάτερον ἀδιακρίτως, λέγω δὲ οὐ τὸ οὐσιῶδες ὄν, ἀλλὰ τὸ ἑνιαῖον· καὶ τοῦτο γὰρ πάντα κατὰ τὸ ἕν, τό γε τοῦ ὄντος ὑπεριδρυμένον, ὃ καὶ πρὸ ἐκείνου λέγοιτο ἂν ἡνωμένον, τὴν ἀϊδιότητα τοῦ μικτοῦ προειληφός. Ἢ τοῦτο μὲν ἤδη προφαίνει τὴν ἐκ πολλῶν ἄκραν ἕνωσιν καὶ τὴν πρώτην ὠδῖνα τοῦ πλήθους, μᾶλλον δὲ τῆς τοῦ πλήθους μίξεως· πρὸ αὐτοῦ γὰρ ἐξεφάνη τὸ πλῆθος, ὥσπερ καὶ τὸ ἕν· ἐκ δὲ ἀμφοῖν εἰς αὐτὸ συνελθόντοιν τὴν μίαν ἐπ’ αὐτοῖς ἡνωμένην καὶ μικτὴν ἰδιότητα προεβάλετο τοῦ ὄντος, ἥτις αὐτοῦ γέγονεν ὕπαρξις, οὐ τὸ ἕν, οὐδὲ τὰ πολλά, ἀλλ’ ἡ τούτων μῖξις ἐν τῷ τρίτῳ ἀναφανεῖσα Θεῷ, τοῦτο αὐτὸ ὅπερ ἐστὶν ἡ μῖξις καὶ τὸ μικτόν, ὃ δὴ καλοῦμεν ἡνωμένον, ὃ δΐϊόν ἐστιν. Εἰ τοίνυν καὶ τοῦτο πάντα, ἀλλ’ ἡνωμένως τὰ πάντα, ἐπεὶ καὶ πρὸ αὐτοῦ πάντα τὸ πλῆθος, καὶ κυριώτερον πάντα ἢ τὸ ἕν· τοῦτο μὲν γὰρ πάντα, ἢ πολλὰ τὰ πάντα, ἐκεῖνο δέ, ἢ τὰ πάντα ἓν καὶ πάντα κατὰ τὸ ἕν. Ἴσως δ’ ἄν τις ἀπορήσειεν εἰ καὶ τὸ ἓν πάντα, καὶ οὐ μόνον ἔσται πρὸ αὐτοῦ τὸ μόνον ἕν, ἐπειδὴ ἁπλουστέραν ἔννοιαν ἔχει ἢ τὸ ἓν πάντα· πρόσκειται γὰρ τούτῳ πάντα, καὶ εἰ μὲν βούλεταί τις, ὁμόσε χωρήσει τῷ ἀποροῦντι τὸ μὲν πλῆθος ἓν πάντα φάμενος, ἓν μὲν καθ’ ὕπαρξιν, πάντα δὲ κατὰ μέθεξιν· τὸ δὲ ἓν μόνον, ἕν, καὶ οὔπω πάντα. Οὐ μέντοι, ἀλλ’ ἐκεῖνό γε ἀληθέστερον εἰπεῖν ὅτι καὶ τὸ πλῆθος ἐν τῷ ἑνί· καὶ τοῦτο γὰρ ἀπ’ αὐτοῦ, ἀλλ’ οἷον κατ’ αἰτίαν οὐ διωρισμένην ἀπὸ τοῦ ἐν ᾧ ἐστιν, οὔπω γὰρ ἐκεῖ διορισμός, ἀλλ’ ὅτι τὸ ἓν τοιοῦτον πρὸ πάντων οἷα τὰ πάντα μετὰ τὸ ἕν, καὶ ἔτι μειζόνως πάντα τὸ ἓν ἢ τὰ πάντα ἐστίν· αὕτη γὰρ ἡ αἰτία τοῦ πάντα εἶναι τὰ πάντα τὸ ἕν ἐστιν.

1.60 Ἄλλως οὖν πάντα πρὸ τοῦ πλήθους τὸ ἕν, ἀλλὰ καὶ ταὐτό γε τὸ μόνον ἓν καὶ τὸ πάντων ἁπλούστατον· διὰ τοῦτο γὰρ ἁπλούστατον ὅτι περιεκτικώτατον· διὸ καὶ πάντα. Ἆρα οὖν ἐπίσης; πῶς δὲ οὐχί; πάντα γὰρ κατὰ τὸ ἕν, καὶ οὐδὲν ὅ τι μὴ κατὰ τὸ ἕν· τὸ δὲ κατὰ τὸ ἓν καὶ τοῦ ἐπίσης ἐστὶν ἰσαίτερον, εἰ οἷόν τε οὕτως εἰπεῖν· τὰ δὲ ἀπ’ αὐτοῦ κατὰ τάξιν ἄλλο πρὸ ἄλλου, ἐκεῖ δὲ ἄνευ τάξεως, ὅτι ἐν διακρίσει ἡ τάξις· ἀλλ’ οὐδὲ κατ’ αἰτίαν ἡ τάξις, εἴη γὰρ ἂν κατ’ αἰτίαν καὶ ἡ διάκρισις, καὶ τὰ αἴτια διακεκριμένα· εἰ μὴ ἄρα καὶ ἡ τάξις ἐκεῖ καὶ ἡ διάκρισις, οὐδὲ κατ’ αἰτίαν, ἀλλὰ μειζόνως ἢ κατὰ τὴν αἰτίαν· κατὰ γὰρ τὸ ἓν καὶ τὸ πάντη ἕν, καὶ διὰ τοῦτο πάντα ἐπίσης. Διὰ τί οὖν τὰ μὲν αὐτῷ ἐστιν οἰκειότερα, τὰ δὲ ἀνοικειότερα, ὥς φαμεν, οἷον τὸ ἓν αὐτό, τὸ πάντα ὁμοῦ, τὸ ἁπλούστατον, τὸ πρῶτον, τὸ ἐπέκεινα πάντων, τἀγαθὸν καὶ ὅσα τὴν μίαν ἀρχὴν εἶναι δείκνυσθαι βούλεται; ταῦτα μὲν γὰρ εἴποι τις ἂν περὶ αὐτοῦ νοῦν ἔχων ἄνθρωπος· ἄνθρωπος δὲ ὅτι ἐστὶν ἤ τι τῶν ἀτιμοτέρων, αὐτό γε τὸ ἔσχατον, ἢ τὸ αἰτιατὸν ἢ ὕλη ἤ τι τῶν τοιούτων, οὐδεὶς ἄν, εἰ μὴ μαίνοιτο, φάναι τολμήσειεν. Ἢ τούτου αἴτιον τὸ μηδὲν μὲν ἐκείνων τῶν διωρισμένων ἐπαληθεύειν, μηδὲ τὸ πρῶτον, μηδὲ τὸ ἔσχατον, μηδέ τι τῶν μέσων, αὐτῶν δὲ τούτων τὴν τάξιν ὁρῶντες, ἣν ἔχει πρὸς ἄλληλα, ὡς τὰ μὲν παράγει, τὰ δὲ παράγεται, καὶ τὰ μὲν τάττει, τὰ δὲ τάττεται, βουλόμενοί τι ἐνδείξασθαι, ἀφ’ ὧν ἴσμεν, περὶ οὗ οὐκ ἴσμεν, τὰ πρεσβύτερα φύσει αὐτῶν ἀνατίθεμεν, τὰ αἴτια τῷ προαιτίῳ, καὶ τὰ πρῶτα ἀπ’ αὐτοῦ προελθόντα τῷ μηδὲ προελθεῖν τι, ὡς καὶ ταῦτα ἥκιστα προελθόντα. Τί οὖν; καὶ ἐκεῖνο τὰ μὲν πρῶτα, τὰ δὲ δεύτερα παρήγαγεν; οὕτω γὰρ καὶ ἐν ἐκείνῳ φανεῖται ἡ τάξις· ἢ ἐκεῖνο μὲν πάντα ὁμοῦ παράγει, τὰ δὲ οὐχ ὁμοῦ προέρχονται, ἀλλὰ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον ἑαυτὸ παράγει.

1.61 Καὶ πῶς τὰ κρείττω χωρίζεται τοῦ ἑνός, πρότερα τῶν χειρόνων; ἢ εἰ καὶ [εἰ] πρότερα διὰ τὸ μᾶλλον ἐρρῶσθαι πρὸς ὑπόστασιν τὴν ἐφ’ ἑαυτῶν, ἀλλ’ οὔτι γε καὶ μειζόνως χωρίζεται, ἀλλὰ καὶ ἥκιστα, διὰ τὴν αὐτὴν δύναμιν· ᾗ μὲν γὰρ δι’ ἀσθένειαν προῄει, τάχα ἂν τὰ πρότερα ἀπολείφθη πρότερα τοῦ ἑνός, ὃ πάσχουσι καὶ τῶν ψυχῶν αἱ ἀσθενέστεραι, ἀφιστάμεναι πρότεραι τοῦ νοῦ, δεύτεραι δὲ ἴσως καὶ μόγις αἱ ἰσχυρότεραι. Νῦν δὲ κατὰ δύναμιν γίνεται ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ τῶν αἰτίων πρόοδος, καὶ τὰ μὲν αὐταρκέστερά ἐστι πρὸς ὑπόστασιν, τὰ δ’ ὅλως οὐδὲ παράγειν ἑαυτὰ πέφυκεν, ἀλλὰ τὸ ὅλον ἑτέρωθεν ὑφίσταται. Εἰ δὲ ἐκεῖνο παράγει αὐτά, τὰ ἑαυτῷ ὁμοιότερα παράξει πρὸ τῶν ἀνομοιοτέρων, καὶ τὰ μᾶλλον αὐτῶν, οὐχ ὅτι προείληφε τὴν τάξιν, ἀλλ’ ὅτι ἀπ’ αὐτοῦ καὶ ἡ τάξις, ὡς καὶ τὰ ἄλλα πάντα. Τοῦτο μὲν οὖν τοιοῦτον. Ἀντὶ δὲ αὐτοῦ τὰ ὁμοιότερα αὐτῷ ὀνομάζομεν, τὰ μὲν δὴ παραγόμενα ἄνισα, τὸ δὲ παράγον ἴσον πρὸς πάντα, καὶ ἔτι μειζόνως ἢ ἴσον· ἓν γάρ ἐστι μόνον καὶ ὡς αὐτό, καὶ ὡς πάντα ὂν καὶ ὡς πάντα παράγον· κατὰ γὰρ τὸ ἓν ὅ τι ἂν εἴπῃς περὶ αὐτοῦ. Ἀλλὰ τὸ πρῶτον ἁπάντων ζητηθὲν ἤδη ἐπιλυτέον, πόθεν ὅτι πάντα; μήποτε γὰρ οὐδὲ οἷόν τε τὸ ἓν πάντα εἶναι· τίς δὲ καὶ ἡ χρεία τοῦ πάντα εἶναι; ἀρκεῖ γὰρ καὶ τὸ μόνον ἓν πρὸς τὸ πάντων αἴτιον· εἰ δὲ καὶ πάντων αἴτιον, οὐκ ἂν εἴη πάντα· εἰ δὲ καὶ πολλὰ τὰ πάντα, τόγε ἓν οὐκ ἂν εἴη πολλά· ἐοίκασιν ἄρα οἱ πάντα τὸ ἓν εἰπόντες ἀμυνόμενοι τὴν ἔννοιαν εἰρηκέναι τὴν προχειρότερον ἐκεῖνο τιθεῖσαν ἕν, ὥς τι τῶν πάντων· οὐ γάρ τι, ἀλλὰ πάντα τὸ ἓν καὶ πλέον γε ἢ τὰ πάντα· ἀρχὴ γάρ τοι ἥμισυ, φασί, τοῦ παντός· μᾶλλον δὲ τὸ πᾶν, τὸ δὲ ἀληθέστερον πλέον ἢ τὸ πᾶν. Καὶ ταῦτα Πυθαγορείων παῖδες φιλοσοφοῦσι· τῷ γὰρ ὄντι εἰ μὲν τὸ πᾶν λέγομεν, ἀρχήν τε καὶ τ’ ἀπὸ τῆς ἀρχῆς.

1.62 Ἡ δὲ ἀρχὴ τοῖς ἀπ’ αὐτῆς ἀντίσομος, ἥμισυ τοῦ παντὸς ἡ ἀρχή· εἰ δὲ τὸ πᾶν κυριώτερον ἡ ἀρχή, τὰ δὲ ἀπ’ αὐτῆς, οἷον μίμημα αὐτῆς καὶ οἷον ἀπαιώρημα· καὶ τοῦτο φάναι ἀληθές· εἰ δὲ μή, ἡ ἀρχή ἐστιν ἡ πρόληψις τῶν ἀπ’ αὐτῆς· οὐδὲ γὰρ τὰ ἐν τῷ παράγοντι αἴτια αὐτό ἐστι τὸ παράγον, ἀλλὰ καὶ τὸ τῶν ἐν ἑαυτῷ αἰτίων παρακτικὸν εἴη ἂν ἡ ἀρχὴ πλέον ἢ τὸ πᾶν. Εἰ δὲ ἀληθῆ ταῦτά φαμεν, οὐκ ἂν εἴη κατὰ ἀλήθειαν τὸ ἓν τὰ πάντα, ἀλλὰ τὰ πάντα μετὰ τὸ ἕν· καὶ γὰρ οὐδὲ αἰτίας τῶν πάντων ἐν αὐτῷ ἀποτίθεμεν, ἵνα ταύτῃ γοῦν εἴη πάντα κατὰ τὴν παντότητα τῶν αἰτίων· οὐδαμῶς ἄρα τὸ ἕν, ὡς ὄντως εἰπεῖν. Ἀλλ’ ἵνα μὴ τὸ ἐλάχιστον ἐννοῶμεν, τὸ δὲ πάντων περιεκτικώτατον καὶ μέγιστον, οὐδὲ τοῦτο ὡς τὸν κόσμον, ἀλλὰ τὸ πάντων ἁπλούστατον, οὐδὲ τοῦτο ὡς κατά τι τῶν κατὰ τὸν κόσμον, οἷον τὴν ἐσχάτην ἴτυν τῆς ἀπλάνους, ἀλλ’ ὡς εἰς τὴν ἁπλότητα αὐτοῦ πάντων ἀναχυθέντων καὶ οὐκέτι πάντων εἶναι βουλομένων. Ἢ καὶ τούτων εὖ λεγομένων, ὀρθῶς ἔχει καὶ ἐκεῖνο πάντα ἀνυμνεῖν· ἑκάστου γὰρ πλήθους τὸ ἡνωμένον συναίρεμα πᾶν ἐστιν ἀδιάκριτον, οἷον τὸ πλῆθος διακεκριμένον, πρὸ δὲ τοῦ ἡνωμένου ἑκασταχοῦ τὸ ἓν ἕκαστον, τοσαῦτα τὸ ἕν, ὅσα τὸ ἡνωμένον· ὅτι γὰρ τοσαῦτα, ὅ τι προῆλθεν εἰς τοσαῦτα· οὐ γὰρ εἰς ἓν ὑπέβη τὸ ἕν, ἀλλ’ εἰς ἡνωμένον, οὐδὲ τὸ ἡνωμένον εἰς ἡνωμένον, ἀλλ’ εἰς πᾶν διακεκριμένον, ὅπου καὶ σαφῶς τὰ πάντα νοοῦμεν. Ἀλλ’ ὥσπερ ἐν τῷ κέντρῳ συνέπτυκται ὁ κύκλος καὶ πᾶσαι αἱ ἀπὸ τοῦ κέντρου, οὕτω καὶ ἐν τῷ ἡνωμένῳ τὸ πᾶν τῆς διακρίσεως πλῆθος· ἀνὰ δὲ τὸν αὐτὸν λόγον ἐν τῷ ἑνί, τό τε κέντρον αὐτὸ καὶ τὰ ἐν τῷ κέντρῳ συνεπτυγμένα καὶ πάντα ὁμοίως ἁπλοΐζεται. Καὶ οὕτως ἓν τὰ πάντα λέγομεν, καὶ τὸ ἓν πάντα καὶ ἔτι πλέον, ὅτι κατὰ τὸ ἓν τὰ πάντα· καὶ τὰ μὲν πάντα οὐ πάντως ἕν, τὸ δὲ ἓν ἐκεῖνο πάντως τὰ πάντα. Ἐπὶ τούτοις ἄξιον ζητήσεως ὅπῃ διαφέρει τοῦ διωρισμένου ἑνὸς ἡ προφαινομένη ἔννοια, καὶ τούτου οὗ πέρι λέγομεν τοῦ ἀσυμμέτρου ταῖς ἡμετέραις ἐννοίαις, ἡ πρόχειρος ἔννοια τῷ προχείρῳ ἑνὶ ἐπαληθεύει, ἢ διωρισμένη τῶν ἄλλων πραγμάτων, δῆλον ὡς ἐκείνῳ τῷ ἀδιορίστῳ ἑνὶ οὐκ ἐφαρμόσει· ταύτης δὲ ἐπ’ αὐτοῦ ἀνῃρημένης, οὐδεμίαν ἔχομεν ἄλλην ἐκείνου γνωστικήν, ὥστε μάτην αὐτὸ καὶ ἓν λέγομεν.

1.63 Ἔπειτα καὶ τοῦ ἑνὸς τούτου γνωριζομένου, οὐδὲν ἁπλούστερον ἐννοοῦμεν, ὥστε τοῦτο ἂν εἴη πρώτη τῶν ἁπάντων ἀρχή· καὶ γὰρ τἀγαθὸν πρώτιστον ἔδοξεν εἶναι· διὸ τὸ μηδὲν αὐτοῦ κρεῖττον εἶναι δυνατόν, ὥστε καὶ τοῦτο ἀρχὴ τῶν ἁπάντων· καὶ διὰ τοῦτο εἰς ταὐτὸν ἡμῖν ἄγουσιν αἱ ἔννοιαι, τὸ ἓν καὶ τὸ ἀγαθόν. Καὶ πῶς ἐν διορισμῷ καὶ ἀντιδιαιρέσει τὸ πρῶτον; πῶς δὲ εἶδος τὸ πρῶτον; ἓν γάρ τι τῶν πολλῶν εἰδῶν τὸ ἓν καὶ τἀγαθόν. Πρὸς δὲ τούτοις ὡς κίνησις καὶ στάσις ἀντίθεσις μία, καὶ ἑτερότης καὶ ταυτότης, καὶ ἄλλαι τοιαῦται πλείους, οὕτω καὶ ἓν καὶ πολλὰ μία τις ἀντίθεσις, καὶ ἔστι μὲν ἐν ἑκάστῃ τὸ μὲν κρεῖττον, τὸ δὲ χεῖρον ὡς ἕν,

ὁμοταγεῖ δὲ λόγῳ τὸ κρεῖττον καὶ χεῖρον, καὶ δὴ ἀντιμετέχει ἀλλήλων τὰ ἀντικείμενα, ὡς ἐν Παρμενίδῃ δείκνυται, ὥστε καὶ τὸ ἓν καὶ τὰ πολλὰ ἐν ἀλλήλοις ἐστίν. Οὐκ ἄρα ἀρχή, διότι τῷ ἑνὶ τούτῳ ἥνωται τὰ πολλά· καθὸ δὲ τὰ πολλὰ ἥνωται, τοῦτο ἕν· καὶ τὸ μὲν ἐν αὐτοῖς μετεχόμενον, τὸ δὲ καθ' ὕπαρξιν καὶ ἐφ' ἑαυτοῦ πρὸ τῶν πολλῶν· πρὸ τῶν πάντων ἄρα· ἀρχὴ ἄρα τῶν πάντων τοῦτο τὸ ἕν. Εἰ γὰρ καὶ ἀντίκειται αὐτῷ τὰ πολλά, ἀλλ' οὔτι γε ὡς ὁμοταγῆ, ὡς τὰ αἰτιατὰ δὲ πρὸς τὸ αἴτιον· χωρὶς δὲ τούτων, εἰ τῶν πάντων συναγωγόν ἐστι τὸ ἕν (ἴδιον γὰρ αὐτοῦ τὸ ἑνοποιόν, καὶ τῆς μίξεως αἴτιον), τὸ δὲ ἑνοποιὸν καὶ συναγωγὸν τῶν πάντων πρεσβύτερόν ἐστι καὶ ὑπέρτερον τῶν συναγομένων καὶ ἑνοποιουμένων, φανερὸν ὅτι τὸ ἕν ἐστιν ἡ ἀρχὴ τῶν πάντων, ὅπερ ἀντιδιῄρηται πρὸς πάντα, ὡς αἴτιον τὰ αἰτιατά, καὶ τοῦτό ἐστιν ὃ γνωρίζομεν ὡς ἕν. Ἄλλο δὲ οὐδέ ἐστιν ἕν, οἷον τὸ ὡς γένος λεγόμενον; ἢ ῥητέον ὅτι τὸ μὲν ὡς γένος ἓν γνωρίζομεν, ὥς τι τῶν πάντων ὄν, ὡς τὰ πολλά τι λέγω τὸ εἶδος, καὶ ἀγαθὸν καὶ καλόν· ἡ γὰρ διωρισμένη ἔννοια τοῦ διωρισμένου ἐστὶ πράγματος· τὸ δὲ ἓν ἐκεῖνο, οὐχ ὡς ἑνοποιὸν ληπτέον, ἀλλ' ὡς παντοποιόν· καὶ πληθοποιὸν γάρ, καὶ ἀγαθοποιόν, καὶ καλοποιόν, καὶ ὁλοποιόν, καὶ οὐδὲ ἓν ὅτι οὐ ποιοῦν τῇ μίᾳ ἑαυτοῦ ἁπλότητι. Εἰ δὲ τὸ ἑνοποιόν, οὐ κλητέον ἓν κυρίως· εἰ δὲ οὐκ ἔστιν αὐτοῦ ὄνομα κύριον, ἕκαστον αὐτὸ κλητέον, οὐ μόνον ἑνοποιόν, ἀλλὰ καὶ πληθοποιόν, καὶ ἕν, εἰ βούλει, καὶ πολλά, μᾶλλον δὲ πάντα πρὸ τῶν πολλῶν καὶ τῶν πάντων.

1.64 Τί οὖν; οὐ συνάγει τὰ πάντα καὶ τῆς μίξεως ἐκεῖνο αἰτιᾶται ὁ ἐν Φιλήβῳ Σωκράτη ς ; πάντως δήπου, ἀλλὰ κατὰ τὸ ἓν μόνον ἰδίωμα αὐτὸ προβαλλόμενον τὸ συναγωγόν τε καὶ ἑνοποιόν· τούτου γὰρ ἐκείνοις ἐδεῖτο, ἐπεὶ καὶ τὸ πέρας ἓν ἦν καὶ τὸ ἄπειρον ἕν, καὶ τὸ μικτὸν ἕν· καὶ οὐ δεῖ τῆς μίξεως μόνης αἴτιον ἐκεῖνο, ὡς δοκεῖ λέγεσθαι, ἀλλὰ καὶ τῶν στοιχείων. Ὅτι δὲ ὁ Σωκράτης οὐκ ἐπὶ τοῦτο τὸ ἓν φέρει τὴν διάνοιαν, ἀλλ' ὡς ἐπί τι σεμνὸν καὶ ἀπόρρητον, ἐδήλωσεν, αὐτὸ μὲν ἀφείς, ὡς πάντῃ κρυπτόμενον, τὰς δὲ ἐν προθύροις αὐτοῦ τρεῖς μονάδας ὡς γνωρίσματα αὐτοῦ προαγαγὼν τὰς τρεῖς τοῦ ἑνός. Καίτοι ῥᾴδιον ἦν τὸ εἰδητικὸν τοῦτο ἓν ἐννοῆσαι, καὶ τὸ συναγωγόν, καὶ ἑνοποιὸν τῶν πολλῶν βαλέσθαι εἰς νοῦν, καὶ τοῦτο μᾶλλον ἢ τὴν ἀλήθειαν καὶ τὸ κάλλος καὶ τὴν συμμετρίαν. Ἔτι τοίνυν οὐ τὸ πέρας μόνον καὶ τὸ ἄπειρον ἦν τὰ στοιχεῖα, ἀλλὰ καὶ τὸ ἓν καὶ τὰ δύο, καὶ εἰ μόνα ταῦτα ἦν, ὥστε τὸ ἓν ὡς στοιχεῖον παρείληπτο. Ἐπὶ δὴ τούτοις τί ἐζητεῖτο; τὰ μὲν στοιχεῖα τά τε ἄλλα καὶ τὸ ἓν προϋπέκειτο, τὸ δὲ ἐκ τούτων μικτὸν ἐζητεῖτο ὅπως γέγονεν. Οὐκοῦν τὸ μικτὸν πάντων ὁμοῦ τὰ στοιχεῖα καὶ τὸ σύγκριμα τῶν στοιχείων, διὸ τῆς πάντα οὔσης αἰτίας ἐδεήθη, ἵνα γένηται πάντα ἓν ἐκ πάντων, ὡς ἐκείνη πρὸ πάντων. Πῶς δὲ ταύτης ἂν μετέσχεν, εἰ μὴ τὰ συνιόντα σύμμετρα εἴη καὶ συμπαθῆ πρὸς ἄλληλα, καὶ ἀληθείας τῷ αὐτῷ φωτὶ γεγανωμένα; ταῦτα γὰρ οἷον πρόδρομα ἴχνη τοῦ κοινοῦ ἦν αἴτια, οὐ τῶν πάντων. Πρὸς δὲ τούτοις τὸ τοῦ μικτοῦ αἴτιον τοῦ παντὸς ἦν αἴτιον καὶ οὐ μόνης τῆς μίξεως, ὃ δοκεῖ ποιεῖν τὸ μόνον ἕν· μᾶλλον δὲ οὐδὲ ἡ μῖξις τοῦ ἑνὸς οὐδὲ ἡ συναγωγή, ἀλλὰ τοῦ ἑνὸς μόνου τόγε ἕν, τὸ δὲ τῆς μίξεως καὶ συναγωγῆς καὶ τῆς ἑνώσεως καὶ τῆς διακρίσεως αἴτιον· ἡ γὰρ μῖξις ἐν ἀμφοῖν καὶ ἡ συναγωγὴ καὶ ἡ κοινωνία, καὶ πᾶν ὅ τι τοιοῦτον συναμφότερόν τί ἐστιν, οὐ μόνον ἕνωσις, οὐδὲ μόνον διακρίσεως· αὕτη γὰρ ἀσύντακτος, ἐκείνη δὲ ἀπλήθυντος· ἡ γὰρ ἕνωσις ἓν βούλεται εἶναι καὶ ἑνὸς ἴχνος· διὸ καὶ ἀπὸ μόνου πρόεισι τοῦ ἑνὸς ὄντος, ὥσπερ ἡ διάκρισις ἀπὸ μόνου τοῦ πλήθους, ἡ δὲ κοινωνία ἀπὸ τοῦ ἅμα καὶ ἑνοποιοῦ καὶ πληθοποιοῦ, ὅ ἐστι πρὸ ἀμφοῖν.

1.65 Ἔτι τοίνυν εἰ καὶ τοῦτο καλοῖ τις ἓν τὸ πρὸ πάντων, ἀπορίᾳ τοῦ ἰδίου ὀνόματος, οὐδὲν γὰρ ἐπ' ἐκείνου ἴδιον, οὐδὲ ἐν ἐκείνῳ, ἀλλ' ὅμως διοίσει τοῦ διωρισμένου ἑνός. Τοῦτο μὲν γὰρ ἑνίζει τὰ διωρισμένα, οὐ συγχέον αὐτῶν τὸν διορισμὸν οὐδὲ ἀπαλεῖφον τὰς περιγραφάς· τοιγαροῦν ἐπέκεινα· οἷά ἐστι μένοντα, ἔπειτα οὕτως ἑνοῦται πρὸς ἄλληλα, τὸ δὲ πρὸ πάντων ἕν, εἴπερ καὶ ἓν πρὸ πάσης περιγραφῆς, οὖσαν ἐνδίδωσιν ἕνωσιν, καὶ οὐδὲ ταύτην πρὸς τὰ ἄλλα

διωρισμένην, ἀλλ’ οἷον ῥίζαν ἀδιάκριτον πάσης τῆς ἑκάστου ὑποστάσεως. Τούτων δὲ οὕτως ἐχόντων, τὸ μὲν γνωριζόμενον ἕν, ὅτι τὸ διωρισμένον ἐστὶ καὶ εἰδητικόν, δῆλον ἐκ τοῦ ἕν τι τῶν πολλῶν ἐννοεῖν τὸ ἕν, ὡς τὰ πολλά, ὡς τὸ ἀγαθόν, ὡς τὸ καλόν· τὸ δὲ συναγωγὸν πάντων ὅτι οὐ τοῦτο τὸ ἓν τὸ εἰδητικὸν ἢ ὅλως διωρισμένον, φανερὸν ἐκ τοῦ καὶ τοῦτο ἕν τι εἶναι τῶν συναγομένων, ἵνα ἅμα καὶ ἡνωμένα καὶ διακεκριμένα τὰ πάντα ᾖ. Ἀλλὰ μὴν τὸ διωρισμένον ἓν πάσχει τι ὑπὸ τῶν πολλῶν, ἢ ὡς ὑποκειμένων αὐτοῦ τῇ ἰδιότητι κατὰ τὴν ἐκ πολλῶν αὐτοῦ σύστασιν, ἢ ὡς ἀντικειμένων, ὅτι καὶ ἡ στάσις κινεῖται καὶ ἡ κίνησις ἵσταται· ἐκεῖνο δὲ πάντη ἁπλοῦν. Διὸ μηδὲ ἓν ἄξιον κεκλῆσθαι, ὅτι τὸ ἓν ὅπερ ἐννοοῦμεν καὶ εἶναι καὶ κινεῖσθαι καὶ ἑστάναι καὶ ἕτερον καὶ ταὐτὸν ἐννοοῦμεν, ὥστε ἐκ πολλῶν κατὰ μέθεξιν, ἓν δὲ κατὰ τὴν ὕπαρξιν τῆς ἰδιότητος. Τὸ δὲ πρώτιστον τῶν ἠπορημένων ἀληθέστατον ἄρα ἦν, ὡς οὐκ ἔχομεν ἔννοιαν ἐκείνου παντελῆ καὶ μίαν· διόπερ οὐδὲ ἓν αὐτὸ κλητέον, εἰ μὴ οὕτω γε ὡς οὐδὲ ἧττον καὶ πάντα κλητέον, ὃ καὶ ὁ Σωκράτης ἐδήλου, διὰ τῶν ἐν προθύροις αὐτοῦ καὶ ὁπωσοῦν προφαινομένων τριῶν μονάδων, ἀληθείας, κάλλους, συμμετρίας, ταύτης μὲν τὴν τάξιν παρεχομένης ἐν τοῖς πᾶσι, τοῦ δὲ κάλλους τὴν συμπαθῆ πρὸς ἄλληλα σύγκρασιν, τῆς δὲ ἀληθείας τὴν ὕπαρξιν, ὡς ἀληθῶς· ἐκείνου δὲ πάντα ὁμοῦ ἀπορρήτως.

1.66 Ἀκόλουθον ἐπὶ τούτοις ἂν εἴη ζητεῖν εἰ πρόεισί τι ἀπ’ ἐκείνου εἰς τὰ μετ’ αὐτὸ καὶ ὁτιοῦν, ἢ οὐδενὸς αὐτοῖς μεταδίδωσιν· ἑκάτερον γὰρ ἄν τις ἀπορήσειεν εἰκότως· εἰ γὰρ οὐδενὸς μεταδίδωσι τοῖς ἀπ’ αὐτοῦ παραχθεῖσι, πῶς αὐτὰ καὶ παρήγαγεν οὕτως ἔχοντα πρὸς αὐτὸ ἀνοικείως, ὥστε μηδενὸς ἀπολαύειν τῆς ἐκείνου φύσεως; πῶς δὲ αὐτῶν αἴτιόν ἐστιν κατὰ τὴν ἑαυτοῦ φύσιν, ἧς αὐτοῖς οὐ μεταδίδωσι; πῶς δὲ ἐπιστρέφεται ἐκεῖνα πρὸς αὐτό, καὶ πῶς αὐτοῦ ὀρέγεται, οὗ μετέχειν οὐ δύναται, ἀμετόχου πάντα τρόπον ὄντος; πῶς δ’ ἂν σώζοιτο τὰ προελθόντα μὴ ἐνερριζωμένα τῇ σφῶν αἰτίᾳ; Ὁ δὲ ἐν Πολιτείᾳ Σωκράτης οὐχὶ τὴν ἀλήθειαν φῶς ἐκείνου προϊὸν ἀπ’ ἐκείνου φησὶ συνδετικὸν τοῦ νοητοῦ καὶ τοῦ νοεροῦ; Οἶδεν ἄρα καὶ αὐτὸς τὸ ἐκεῖθεν ἧκον καὶ μετεχόμενον· εἰ δὲ καὶ ἡ ὕλη αὐτοῦ ἔσχατον ἴχνος ἀποφέρεται, πάντως ὅτι καὶ τὰ πρὸ τῆς ὕλης ἔχει αὐτοῦ τὰς παντοίας μεθέξεις ἰδιουμένας πρὸς ἕκαστον κατὰ μέτρον τῆς ἑκάστου ὑποστάσεως. Ἀλλὰ καὶ ἐπεξιόντι φανεῖται ἐν πᾶσιν· ἔστι γὰρ ἕκαστον καὶ τῶν ἀτόμων καὶ τῶν ὅλων, καὶ τῶν Θνητῶν καὶ τῶν ἀϊδίων, καὶ τῶν στερεῶν καὶ τῶν εἰδητικῶν· οὐ πολλὰ μόνον, ἀλλὰ καὶ ἓν πρὸ τῶν πολλῶν, πρὸ τοῦ μερισμοῦ τὸ ἀμέριστον, πρὸ τοῦ διακεκριμένου τὸ ἡνωμένον. Ὅπερ δὲ τὰ πάντα ἑκάστου, τοῦτο πρὸ πάντων τὸ συναίρεμα πάντων, ὃ δὴ ἡνωμένον φαμέν, ὃ δὴ ὂν ὀνομάζομεν, καὶ πρὸ τοῦ ἡνωμένου δηλονότι τὸ ἓν πάντα ἑκάστου κατὰ τὸ ἓν ἱστάμενον, ὡς τὸ ὂν πάντα κατὰ τὸ ἡνωμένον, ὡς πάντα ἐν διορισμῷ κατὰ τὸ διακεκριμένον. Ἔστιν ἄρα ἐν παντὶ ἑκάστῳ τὸ ἀναλογοῦν τῷ πρὸ πάντων, καὶ αὕτη ἐστὶν ἡ ἐκείνου πρόοδος εἰς πάντα, ἡ κατὰ τὸ ἓν ἑκασταχοῦ προϋπάρχουσα παντελὴς ὑπόστασις, μᾶλλον δὲ ῥίζα τῆς ὑποστάσεως ἑκάστης. Ἀλλ’ εἰ προΐοι, πάλιν αὖ ἀπορήσει τις ὅντινα ἂν προΐοι τρόπον· τί γὰρ αὐτῷ τῆς διακρίσεως αἴτιον ἔσται; πᾶσα γὰρ δὴ πρόοδος μετὰ διακρίσεως, πάσης δὲ διακρίσεως τὸ πλῆθος αἴτιον· πολλοποιὸν γὰρ ἀεὶ τὸ διακριτικόν· ἐκεῖνο δὲ ἓν πρὸ τοῦ πλήθους.

1.67 Εἰ δὲ καὶ πρὸ τοῦ ἑνὸς μόνου, πολλῷ μειζόνως πρὸ τοῦ πλήθους· ἀδιάκριτος ἄρα αὐτοῦ τὸ πάμπαν ἡ φύσις· ἀπρόοδος ἄρα. Πάντα μὲν οὖν ἀπ’ αὐτοῦ πρόεισιν εἰς ἄλλην φύσιν, καὶ αὐτὸ παρήγαγεν, αὐτὸ δὲ εἰς οὐδὲν πρόεισιν, οὐδέ τινι μεταδίδωσιν ἀφ’ ἑαυτοῦ τινος· ἀνάγκη γὰρ τὸ μεταδιδόμενον ὑφεῖσθαι τοῦ μεταδιδόντος, καὶ μὴ ἐκεῖνο εἶναι, ἀλλ’ οἷον ἐκεῖνο καὶ μὴ τὸ ἁπλῶς, ἀλλά τι μέτρον ἑκάστῳ. Ἡ δὲ ὕφεσις καὶ τὰ μέτρα καὶ εἴ τι τοιοῦτον ἐν πλήθει τινὶ ὁρᾶται καὶ μετὰ διορισμοῦ καὶ κατὰ ῥύσιν καὶ μεταβολὴν τοῦ αὐτοῦ, κἂν μὴ παρεμπίπτῃ τις ἑτερότης, ἀλλ’ ἡ φύσις ἐκείνη πρὸ πάσης ἐστὶν τῆς ὁπωσοῦν πληθυομένης ἐμφάσεως· ἐπειδὰν γὰρ ἄρξηται τὰ πολλά, τότε χώραν ἔχει καὶ ἡ πρόοδος, εἴτε ἡ ὁμοειδής, εἴτε ἡ ἀνομοειδής.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐκεῖνο ἄρα πάντη ἀπρόϊτον, οὐδὲ ἔλλαμψιν ἀφ' ἑαυτοῦ προϊέμενον εἰς οὐδὲν τῶν πάντων· καὶ γὰρ ἡ ἔλλαμψις διακρίνεται ἀπὸ τοῦ ἐλλάμποντος. Ἔτι τοίνυν οὐδὲ τὸ ὄν, ὃ δὴ ἡνωμένον πάντη ὑποτιθέμεθα, οὐδὲ τοῦτο προΐοι ἄν· καὶ τοῦτο γὰρ δὴ πρὸ τῆς οὐσιώδους διακρίσεως ἕστηκε πάγιον, οὐδὲ κινούμενόν φησιν ἐκεῖνος· ἔστη γὰρ δὴ τὸ πάντη ἡνωμένον ὂν καὶ μηδαμῇ διακεκριμένον, οὐκ ἄρα ἑαυτό γε διακρίνειεν ἂν εἰς τὴν τῶν πολλῶν πρόοδον. Ἀλλὰ μὴν οὐδὲ τῶν πρὸ αὐτοῦ, τῶν γε ὄντων, οὐδὲ μέντοι τῶν μετ' αὐτό· τί γὰρ ἂν καὶ δράσειεν τὸ δεύτερον εἰς τὸ πρότερον ἢ τὸ αἰτιατὸν εἰς τὸ αἴτιον; οὐδὲ τὸ ὂν ἄρα πρόεισιν εἰς πολλὰ ἢ κατὰ ὕφεσιν ἢ κατὰ μερισμὸν ἢ ὁπωσοῦν κατὰ πρόοδον· οὐ γὰρ ἀποτμήσει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι, φησὶν ὁ Παρμενίδη ς . Διὸ καὶ ἓν ἄρα τὸ ὂν ἐκεῖνος ἔλεγεν· οὐδὲ ἄρα προϊέναι φαίη τις ἄν, εἴπερ μηδὲ ἀποτμήσεσθαι· πολλῷ ἄρα μειζόνως, οὐδὲ τὸ ἕν. Ἔτι τοίνυν τὰ ἐν τῇ προόδῳ καὶ τὰ ἐν ἑκάστοις ἐγγινόμενα μέτρα τοῦ ἑνὸς καὶ ἴχνη πρὸ τῶν ἄλλων ἰχνῶν ὄντα τῶν κατὰ ἄλλας καὶ ἀπ' ἄλλων προόδους ἐπιγιγνομένων ἢ ἥνωται πρὸς ἄλληλα παντελῶς, ὡς μὴ ἀποτμήγεσθαι τοῦ ἑνὸς τὸ ἕν· οὕτω δὲ πάντα ἓν ἔσται, καὶ οὐδὲν ἄλλο ἢ αὐτὸ τὸ ἕν· ἢ διακρίνεταί πως ἀπ' ἀλλήλων, ἤτοι δὲ αὐτομάτως καὶ ἄνευ τινὸς αἰτίου, ὅπερ ἄτοπον, ἢ ὑπ' αἰτίου, ὅπερ ἄτοπον, ἤτοι οὖν τοῦ μετὰ τὸ ἓν πλήθους, καὶ οὐκ ἔσται τοῦ ἑνὸς οἰκεία ἡ πρόοδος, ἀλλὰ τοῦ πλήθους, ἢ τοῦ ἑνός, καί πως διαπρακτικὸν τὸ ἓν ἤ τινος πρὸ τοῦ ἑνός, οἷον δὴ ἀξιοῦμεν εἶναι καὶ τὸ πρὸ πάντων λεγόμενον πάντα ἕν, ὅπερ οὐδέν τι τῶν πάντων ἐστίν, ἀλλὰ πάντα πρὸ πάντων, ὡς ἐλέγομεν, οὗ καὶ τὴν πρόοδον ἐπιζητοῦμεν.

1.68 Ἐκεῖνο δὲ οὔτε διακρῖνόν ἐστιν, οὔτε διακρινόμενον· οὔτε γὰρ πολλά, οὔτε πολλοποιόν, οὐδὲ μὴν ἕν, οὐδὲ ἑνοποιόν, ὥστε οὔτε πρόεισιν, οὔτε μένει, οὔτε ἐπιστρέφει ἐκείνη ἡ φύσις, ἅτε πάντα οὖσα τῷ ὑπὲρ πάντα. Πρὸς δὲ τούτοις, εἰ πρόεισι, καὶ ἔστιν ἐν ἑκάστῳ τῶν ὄντων καὶ τῶν γινομένων ἐκείνης τὸ μέτρον, φανερὸν ὅτι ἑκάστῳ τὸ ἐπιβάλλον ἐνδίδωσι· τοῖς δὴ φθαρτοῖς καὶ θνητοῖς, εἰ μὲν οὐδέν, πῶς καὶ τούτων αἰτία ἀνυμνεῖται; εἰ δὲ ἐνδίδωσιν, οὐ τὸ αὐτὸ ὃ καὶ τοῖς αἰωνίοις ἢ τοῖς ἀϊδίοις· φθαρτὸν ἄρα καὶ θνητὸν τὸ ἐνδιδόμενον τούτοις. Καὶ τίς ἂν γένοιτο φθορὰ τοῦ ἑνός, μᾶλλον δὲ τοῦ οὐδενός, ὅ γε οὐδὲ ἄφθαρτον εἶναι δύναται; πολλοστὸν γὰρ ἀπ' αὐτοῦ καὶ τὸ αἰώνιον, καὶ αὐτὸς ὁ αἰών. Διὸ καὶ περὶ τοῦ πρώτου ὄντος ἡ αὐτὴ περιμένει ἡμᾶς ἀπορία· πρὸ γὰρ τοῦ αἰῶνος καὶ τοῦτο, ὥστε καὶ πρὸ τοῦ αἰωνίου· πολλῷ ἄρα μειζόνως πρὸ τοῦ ἄλλως ἀϊδίου· τοῦ φθαρτοῦ ἄρα πορρωτάτω διέστηκεν· οὐκ ἄρα τὸ ἓν ἑκάστῳ τῶν φθαρτῶν ἀπήχημα τοῦ ἑνὸς ἐκείνου φθαρτὸν ἂν εἴη. Ἀλλὰ μήποτε ὡς ἡ ὕλη καὶ ἐκεῖνο ἔχει (ἐπίταδε γάρ ἐστι τῶν ἄλλων καὶ οἷον ὕλη τις αὐτὴ ἡ ὕλη), τὸ μὲν ποῦ ἐν αὐτῇ τῇ ὕλῃ, τὸ δὲ ὂν πρὸ τῆς ὕλης, καὶ ἔστι δυνάμει ἑκάτερον ἄφθαρτον καὶ φθαρτόν, ἐνεργείᾳ δὲ οὐδέτερον. Ἀλλ' οὐ περὶ τούτου ὁ λόγος τοῦ προπεσόντος ἐπίταδε, ἀλλὰ τοῦ πρὸ τῆς ὕλης καὶ τοῦ δυνάμει παντὸς αὐτοῖς συνόντος τοῖς εἴδεσι. Δῆλον γὰρ ὅτι πρὸ τῶν ἐσχάτων τὰ μέσα μετέχει τῆς μιᾶς τῶν ὅλων ἀρχῆς. Μήποτε οὖν ἄφθαρτά ἐστι, καὶ ἄλλοτε ἄλλα τῶν φθαρτῶν πληρωμάτων περισυνίσταται μεταβαλλόμενα περὶ τὰ ἀμετάβλητα· ἀλλ' ᾗ τοῦτο οὐκ ἔστιν ἴδιος ἑκάστου ἡ μέθεξις, οἷον τοῦδε τοῦ καλάμου τοῦ ταῦτα γράφοντος, καὶ τοῦδε τοῦ χάρτου τοῦ ταῦτα γεγραμμένου· ἀλλὰ προσήκει καὶ οἰκείου τινὸς ἀγαθοῦ, εἴπερ μὴ ἀδιάφορα προῆλθεν ἀπὸ τῆς ἀρχῆς· ἔπειτα αὐτὸ τὸ φθαρτὸν ᾗ φθαρτὸν πότερον μετέχει ἐκείνου, ἢ οὐ μετέχει; εἰ μὲν γὰρ τοῦτο, οὐκ ἂν εἴη τούτου γε αἴτιον· εἰ δὲ ἐκεῖνο, φθαρτὸν ἔσται καὶ τὸ διδόμενον· τὸ δὲ αὐτὸ καὶ περὶ τοῦ ἀφθάρτου συλλογίσαιτο ἄν τις.

1.69 Ἀλλ' ἴσως τῶν ἀϊδίων μόνον ἐστὶν ἡ μέθεξις, οἷον τῶν ὅλων; ἢ πρῶτον μέν, ὡς εἴρηται, οὐδὲ τὸ ἀΐδιον ἐκείνῳ τι προσήκει· ἔπειτά τις ἡ ἀποκλήρωσις, ἔνια μὲν τῶν ἀπ' αὐτοῦ μετέχειν, ἔνια δὲ οὔ, καὶ ταῦτα ὄντος ὑπέρ τε τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον ἅπαν. Μήποτε οὖν πάντα μὲν αὐτοῦ μετέχει, μία δέ ἐστιν ἡ μέθεξις ἀμέριστος ἡ αὐτὴ πᾶσιν ὅλη παροῦσα, οἷον τὸ ἡλίου φῶς τὸ αὐτὸ παραγίνεται πᾶσιν, εἰ καὶ μὴ ὅλον, διότι μεριστόν ἐστι καὶ σωματοειδές, ἐκεῖνο δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπὲρ τὸ ἀμέριστον ὄν, καὶ ὑπὲρ τὸ ὅλον εἰκότως τὸ αὐτὸ ὑπὸ παντὸς μετέχεται, τῆς διακρίσεως ἐν τοῖς μετέχουσι κατὼ οὔσης, ἀλλ’ οὐκ ἐν τῷ μετεχομένῳ· οὕτω γὰρ καὶ τὸ ὂν ὁ Πλωτῖνος ἀξιοῖ νοεῖν, τὸ αὐτὸ πανταχοῦ ὅλον παρὸν κοινῇ τε πᾶσι καὶ ἑκάστῳ τῶν πολλῶν. Ἀλλ’ εἰ καὶ ἀμέριστος ἡ μέθεξις καὶ μία πάντων ἥ τε τοῦ ὄντος καὶ τοῦ ἑνός· ὃ γὰρ ὅμοιος ἀμφοῖν ἔσται τρόπος, ὅμως γε μέθεξις ἀπὸ τῆς ὑπάρξεως προϊοῦσα καὶ διακρινομένη. Τί οὖν τὸ διακρῖνον τὸ δεύτερον ἀπὸ τοῦ πρώτου; διαφέρει γὰρ οὐδὲν τὸ ἓν ἀπὸ τοῦ ἑνὸς διακρίνειν καὶ πολλὰ τοιαῦτα ἐφεξῆς· ἀνιμᾶται γὰρ ἡ φύσις ἐκείνη τὴν διάκρισιν. Ἀλλὰ μήποτε οὐδὲ ἄλλη ἡ μέθεξις αὐτοῦ τῆς ὑπάρξεως· οὐ γὰρ ἄλλο δίδωσιν ἀφ’ ἑαυτοῦ τοῖς μετέχουσιν, ἀλλ’ ἑαυτὸ ὅ ἐστιν· ἢ τοῦτο τῇ ὕλῃ προσήκει, καὶ ὅλως εἰπεῖν, στοιχείοις· ἑαυτὰ γὰρ καὶ ταῦτα δίδωσι τῷ ἐξ αὐτῶν, οἷον ὕλη τοῦ στοιχειωτοῦ γιγνόμενα. Εἰ δὲ μὴ ταῦτα λέγοι τις, ἀλλ’ ἧγε ὕλη οὐκ ἔχουσά τι μεθ’ ἑαυτὴν ὅ τι δοίη, τῷ κόσμῳ δίδωσιν ἑαυτήν· ἢ τοῦτο μὲν ἡ ὕλη κατὰ τὸ χεῖρον, ἐκεῖνο δὲ ἴσως κατὰ τὸ κρεῖττον, ἑαυτὸ τοῖς πᾶσι καὶ ἑκάστῳ ἐνδίδωσιν οὐχ ὡς ὕλην, οὐδὲ γὰρ ὡς εἶδος, ἀλλ’ ὡς αἰτίας τῆς πρώτης τὴν πρώτην μεθέξιν, ταὐτὸ δὲ φάναι, καὶ ὕπαρξιν ἐν τοῖς μετέχουσιν οὖσαν, οὐδὲ διακρίνεσθαι ἀπ’ αὐτῶν ἐθέλουσαν, εἰ καὶ ἐκεῖνα πρόεισι ἀπ’ αὐτῆς, καθόσον τοῦ πλήθους μετέσχεν, ὥστε οὐδὲ ἀπ’ αὐτῆς ἡ πρόοδος, ἀλλ’ ἀπὸ τοῦ πλήθους ἀπογεννᾶται, ἀπ’ ἐκείνης δὲ πάντα ἓν καὶ πάντα αὖ πάλιν ὄν, οἷον ἡ ῥίζα μόνη πρὸ τῆς τῶν κλάδων ἐκφύσεως καὶ αὐτοῦ τοῦ στελέχους ὅλον ἤδη οὖσα τὸ δένδρον, ἢ οἷον κέντρον ἐν ᾧ καὶ πάντα τὰ πέρατα τῶν πολλῶν εὐθειῶν ὁμοῦ, κατὰ τὸ ἓν τὰ πάντα πρὸ τῆς τῶν ἀπείρων εὐθειῶν διαστάσεως, μετὰ δὲ τὸ κέντρον ἡ διάστασις καὶ οὐκ αἴτιον αὐτῆς τὸ κέντρον, ἀλλ’ ἡ ῥύσις τοῦ συνεχοῦς ἐφ’ ἕν.

1.70 Καὶ ἐκεῖ γάρ τοι τὸ πολλοποιὸν αἴτιον ἄρχει τῶν προόδων, τῆς μὲν οὐσιώδους τὸ οὐσιῶδες, τῆς δὲ ἑνιαίας τὸ ἑνιαῖον. Ἀλλὰ σεμνὰ μὲν ταῦτα καὶ ὑπερφυῆ, ταῖς δὲ ἄλλαις ἡμῶν ἐννοίαις οὐ συμβαίνοντα, ταῖς τε πάντα ἀπὸ τοῦ ἑνὸς προαγούσαις καὶ ταῖς ἐνεῖναι τοῖς αἰτιατοῖς ἀεὶ τὸ τοῦ αἰτίου ἴχνος ἀξιούσαις, οὐκ ἔξωθεν παρὸν μόνον, ἀλλὰ μετὰ τοῦτο καὶ συνουσιωμένον. Ἐπεὶ καὶ εἰ κοινὸν τὸ ἡλίου φῶς εἰς μέθεξιν, ἀλλ’ ἔστι καὶ ἐν τοῖς ὄμμασιν ἡλιοειδές τι φέγγος ἴδιον ἤδη καὶ οὐ κοινόν, τῷδε ἰδίῳ πρὸς τὸ κοινὸν συναπτόμεθα. Οὐχὶ δὲ καὶ ὁ Πλάτων αὐτῆς εἶναί φησι τῆς ψυχῆς αὐγήν τινα, ἣν δεῖ ἀνακλίναντας τῷ φωτὶ συναφθῆναι τῆς ἀληθείας; ἀλλὰ μὴν καὶ τῆς μιᾶς τῶν πάντων ἀρχῆς ἀπορρεῖν τινα κοινὴν ἔτι μέθεξιν, ἣν ἀλήθειαν κέκληκεν, οὐ τῷ ἡλίῳ ἀναλογοῦσαν, ἀλλὰ τῷ ἡλίου φωτί. Ἀλλὰ μήποτε ὁ μὲν Πλάτων ἐσιώπησεν τὴν ἀκριβῆ περὶ τούτων ἐξέτασιν διὰ τοὺς πολλούς, ἐν τῷ αὐτῷ δὲ καὶ τὸ πολλοποιὸν αἴτιον Θέμενος, χώραν ἔσχε διακρῖναι τὰ πολλὰ ἀπὸ τοῦ ἑνός. Ὁ δὲ νῦν ἡμῖν προκείμενος λόγος ἰδίᾳ μέν, εἰ Θέμις, ὁρᾷ τὴν μίαν ἀρχήν, ἣν καὶ οὐκ ἐκεῖνος ὠνόμασεν, ἰδίᾳ δὲ τὴν πολλοποιὸν αἰτίαν. Ὅτι δὲ ἑκὼν παρῆλθεν ὁ Πλάτων τὴν τοιαύτην διάκρισιν, ἐδήλωσεν, οὐδὲ τὴν πολλοποιὸν αἰτίαν προθεὶς τοῦ μικτοῦ, καίτοι πολλὰ αὐτοῦ στοιχεῖα παραλαβὼν καὶ τρεῖς ἀρχὰς ἀντὶ μιᾶς ὑποθέμενος, καὶ ἴσως οὐδὲ τὴν μίαν, ἣν νῦν λέγομεν, ἐνδειξάμενος ἐν ἐκείνοις, ἀλλὰ τὴν μετὰ τὰς δύο ἀρχάς, καθ’ ἣν τὸ μικτὸν γίγνεται· ἓν γὰρ καὶ τοῦτο, καὶ τούτου γε μερισμὸς αἱ τρεῖς μονάδες, ἀλλ’ οὐ τῆς ὄντως πρώτης ἀρχῆς.

1.71 Ταῦτα μὲν οὖν, ἐὰν δέῃ, καὶ αὖθις· αἱ δὲ ἡμέτεραι ἔννοιαι οὐ διαρθροῦσι τὰς πρώτας ἀρχὰς ἀκριβῶς, ὅθεν ἁπλῶς τὴν αὐτὴν ὑποτίθενται καὶ ἑνώσεως καὶ διακρίσεως αἰτίαν, οὐκ εἰδυῖαι ὅτι ἡ διακρίνουσα τῆς ἀδιάκριτα σωζούσης ἑτέρα, αὕτη πρώτη ἀπὸ τοῦ ἑνὸς ἑαυτὴν διακρίνουσα, εἶτα καὶ τοῖς ἄλλοις τούτου αἰτία γενομένη· τὸ δὲ ἓν καὶ πάντων αἴτιον· ἀλλ’ ἓν πάντα ποιεῖ, καὶ οὐδὲ ποιεῖ γε· οὐδὲ γὰρ ἐνεργεῖ· ἡ γὰρ ἐνέργεια διακρίνεταί πως ἀπὸ τοῦ ἐνεργοῦντος· οὔτε γὰρ δύναται. Καὶ γὰρ δύναμις ἐκτένειά ἐστιν, ὥς φασι, τῆς οὐσίας, τὸ δὲ οὐδὲ οὐσία εἶναι βούλεται· τρίτη γὰρ ἀπ’ αὐτοῦ ἡ οὐσία κατὰ τὸ μικτόν, ἡ ἑνιαία φημί, καὶ κατὰ τὸ ἑνιαῖον· ἀλλὰ ταῦτα μὲν καὶ ὕστερον. Ὃ δὲ νῦν λέγω τοῦτό ἐστιν ὅτι ἡ μία ἀρχὴ τοσοῦτον

ἀπέχει τοῦ διακρίνειν, ὥστε οὐδὲ ἑνίζει· οὐδὲ γὰρ ποιεῖ τι· ἓν γάρ τι καὶ τὸ ἑνίζειν, ὥσπερ τὸ διακρίνειν· ἀλλ' ἓν πάντα ποιεῖ ἕκαστον, καὶ οὐδὲ ἕκαστον, ἀλλὰ τοῦ μὲν ἡ πολλοποιὸς αἰτία καὶ διακριτική, τὸ δὲ πρεσβύτερον τοῦ ἑκάστου πάντα ἓν ποιεῖ, ὡς οὕτω φάναι, οὐδὲ γὰρ πάντα κατὰ ἀλήθειαν· ἐν διακρίσει γὰρ καὶ τὰ πάντα, ὅπου γε καὶ τὸ ὅλον· τὸ δὲ ἓν πάντα κατὰ τὸ ἓν ὑπὲρ πάντα, καθὸ πάντα ἕν. Ἀλλ' εἰ τοῦτο δεύτερον ἂν εἴη τοῦτο μετ' ἐκεῖνο, καὶ τί πάλιν διακρίνει τὸ αἰτιατὸν ἀπὸ τοῦ αἰτίου; μήποτε γὰρ καὶ τὸ πᾶσι κοινὸν ἓν μεθεκτὸν ἀπὸ τῆς διακρινούσης αἰτίας πρόεισι· πολὺ γὰρ καὶ τοῦτο· πᾶν γὰρ κοινὸν πολύ ἐστι κατὰ φύσιν, εἰ καὶ μὴ κατ' ἀριθμόν. Μήποτε οὖν αὐτὸ τὸ τῆς διακρίσεως αἴτιον, ὅ τι ποτέ ἐστιν, παρήγαγεν ἑαυτὸ πρῶτον ἀπὸ τῆς ἀφανοῦς ἐκείνης παντελοῦς ἀδιακρίτου αἰτίας, εἶτα καὶ τοῖς ἄλλοις ἐπωχέτευσε τὸ κοινὸν ὡς μετὰ τὴν πρώτην διάκρισιν ἀδιάκριτον. Ἀλλ' αὐτὸ τοῦτο ζητητέον ὅπως ἔχει πρὸς τὴν μίαν αἰτίαν. Ἔστω μὲν γὰρ ἑαυτοῦ διακριτικὸν ἀπὸ τοῦ ἑνός, καίτοι οὕτω γε οὐδενὸς ἔσται ἐκεῖνο αἴτιον, οὐδὲ γὰρ τοῦ μεθ' ἑαυτὸ πρὸ τῶν ἄλλων ὑποστάντος· ἀλλ' ὅμως ἔστω τοῦτό γε, πῶς δὲ τοῦτο ἔχει πρὸς ἐκεῖνο; πότερόν τι μετέχει τοῦ αὐτοῦ ἢ κατ' οὐδέν; εἰ μὲν γὰρ τοῦτο, διεσπασμένον ἔσται ἀπ' ἐκείνου καὶ δύο αἱ πρῶται ἀρχαί, μᾶλλον δὲ μία, ἡ διακριτικὴ τῶν πάντων· τὸ δὲ πρὸ ταύτης ἀπέσπασται ἀπὸ πάντων.

1.72 Εἰ δὲ μετέχει, ἥξει τι ἐκεῖθεν· καὶ τί τὸ διακρῖναν; ἢ ἴσως τὸ δεύτερον ὥσπερ ἑαυτό, οὕτω καὶ τὴν οἰκείαν μέθεξιν ἀπὸ τοῦ μετεχομένου διέκρινεν· ἀλλ' οὕτω γε τὸ ζητούμενον ὡς ὁμολογούμενον ληψόμεθα, τὴν τοῦ ἑνὸς φύσιν, ἑνὸς οὖσαν καὶ ἕν, ἐπιδέχεσθαί τινα διάκρισιν; ἢ οὐκ ἔτι μένει ἓν ἀκραιφνῶς, παθοῦσά τι ὑπὸ τοῦ δευτέρου, εἰς ὃ προῆλθε. Γενόμενον γὰρ ἐν πολλῷ ἓν πέπονθε τὸ πολύ, καί πη συνηλλοιώθη τῷ δεξομένῳ· οὕτω δὲ τοῦ δευτέρου μετασχόντος, καὶ τὰ ἑξῆς ὑπ' αὐτοῦ καὶ δι' αὐτοῦ μετέχει τῆς μίας αἰτίας τὸν ὅμοιον τρόπον. Ἀλλ' εἰ μὴ δίδωσι τὸ ἕν, πῶς λαμβάνει τὸ δεύτερον ἢ τρίτον; πῶς δὲ εἰ μηδὲν παράγει τῶν πάντων, ὅμως αἴτιόν ἐστιν; ἢ ὥσπερ ἐστὶ τῷ εἶναι παράγειν οὐδὲν πραγματευόμενον, οὕτως ἐστὶ καὶ τῷ ἓν παράγειν τὰ παραγόμενα. Καὶ γὰρ τὸ εἶναι ἐνεργεῖν ἐστι τῆς οὐσίας ἐνέργειαν· διόπερ ἐκεῖνο τῷ ἕν· ἀλλὰ καὶ τὸ παράγειν ἐνέργεια, ὥστε τὸ ἓν μόνον ἐκεῖνο πεφυκέναι, ἵνα οὕτως εἴπω, τὰ ἄλλα παράγεται ὑφ' ἑαυτῶν· δύναται γὰρ ἑαυτὰ παράγειν ὅλως, διότι ἔστι τὸ ἕν, ὅπερ ἀναπνέοντα καὶ ἐν ᾧ ἐρριζωμένα παράγειν ἑαυτὰ δυνήσεται. Ἀλλὰ κύκλῳ πολλὴν περιελθόντες, ἔτι ταῖς αὐταῖς ἀπορίαις ἐνδεδέμεθα, εἰ ἥκει τι ἐκεῖθεν εἰς τὰ ἄλλα, καὶ ἔστιν ἕκαστον καὶ παράγει ἑαυτὸ διὰ τὴν ἐκείνου μέθεξιν· εἰ γὰρ μηδενὸς ἀπολαύει αὐτοῦ, τί δεῖται αὐτοῦ πρὸς τὴν οἰκείαν ὑπόστασιν; καὶ ὅλως ἐπιποθοῦμεν ἰδεῖν ὅτι ἔχομεν ἡμεῖς ἀπ' ἐκείνης τῆς κοινῆς· καὶ εἰ πρωτίστη ἐστίν, ἔχει τι καὶ ἔσχατον ἴχνος, οἷον τὴν ὕλην φαμέν, πάντα ἓν οὖσαν γυμνὸν ἀπὸ τῶν ἄλλων· εἰ δὲ ἔσχατον καὶ πρῶτον ἐστὶ τοιοῦτον, ὃ μηδὲν ἄλλο ἢ ἕν, καὶ τοῦτο πάντα καὶ πρὸ πάντων, πάντως ὅτι καὶ ἐν τοῖς μέσοις πληρώμασιν ἡ τοιαύτη φύσις εὑρίσκεται. Τοιούτων δὴ οὖν προκειμένων ἡμῖν τῶν ἀποριῶν, ἐξ ἀρχῆς ἀναλαβόντες τὸν λόγον λέγωμεν, οἷον καὶ ἐνταῦθα σωτῆρα παρακαλέσαντες.

1.73 Τὸ δὴ ἓν ἐκεῖνο, πάντα ὄν, καὶ οὐ μόνον τὸ ἕν, κατὰ δὲ τὸ ἁπλούστατον τὰ πάντα, καὶ αὕτη ἡ ἁπλότης, ἡ πάντων ἀνάλυσις καὶ ἡ πρὸ πάντων οὐκ ἔστιν ἑνοποιὸν ἕν, διορισμῷ γὰρ τὸ ἑνοποιόν· οὐδὲ τὸ πολλοποιόν, διὰ τὴν αὐτὴν αἰτίαν, οὐδὲν τῶν ἄλλων ἰδιοποιόν, ἀλλὰ κοινοποιὸν ἁπλῶς αἴτιόν ἐστι καὶ παντοποιόν, οὐχ ὁμοῦ τὰ διωρισμένα πάντα ποιοῦν· οὐδὲ γὰρ τὰ ἡνωμένα· καὶ ἐκείνων γὰρ καὶ τούτων ἐστὶ τὸ αὐτὸ αἴτιον, καὶ πρὸ ἀμφοῖν. Οὔτε ἄρα ἡνωμένου τινός, οὔτε διωρισμένου ἐστὶ παραγωγόν, ἀλλὰ πάντων ἁπλῶς τῶν κατὰ πάντα τρόπον ὑφεστηκότων. Ἡ φύσις ἄρα αὐτοῦ οὔτε διώρισται ἀπό τινος, οὔτε ἥνωταί τινι, οὔτε συνεξαλλάττεται οὐδενὶ τῶν πάντων· εἴη γὰρ ἂν οὐκέτι πάντα, ἀλλ' ἐκεῖνο ᾧ ἂν συνδιωρίσθη· καὶ οὐκ ἐγένετο ἴδιος, ἀναίνεται δὲ τὸ ἴδιον· οὐκ ἄρα μερίζεταί τι ἀπ' αὐτῆς εἰς ἕκαστον ἰδιοτρόπως οὐδὲ ὁπωστιοῦν, ἀλλὰ μήποτε κοινὴ πάντων καὶ μία μέθεξις ἀπ' αὐτοῦ πρόεισιν εἰς

πάντα. Οὐκοῦν ἡ μέθεξις διώρισται τῆς ὑπάρξεως, οὔπω δὲ ὁ διορισμὸς οὐδενός, οὔτε αἰτίας, οὐδὲ ὑπάρξεως, οὔτε μεθέξεως· οὐδὲν ἄρα πρόεισιν ἀπ’ αὐτοῦ· οὐδὲ γὰρ μένει ἐν αὐτῷ, ἵνα καὶ προέλθῃ. Ἀεὶ γὰρ ἡ μονὴ πρὸ πάσης προόδου, οὔπω δὲ τὰ διάφορα ἐπὶ τῆς ἀδιαφόρου φύσεως. Οὐκ ἄρα μετέχει αὐτῆς τὰ πάντα; πάνυ γε, φήσω· δίδωσιν οὖν τι αὐτοῖς ἢ οὐδέν; πάνυ γε, φήσω, τὸ πάντων τιμιώτατον, ἑαυτὴν ὅλην καθ’ ὕπαρξιν, ἀλλ’ οὐχὶ μέθεξιν ἀφ’ ἑαυτῆς. Οὐκοῦν γενήσεται αὕτη τῶν δεξαμένων, οὐκέτι δὲ ἑαυτῆς; ἢ οὔτε ἑαυτῆς ἐστίν, οὔτε ἐκείνων, οὔτε ἐξῃρημένη, οὔτε συντεταγμένη, οὐδὲ γὰρ καθ’ ὕπαρξιν, οὔτε κατὰ μέθεξιν· πάντα γὰρ ἐν διορισμῷ τὰ τοιαῦτα· ἡ δέ ἐστι πάντῃ ἀδιόριστος, καὶ οὔτε πάντων, οὔτε οὐδενός· κατὰ γὰρ ἀλήθειαν οὔτε ἐν πᾶσιν, οὔτε πρὸ πάντων, καὶ ταῦτα γὰρ διορισμοί τινες· τὸ δέ ἐστιν ἁπλοῦν καὶ ἀδιόριστον καὶ αὐτὸ τοῦτο πάντα ἕν· οὐ γὰρ ἔχομεν αὐτὸ ὀνομάζειν μονοειδῶς, ὅτι καὶ τὸ ἓν ἄλλο παρὰ πάντα, καὶ τὰ πάντα ἄλλα παρὰ τὸ ἕν.

1.74 Περὶ ἐκεῖνο τοίνυν καὶ μετ’ ἐκεῖνο τὰ ἄλλα ποιεῖται τοὺς παντοίως διορισμοὺς ἐν ταῖς ἀπ’ αὐτοῦ πολλοσταῖς αἰτίαις· αὐτὸ ἄρα οὔτε μετεχόμενόν ἐστιν, οὔτε ἀμέθεκτον· ἀλλὰ τρόπον ἄλλον τὸν πρὸ ἀμφοῖν ἔστι τε καὶ τὰ ἄλλα σώζει καὶ τελειοῖ καὶ παράγει ὁμοῦ πάντα κατὰ τὸ ἓν ἑαυτοῦ παντοποιὸν ἐνέργημα, ὅπερ οὔτε παρακτικὸν κλητέον, οὔτε τελειωτικόν, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν· ἐν διορισμῷ γὰρ καὶ ταῦτα· τὸ δέ ἐστι πάμφορον μέν, κατὰ μίαν δὲ φύσιν· πάντα οὖν αὐτοῦ ἀπῃώρηται, καὶ ταύτῃ αὐτοῦ ἀπολαύει, ἐχόμενα ὑπ’ αὐτοῦ. Οὐδὲν οὖν ἀπ’ αὐτοῦ τοιοῦτον οἷον αὐτό; οὐδαμῶς, οὐδὲ γὰρ οἷόν τε ἦν αὐτὸ ἑαυτοῦ διαστῆναι κατὰ ὑπόβασιν, οὐδενὸς ἑτέρου φανέντος τοῦ διαστήσοντος, οὐδὲ θέμις ἦν τὴν διάφορον φύσιν ἐν διαφορᾷ τινι γενέσθαι πρὸς ἑαυτήν, οὐδὲ τὴν ἁπλότητα πάντων εἰς διπλόην τινὰ προελθεῖν. Πῶς οὖν ἡ ὕλη πέρας αὐτῆς καὶ τὸ ἔσχατον ἴχνος; ἢ οὐκ ἔχει οὕτως· οὐδὲ γὰρ ἓν ἐκεῖνο διωρισμένον ὡς ἕν, οἷον τὴν ὕλην εἶναί φαμεν, οὐδὲ ἔστιν ἐπ’ ἐκείνου πρῶτόν τι καὶ μέσον καὶ ἔσχατον· διορισμοὶ γὰρ καὶ ταῦτα· οὐδὲ τὸ δυνάμει καὶ ἐνεργείᾳ, οὐδὲ ὅλως τῶν χαρακτηριστικῶν τῆς ὕλης οὐδέν· καὶ γὰρ αὐτὴ ἡ ὕλη ἕν τί ἐστι τῶν στοιχείων τοῦ γενητοῦ· διώρισται ἄρα. Πόρρω ἄρα τῆς ἀδιορίστου φύσεως, ἐντεῦθέν ποθεν ἀρχομένη τῆς οἰκείας ἰδιότητος, ὅθεν ἡ γένεσις καὶ ταύτης μέντοι τῆς ἀρχῆς, οὐκ ἐν πρώτοις, οὐδὲ ἐν μέσοις ποιήμασιν, ἀλλ’ ἐν τοῖς ἐσχάτοις ἀπηχήμασι. Πάντα οὖν διορίζεται περὶ ἐκείνην, καὶ ὁ πάντων ἔσχατος διορισμὸς ἀποδιακρίνει μετὰ πάντα τὴν πάντων ὡς ἀληθῶς ὑποστάθμην. Ἀλλὰ γὰρ περὶ τῆς ὕλης ἐνέσται καὶ αὖθις εἰπεῖν, καὶ ἀπορήσαντας ἐπιλύσασθαι ἐν καιρῷ τὰς ἀπορίας· νῦν δὲ τοσοῦτον προσθετέον ὅτι ἡ προκειμένη αὕτη ἀρχὴ καὶ τὴν εἰς ἐσχάτην ὕλην ἀπορρυεῖσαν περιέσχε τῇ ἑαυτῆς ἀδιαφόρῳ περιοχῇ τῆς παντελοῦς ἁπλότητος. Εἰ τοίνυν μηδὲν ἀπ’ αὐτοῦ, πῶς πάντων αἴτιον; ἢ οὕτω μὲν ὡς διωρισμένον αἴτιον καὶ κατὰ τὴν ὡς αἰτίου διωρισμένην ἔννοιαν, οὐκ ἔστιν αἴτιον· οὔτε γὰρ ποιητικόν, πρὸ τούτου γὰρ ἄλλα, οὔτε παραδειγματικόν, καὶ τούτου γὰρ ἄλλο προηγεῖται, οὔτε, ὡς ἄν τῳ δόξειεν, αὐτὸ τὸ τελικόν, ἓν γάρ τι καὶ τοῦτο τῶν αἰτίων, καὶ διώρισται ἀπὸ τῶν ἄλλων· οὐδὲ μὴν ὁμοῦ τὰ τρία αἴτια, ὡς ἓν παναίτιον· καὶ τὰ τρία γὰρ διώρισται ἀπὸ τῶν πολλῶν, ὅσα μὴ αἴτια, ἐκεῖ δὲ οὐδὲν τῶν διωρισμένων· ἀλλὰ πρὸ πάντων ἐκεῖνο καὶ αἴτιον πάντων, ὡς καὶ τῶν αἰτίων αἴτιον, καὶ οὐδὲ τοῦτο, ὡς ἄλλο παρὰ τὴν μίαν ἁπλότητα, ἀλλ’ ὥσπερ ἓν ἀπὸ τῶν κάτω, οὕτω δήπου καὶ αἴτιον.

1.75 Καὶ τίνος αἴτιον, εἴπερ ὅλως αἴτιον; πάντων γε, φήσω, οὐ τῶν μέν, τῶν δ’ οὔ, οὐδὲ πῇ μέν, πῇ δὲ οὔ, οὐδὲ ὅσα τοιαῦτα μετ’ ἐκεῖνο διοριζόμεθα. Ἥκει ἄρα τι ἐκεῖθεν; πάνυ γε τὰ πάντα, ἀλλ’ οὐχ οἷον ἐκεῖνο, ἀλλὰ τὰ μετὰ τὴν φύσιν ἐκείνην. Οὐκοῦν ἀνομοιοειδὴς ἡ ἀπ’ ἐκείνου γέννησις, πρὸ δὲ ταύτης ἡ ὁμοειδής, ἅτε συγγενεστέρων, καὶ ἀπὸ τοῦ ὅλου ἑκάστου προϊόντων, ἀλλ’ οὐκ ἀπό τινος τῶν ἐν αὐτῷ διωρισμένων αἰτίων, ὥσπερ ἡ ἀνομοειδὴς καὶ ἔτι κοινοτάτη πάντων θεῶν· ἡ μὲν γὰρ ἀνομοειδὴς οὐ πάντων, οἷον εἴ τινες παρθένοι λέγοιντο καὶ ἠΐθεοι τῶν θεῶν· ἡ δὲ ὁμοειδὴς πανταχοῦ, καὶ ὁ μὴ ταύτην προάγων ἄγονός ἐστιν, ὅπερ ἐπὶ τῆς ὕλης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μόνης ἀληθές, εἴπερ καὶ ταύτης. Εἰ τοίνυν ἡ πάντων πρόοδος ἀνομοειδὴς ἀπ' ἐκείνου, πάντως ὅτι προϋπάρξει καὶ ἡ ὁμοειδής, ὅπερ ἐδείχθη ἀδύνατον. Ἢ πρῶτον μὲν ἐπ' ἐκείνου διαιρεῖσθαι τὰς δύο προόδους οὐ θεμιτόν· ἀδιόριστον γὰρ ὂν παντελῶς οὐκ ἂν ποιοῖτο τὴν ἀφ' ἑαυτοῦ γέννησιν διωρισμένην, ἢ ὁμοειδῆ, ἢ τὰς δύο ἅμα, ἀλλ' ἔστιν ἐκείνῳ πρέπουσα, εἰ θέμις εἰπεῖν, τῇ πρὸ ἀμφοῖν ἀδιόριστος. Δεύτερον δὲ εἴ τις ἐπαναπαύεσθαι βούλοιτο ταῖς διωρισμέναις ἐννοίαις, ἑκατέραν ὁμοῦ νοοῖτο τὴν ἀπ' αὐτοῦ τῶν πάντων ἀπογέννησιν· ὡς μὲν γὰρ πάντα ὂν κατὰ τὸ ἓν παράγει πάντα ὁμοειδῶς, ὡς δὲ πρὸ πάντων, ἀνομοειδῶς, ἅμα δὲ καὶ ὡς ταὐτόν, πάντα τέ ἐστι καὶ πρὸ πάντων· ἅμα ἄρα καὶ ὡς τὴν αὐτὴν ποιεῖται πρόοδον ὁμοειδῆ τε καὶ ἀνομοειδῆ· πάντα γάρ ἐστι καὶ πάντα παράγει, τοῦτο μὲν ὁμοειδῶς καὶ πρὸ πάντων ἐστὶ καὶ πάντων .

1.76 .. τοῦτο δὲ ἀνομοειδῶς· ἄλλον δὲ αὖ τρόπον, ὡς μὲν πάντη ἁπλοῦν τὰ μὴ ἁπλᾶ πάντη ἀνομοειδῶς, ὡς δὲ ὑπεραπλοῦν ταῦτα μὴ ἁπλᾶ ὁμοειδῶς. Ἆρα οὖν παράγει; οὕτω γὰρ ἐνεργεῖ· πρὸ δὲ τῆς ἐνεργείας δύναμις καὶ πρὸ δυνάμεως ὕπαρξις. Ἴσως οὔτε δύναμις πολλῷ μειζόνως, οὔτε ἔτι μᾶλλον ἐνέργεια· καὶ γὰρ ἐν διορισμῷ τὰ τοιαῦτα καὶ διακρίνεταί πως ἀπ' ἀλλήλων. Οὐκ ἄρα ἁρμόζει τῷ πάντη ἀδιαφόρῳ τὸ ὑπάρχειν καὶ δύνασθαι καὶ ἐνεργεῖ ν; Ἢ ταῦτα μὲν οὕτως ὡς λέγομεν οὐ πρόσεστιν αὐτῷ· ὥσπερ δὲ τὸ ἓν οὐ προσὸν ὅμως ἀναπέμπομεν ἐπ' αὐτό, καὶ τὰ πάντα τῷ ἑνὶ συζεύγνυμεν, διὰ τὰς πολλάκις εἰρημένας αἰτίας, οὕτως ἂν εἴποιμεν ἐπ' αὐτοῦ τὸ ἐνεργεῖν καὶ δύνασθαι καὶ εἶνα ι , ὡς ἓν τὰ τρία ἀδιόριστα ἀπ' ἀλλήλων· οὐ γὰρ τῷ εἶναι ποιεῖ, ὡς ἂν φαίη τις· μία γὰρ αὕτη ποίησις ἀντιδιωρισμένη πρὸς ἄλλας· οὐδὲ ὅτι ἐκεῖνό ἐστι, διὰ τοῦτο τὰ ἄλλα ἐστίν· οὕτω γὰρ οὐδενὸς ἔσται αἴτιον, εἰ μὴ παράγει αὐτά· ἀλλὰ κατὰ τὴν πάντων οἰστικὴν ἁπλότητα πρὸ ἐνεργείας, πρὸ δυνάμεως, πρὸ ὑπάρξεως αἴτιον τῶν πάντων ἐστίν. Ὅλως δὲ αἴτιον καὶ διώρισται ἀπὸ τῶν αἰτιατῶν; ἢ καὶ τὸ αἴτιον καὶ αἰτιατὸν μετ' ἐκεῖνο διορίζεται ἀπὸ τῆς διοριστικῆς αἰτίας ἥτις ποτέ ἐστιν· ἐκεῖνο δὲ εἰς πάντα μόνον· εἰ δὲ καὶ αἴτιον, ὡς ἐν τοῖς πᾶσιν τὸ αἴτιον, ὥστε καὶ τὰ πάντα ὅσα ἀπ' αὐτοῦ αἰτιατά, ὡς ἐν τοῖς πᾶσι καὶ τοῦτο περιεχόμενον. Ἐκεῖνο δὲ προέστηκεν οὔτε ὡς αἴτιον, οὔτε ὡς αἰτιατῶν, ἀλλὰ ἁπλῶς καὶ ἀδιορίστως, ὡς ἓν πάντα τῶν πάντων. Οὐκοῦν διώρισταί γε καὶ ταύτῃ ὡς τοιοῦτον τῶν μὴ τοιούτων· ἀλλ' εἰ καὶ διώρισται ἀπ' αὐτοῦ τὰ μετ' αὐτοῦ, οὐκ ἀπ' αὐτοῦ ὁ διορισμός, ἀλλὰ τὰ προελθόντα διώρισεν ἑαυτὰ ἀπ' ἐκείνου, ὡς ὁ μύσας διέστησεν ἑαυτὸν ἀπὸ τοῦ ἡλίου, οὐ διαστάντος ἐκείνου. Ἀλλ' εἰ μὴ ἐκεῖνο, τί τὸ τῆς διακρίσεως αἴτιον; οὐ γὰρ δὴ πάντα αἴτια τούτου, εἰ καὶ πάντα διέστη. Ἢ τῶν ἀπ' ἐκείνου τι προελθόντων, ὅ τι ἂν φήνειε προϊὼν ὁ λόγος· οὐκοῦν ἐκεῖνο πρῶτον ἑαυτὸ διέκρινεν ἀπ' αὐτοῦ, εἶτα καὶ τὰ ἄλλα. Ἔστω τοίνυν ἐκεῖνο πρῶτον διακρινόμενον ὑφ' ἑαυτοῦ καὶ ἀφ' ἑαυτοῦ, τῆς οἰκείας ἐνεργείας ἀρχόμενον, διακρίνεται δὲ ὅμως, καὶ δῆλον ὅτι διακρινομένου τόγε διακρινόμενον διακρίνεται.

1.77 Ἢ οὐκ ἀνάγκη τοῦτό γε· καὶ γὰρ τοῦ ἡλίου μύσαντες ἀφιστάμεθα μὴ ἀφισταμένου, καὶ ὁ ἥλιος ἀνακλᾶται, τοῦ γε θεοῦ πανταχοῦ ὄντος, ἡμεῖς χωριζόμεθα τῇ ἀνεπιτηδειότητι τῆς ζωῆς, καὶ τῆς ὕλης αὖ διακέκριται τὸ εἶδος οὐκ ἐχούσης τὴν διάκρισιν· εἶδος γάρ τι καὶ ἡ διάκρισις καὶ ἕτερον, φασί, τὸ εἶδος τῆς ὕλης, οὐκ οὔσης ἑτέρας· καὶ ἡ εἰκὼν τῷ παραδείγματι ὁμοία οὐκ ὄντι ὁμοίῳ τῇ ἑαυτοῦ εἰκόνι. Ἢ ταῦτα μὲν οὐκ ἐχυρὸν λέγειν· ᾧ γὰρ λόγῳ τοῦ παραδείγματος ἐλαττοῦται ἡ τῆς εἰκόνος ὁμοιότης, τούτῳ καὶ τῆς εἰκόνος ὑπερέχει τοῦ παραδείγματος ἡ ὁμοιότης. Ἡ μὲν δὴ τῶν ὁμοταγῶν ἐπίσης ἔχει πρὸς τὴν ἀντιστροφήν, ἡ δὲ τοῦ κρείττονος καὶ χείρονος ἀντιστρέφει μέν, ἀλλὰ μετὰ τῆς ὑπεροχῆς καὶ τῆς ἐλλείψεως. Εἰ τοίνυν ἡ εἰκὼν τῷ παραδείγματι ἔοικεν οὐκ ἐπίσης, ἀλλὰ κατὰ ἔλλειψιν, τί κωλύει καὶ τὸ παράδειγμα ἐοικέναι τῇ εἰκόνι, ἀλλὰ καθ' ὑπεροχήν; Εἰ δὲ ὅτι ἡ εἰκὼν ὁμοιοῦται τῷ παραδείγματι καὶ ταύτῃ ὁμοία, καὶ τὸ παράδειγμα ὁμοιοῖ τὴν εἰκόνα πρὸς ἑαυτό, καὶ ταύτῃ ὅμοιον. Ἀλλὰ ταῦτα μὲν ἄλλης ἂν εἴη λόγων ἁρμονίας. Οὐ μέντοι οὐδὲ τὸ εἶδος ἕτερον τῆς ὕλης, ὅτι μὴ ἑτέρα, ἀλλὰ μόνον οὐχ ὕλη·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γὰρ ἡ ἑτερότης διακριτική ἐστι τῆς ταυτότητος, οὐδὲ ἑτερότης· εἶδος δὲ καὶ ὕλη οὐδαμῆ ταὐτόν· οὐ γὰρ ἂν εἴη ταὐτὸν ἡ ὕλη, οὐδὲ ἄρα ἑτερότης ἐν τοῖς πρὸς ἄλληλα. Κεχωρίσθαι δὲ φατέον ὕλην καὶ εἶδος ἀπ' ἀλλήλων· τὸ δὲ κεχωρισμένον ἀντιστρέφει πρὸς τὸ κεχωρισμένον, ὥστε καὶ τὰ πάντα ἀπὸ τῆς μιᾶς φύσεως ἐκείνης κεχώρισται κεχωρισμένης. Διώρισται ἄρα καὶ αὕτη ἀπὸ πάντων. Πῶς οὖν πέπονθε τὸν διορισμόν; οὐ γὰρ δὴ ἀπό τινος τῶν μεθ' ἑαυτό, ὅπερ εἶναι διοριστικὸν αἴτιον λέγομεν. Πῶς δὲ τούτου αὐτοῦ διεκρίθη διακριθέντος ὃ πάντη ἀδιάκριτον ὁμολογοῦμεν; ἢ ὥσπερ ἕτερα οὐ ῥητέον ἐν οἷς οὐκ ἔστιν ἑτερότης κοινὴ ἀμφοῖν, οὕτως οὐδὲ διωρισμένα ἀπ' ἀλλήλων, ἢ διακεκριμένα ἐν οἷς οὐκ ἔστι κοινὸν πρᾶγμα καὶ ὄνομα, διάκρισις καὶ διορισμός, ἐπεὶ τόγε διοριστικὸν ἢ διακριτικὸν αἴτιον πρὸς τὸ ἑαυτοῦ αἰτιατὸν ἀντιστρέφει οὐκ ἀπὸ τῆς ἴσης, ἀλλ' ὡς ποιοῦν πρὸς γινόμενον· διακρίνεται μὲν γὰρ τὸ αἰτιατὸν ἀπὸ τοῦ αἰτίου, ὡς μετέχον τῆς διακρινούσης αἰτίας, διακρίνεται δέ πως καὶ ἀπὸ τοῦ αἰτιατοῦ τὸ αἴτιον, ὡς προάγον αὐτὸ ἀφ' ἑαυτοῦ καὶ διακρῖνον· οὕτω γὰρ ἀντιστρέφειν ἠξιοῦμεν καὶ τὸ ὅμοιον εἰκόνος καὶ παραδείγματος· τὸ δὲ ἐπέκεινα διορισμοῦ παντὸς οὐκ ἄν τις ἔχοι λέγειν οὐδαμῆ οὐδαμῶς διωρισμένον· ἐπεὶ καὶ διώρισται, οὐ πάντη διώρισται, ἔχει δέ τι καὶ κοινὸν ἕν.

1.78 Ἔσται ἄρα τι τῷ δευτέρῳ ἀπὸ τοῦ πρώτου οἷον ἐκεῖνο οὗπερ ἀπέγνωμεν· εἰ δὲ αὐτὸ ἐκεῖνο καὶ ἐν τῷ δευτέρῳ καὶ ἐν πᾶσιν, ὥσπερ ἐλέγομεν, οὐκ ἂν εἴη κοινὸν ἅμα καὶ διωρισμένον· ἔν τινι γὰρ καὶ ταῦτα διορισμῷ, τὸ κοινὸν καὶ ἴδιον. Πῶς οὖν λεκτέον, καὶ πῇ διαθετέον τὰ ἁπλᾶ ταῦτα φάσματα καὶ ἀτρεμῆ τῷ ὄντι τῆς ὑπερβαλλούσης ταύτης ἀληθείας; ἢ γὰρ οὐδὲν μετ' ἐκεῖνο, καὶ αὐτὸ μόνον ἐστίν, ἢ εἰ ἔστι καὶ ἄλλα μετ' ἐκεῖνο, πάντως ἐστὶ καὶ ἔν τινι πρὸς ἐκεῖνο διορισμῷ. Ἢ ὡς μὲν ἀπὸ τῶν κάτω καὶ τοῦτο λαβεῖν πρὸς ἔνδειξιν ἀμυδρόν, καὶ ταύτην τῆς περὶ ἐκεῖνο σπαργώσης μὲν ἀεί, τίκτειν δὲ οὐδέποτε δυναμένης ὠδῖνος, ἀλλ' ἐν τῷ ὁπωσοῦν ὠδίνειν τὸ τίκτειν ἐχούσης. Ὡς οὖν πρὸς ἔνδειξιν ταύτης, διωρίσθω τινὰ τρόπον ἀσυμφανέστατον καὶ ἥκιστά γε τρανῆ προσδιορισμόν. Καὶ τὸν πρώτιστον λέγω πάντων προσδιορισμῶν καὶ σχεδὸν ὑπὸ τοῦ ἀδιορίστου καταπινόμενον, ὥστε δύναμιν τοῦ πρώτου τὸ δεύτερον εἶναι δοκεῖν, δύναμιν τῇ ὑπάρξει συμπεπηγυῖαν, ὡς ἤδη τινὲς ἱερολόγοι τοῦτο αἰνίττονται. Ἢ καὶ εἴ τι τούτου ἑνοειδέστερον ἐπινοήσειεν ἄν τις ἐν τοῖς πρὸ πάσης ὑπάρξεως καὶ δυνάμεως πεφυκόσι, καὶ λεγέσθω μετ' ἐκεῖνο μὲν τὸ δεύτερον, ἐκεῖνο δὲ μᾶλλον ἢ μετ' ἐκεῖνο, καὶ αὐτὸ μᾶλλον ἢ ἀπ' αὐτοῦ, καὶ ὅσας ἄν τις εὑρίσκοι τοιαύτας ὑπερβολάς. Ἆρα οὖν καὶ τὰ ἄλλα μετὰ τὸ δεύτερον ὡσαύτως αὐτῷ πάρεστι, καὶ τὰ ἔσχατα πάντων; καὶ ἔστιν ἰσότιμα πάντα πρὸς ἐκεῖνο; ἀλλ' ἄτοπον, ὥστε καὶ εἰ μὴ τοῦ δευτέρου, τῶν γε ἄλλων διακέκριται ἱκανῶς, καὶ μάλιστα τῶν ἐσχάτων. Ἢ πάντα ὁμοῦ συνελθόντα, πρῶτα καὶ μέσα καὶ τελευταῖα, καὶ οὔπω πρὸς ἄλληλα οὕτως ἔχοντα, ἀλλ' ὁμοῦ πάντα ὡς ἓν πρὸς τὸ ἓν πάντα ἔχει, ὡς αἰτιατὸν πρὸς αἴτιον.

1.79 Ἡ δὲ ἄλλη πρόοδος καὶ τάξις ἀπὸ τῶν ἄλλων αἰτίων ἐφήκει τοῖς πᾶσιν· ἀπὸ δὲ ἐκείνου καὶ ταῦτα μέν, ἀλλ' ὡς ἐν τοῖς πᾶσι καὶ ταῦτα. Διὸ μόνον ἐκεῖνο τῶν πάντων αἴτιον, ἄλλο δὲ ἄλλου τούτων πάντων. Ὅτι δὲ ὡς πάντων ὁμοῦ ἐκεῖνο ἀρχή, δηλοῖ μὲν αὐτῆς καὶ τὸ παντελές, δηλοῖ δὲ τὸ ἀδιόριστον, οὐ μᾶλλον τοῦδε ὂν ἢ τοῦδε, δηλοῖ δὲ καὶ ἡ τῆς τοιαύτης αἰτίας ἐπιπόθησις τῆς πάντων, ὡς πάντων. Οὐ γὰρ δή τινος μέν ἐστιν αἰτία προηγουμένη; τῶν δὲ πάντων ὁμοῦ ὡς πάντων οὐκ ἔστιν; εἰ δέ ἐστι, τίς ἂν εἴη ἄλλη παρὰ τὴν προκειμένην; ἢ τοσοῦτον διαφέρει τῶν πάντων, εἰ θέμις εἰπεῖν, ὅσον τὰ μέν ἐστι πάντα παντοδαπῶς, ἡ δὲ πάντα τὸν ἁπλούστατον τρόπον. Ὅτι δὲ ταῦτα καὶ Ἰαμβλίχῳ δύναται συνᾴδειν, ἐκεῖνο ποιοῦμαι τεκμήριον ὅτι καὶ τὴν πρὸς ἐκεῖνο ἀναγωγὸν ἑκάστῳ οὐκ ἐφικτὴν εἶναί φησιν, εἰ μὴ συντάξειεν ἑαυτὸ τοῖς πᾶσιν, καὶ μετὰ πάντων ἀναδράμοι πρὸς τὴν κοινὴν πάντων ἀρχήν. Εἰ τοίνυν ὁμοῦ πάντα πέφυκεν ἀνατείνεσθαι πρὸς αὐτήν, καθ' αὑτὸ δὲ ἕκαστον οὐ πέφυκεν αὐτὸ καθ' ἑαυτὸ δίχα τῶν ἄλλων,

παντὶ δῆλον ὅτι καὶ προῆλθεν ὁμοῦ πάντα ἐκεῖθεν, ἕκαστον δὲ οὐ καθ’ αὐτό, ἀλλ’ ἕτερον ἀφ’ ἑτέρου. Ἀλλ’ εἰ καὶ ὁμοῦ πάντα, τὰ μὲν ὅμως πόρρω, τὰ δὲ ἐγγύθεν, ἀλλὰ καὶ ταῦτα διωρίσθη μετὰ τὴν φύσιν ἐκείνην, τότε δὲ οὔπω ἦν τὸ πόρρω καὶ ἐγγύθεν. Ὡς μὲν οὖν ἀπὸ τῶν κατωτάτω περὶ τῶν ἀνωτάτω διατάττεσθαι, λέγοι ἄν τις οὕτως· ὡς δὲ κατὰ τὴν ἀληθεστέραν ὠδῖνα φάναι, οὔτε ταῦτα ἀπ’ ἐκείνου διεκρίθη, οὐδὲ ἐκεῖνο ἀπὸ τούτων, ἀλλ’ οὐδὲ μὴν ἥνωται ἀλλήλοις, οὐδὲ τὰ αὐτά ἐστιν, οὐδὲ ἕτερα, οὐδὲ ὅμοια, οὐδὲ ἀνόμοια, οὐδὲ ἕν, οὐδὲ πολλά, οὐδὲ ὁμοταγῆ, οὐδὲ ἑτεροταγῆ· οὐδὲ γὰρ τὸ πρὸ πάντων ἁρμόζει ἐκείνῳ, οὐδὲ ἄρα τοῖς πᾶσι τὸ μετ’ ἐκεῖνο· οὐδὲ πρῶτον οὖν, οὐδὲ δεύτερον, οὐδὲ αἴτιον, οὐδὲ αἰτιατόν· ἐν διορισμῷ γάρ τινι τὰ τοιαῦτα πρὸς ἄλληλα· τὸ δέ ἐστιν ἀδιόριστον, οὐ τὸ ἀντικείμενον τῷ διωρισμένῳ, ἀλλὰ πάντη ἁπλοῦν, καὶ πάντα ἀδιακρίτως· πάντα γὰρ κατὰ τὸ ἓν καὶ ἐκεῖνο τὸ ἓν ὃ πάντα ἐστί, καὶ οὐ μόνον ἕν. Μὴ τοίνυν ἀπορείτω τις εἰ τὰ ἄλλα ἀπ’ αὐτοῦ πρόεισιν, ἐχωρίσθη αὐτοῦ· καὶ ἐκεῖνο ἄρα τούτων ἐχωρίσθη· εἰ δὲ ἥνωται, οὐ προῆλθεν· οὔτε γὰρ οὕτως ὡς ἡμεῖς νοοῦμεν, οὔτε προῆλθεν, οὔτε οὐ προῆλθεν.

1.80 Ἄλλος γὰρ ὁ τρόπος ἐκεῖνος τῆς ἑνιαίας προόδου, ὃν ἡμεῖς οὔπω συννοοῦμεν, ἅτε μεμερισμένοι εἰς μονὴν καὶ πρόοδον καὶ ἐπιστροφήν, ὁ δέ ἐστιν ὕπερ τὸν διορισμὸν τῶν τοιούτων, οὔτε ἀναγκαῖον ἡνῶσθαι, εἰ μὴ διακρίνηται, οὔτε διακρίνεσθαι, εἰ μὴ ἥνωται· ἐκεῖνο γὰρ τὴν πρὸ ἀμφοῖν ἀδιόριστον· τὰ δέ ἐστιν ἀντικείμενα. Μηδὲ αὖ ζητείτω τις εἰ παράγει, τὰ δὲ παράγεται· εἰ γὰρ ἐνεργεῖ, καὶ δύναται καὶ ὑπάρχει. Τρία οὖν τὰ πάντα, ἀλλ’ οὐχ ἕν, ὕπαρξι ς , δύναμις ἐνέργει α . Ἀλλ’ εἴρηται ὅτι ἐκεῖνο πρὸ ἐνεργείας καὶ δυνάμεως καὶ ὑπάρξεως· ἓν γάρ, ἀλλ’ οὐ τρία, πρὸ δὲ τῶν ἄλλων, ὡς ἓν καὶ τὰ τρία. Ἀπορίᾳ δὲ ἡμεῖς καὶ νοήσεως καὶ ἐξηγήσεως παράγειν ὅμως αὐτὸ λέγομεν, διακαθαρτέον δὲ τὸν τρόπον τῆς παραγωγῆς, ὡς ὄντα ἀσύμφυλον ἡμῖν, καὶ οὔτε τῷ ἐνεργεῖν, οὔτε τῷ δύνασθαι, οὔτε τῷ ὑπάρχειν ἐπιτελούμενον, ἀλλὰ τῷ ἑνὶ πρὸ τῶν τριῶν ἀπορρήτῳ τρόπῳ. Μηδὲ λεγέτω τις ἀπορρεῖν τινα ἀπ’ αὐτοῦ μέθεξιν, οὔτε ἰδίαν ἑκάστου γιγνομένην, οὔτε κοινὴν μίαν ἁπάντων, ἵνα μετέχῃ αὐτοῦ τὰ ἀπ’ αὐτοῦ προελθόντα, καὶ ἐκεῖνο διδῷ τι ἀφ’ ἑαυτοῦ τοῖς προελθοῦσιν, ἤ, εἰ μὴ ταῦτα, μηδὲ ἐκεῖθεν ἔχειν τὸ εἶναι, μηδέ τι κοινὸν εἶναι αὐτοῖς πρὸς ἐκεῖνο· εἰ γάρ, εἶναί τι ἢ ἐν τούτοις ἔσεσθαι ἐκεῖνο, καὶ οὐ καθ’ ἑαυτό, ἢ ταῦτα ἐν ἐκείνῳ, καὶ οὐδὲν εἶναι παρ’ αὐτό. Τὸ γὰρ τοιοῦτον εἶδος τῶν ἀποριῶν ἰσχύειν φατέον ἐπὶ τῶν κατὰ διάκρισιν παραγόντων καὶ προϊόντων. Ὥσπερ δὲ ἔθεμεν ἀπ’ ἐκείνου τὴν πρόοδον τῶν ἀπ’ αὐτοῦ μήτε κατὰ ἕνωσιν, μήτε κατὰ διάκρισιν, οὕτω καὶ τὴν ἐκεῖθεν τελείωσιν καὶ τὴν ἐκείνου μέθεξιν εἶναι, μήτε ὥς τι διδόντος ἀφ’ ἑαυτοῦ, μήτε ὡς ἐπέχοντος τὴν δόσιν, μήτε ὡς ἔχοντός τι κοινὸν πρὸς τὰ ἄλλα, αὐτὴν τὴν διδομένην ἔλλαμψιν, μήτε ὡς πάντη διωρισμένου, καὶ οὐδαμῆ πρὸς αὐτὰ κοινωνοῦντος. Αἱ γὰρ τοιαῦται πᾶσαι ἀντιθέσεις ἐν διορισμῷ. Τὸ δέ ἐστιν, ὡς εἴρηται πολλάκις, ἀδιόριστον, ὥστε ἅμα πάντα ταῦτα ἐν ἐκείνῳ ῥητέον, καὶ αὖ οὐδὲν μόνον καθ’ αὑτὸ διωρισμένον, τὸ δὲ ἀληθέστερον, οὐδὲ πάντα, ἀλλὰ πρὸ πάντων ἕν, ὁμοῦ πάντων τούτων ἁπλωτικόν. Τί οὖν τὸ τῆς ἀληθείας ἀπ’ αὐτοῦ προπεμπόμενον κατὰ Πλάτωνα φῶς; ὅτι μὲν προσεχέστερον ταῖς ἡμετέραις ἐννοίαις ἀναφθέγγεται ταῦτα ὁ Πλάτων περὶ αὐτοῦ, ἐδήλωσεν ἐν ἄλλοις, οὐ τὴν ἀλήθειαν μόνον, ἀλλὰ καὶ κάλλος καὶ συμμετρίαν ἐν προθύροις αὐτοῦ τάττειν ἀξιῶν· εἶτα μέντοι, οὐδὲ πάντως ἐκεῖνο τὸ πρὸ πάντων παρείληφεν, ἀλλ’ οὗ τὸ ὂν ἤρτηται προσεχῶς.

1.81 Διὸ τοῦ γνωστοῦ καὶ γνωστικοῦ, ὅ ἐστιν νοητοῦ καὶ νοεροῦ συνδετικὸν εἶναί φησι τοῦτο τὸ φῶς, ὡς ἐν τῷ νοητῷ καθιδρυμένον καὶ ἀληθίζον ὁμοῦ τὸ νοοῦν καὶ νοούμενον· ἀλλὰ τοῦτο μὲν ἐπισκεπτέον καὶ αὖθις. Εἰ δ’ οὖν καὶ ἐκείνου φῶς λέγοιμεν τὴν ἀλήθειαν, τὴν ἀπ’ αὐτοῦ φήσομεν εἶναι αὐτὴν πρόοδον τῶν θείων ἑνάδων, ὡς δοκεῖ τοῖς φιλοσόφοι ς . Ἆρα οὖν οὐκ ἔχουσί τι κοινὸν πρὸς ἀλλήλας αὗται αἱ ἑνάδες, καθὸ πάντες οἱ θεοὶ εἷς θεός εἰσί τε καὶ

λέγονται; πάνυ γε, φήσω, ἀλλ’ ἤτοι ὡς ἀφ’ ἑνὸς καὶ πρὸς ἕν, ὥστε καὶ τοῦτο πολλά· ἢ εἴ τι καὶ ἀδιάφορον ἕν, οἷον ῥίζα μία τῶν πολλῶν θεῶν, οὐδὲν αὕτη οἷον ἐκεῖνο καὶ ἐκείνου μέθεξις, ῥίζα δὲ τῶν προελθόντων προϊοῦσα μετὰ τῶν προϊόντων, οἷον μονάς, εἰ θεμιτὸν φάναι, τοῦ θείου ἀριθμοῦ, τὸ δὲ τῆς ὕλης, εἴ τις καὶ τοῦτο προφέροι, ὡς ἐκείνου τι ἴχνος ἔσχατον, τοῦ παντὸς ἁμαρτήσεται. Ἡ γὰρ ὕλη πρὸς τὸ εἶδος διώρισται καὶ τὸ ἔσχατον πρὸς τὸ πρῶτον, ἐκείνου δὲ ἡ φύσις πρὸ τούτων, καὶ ὅλως πανταχοῦ τῇ ὕλῃ σύνεστιν εἶδος. Ὅθεν ἄρα τὸ εἶδος πρόεισι, καὶ ἡ ὕλη ἀπὸ τῆς αὐτῆς τάξεως· ἀλλὰ τοῦτο μὲν καὶ ὕστερον· ὃ δὲ ἐπὶ πᾶσιν εἴρηται τοῖς προηπορημένοις, τὸ ἐν ἑκάστῳ συναίρεμα πάντων πρὸ πάντων ἓν τῶν ἐν ἑκάστῳ, ἔστι μὲν ἐκείνῳ ἀναλογοῦν, οὐ μὴν οἷον ἐκείνου ἴνδαλμα, οὐδὲ φῶς, ἀλλὰ τοῦ προελθόντος, καὶ τοῦτό ἐστι κορυφὴ καὶ ῥίζα, σὺν αὐτῷ προελθοῦσα τὸν ἀπ’ ἐκείνου πεφυκότα τρόπον, ὥσπερ καὶ ἡ μία ῥίζα τῶν πάντων ἡ κοινή· τὸ δὲ οὐκ ἦν ῥίζα, ἀλλὰ πρὸ πάντων, οὐδὲ ῥίζα μόνον, ἀλλὰ πάντα μετὰ τῆς ῥίζης. Αὐτὸ μὲν οὖν ἓν πάντα καὶ πρὸ πάντων, τὰ δὲ πάντα πρόεισιν ἀπ’ αὐτοῦ, ῥίζα ἅμα καὶ κλάδοι. Πῶς οὖν ἡ ῥίζα ἐκείνου ἀπήχημα, εἴτε ἡ μία εἴτε αἱ πολλαί, ὅπερ ἅμα καὶ ῥίζαν καὶ κλάδους ὡμολογήκαμεν, ἀδιόριστον ἓν πάντα πρὸ πάντων ὁμολογήσαντες; ἡ δὲ ῥίζα διώρισται πρὸς τοὺς κλάδους, καὶ ἡ κορυφὴ πρὸς τὸ ἄλλο πᾶν.

1.82 Οὐκ ἄρα ἡ ἐκεῖθεν ἔλλαμψις ἦν ἄρα τὸ πρὸ πάντων ἕν, ἑκάστῳ τῶν πεπληθυσμένων ἑνοειδὲς ἑνί, τοῦτό γε τῇ κατατάξει πεπληθυσμένον εἴη ἄν τινα τρόπον, καὶ διωρισμένον πη ἀπὸ τοῦ ἐλλάμποντος. Ἀλλὰ μὴν οὐχ ὅτι ταύτῃ οὐ μετέχει τὰ ἄλλα αὐτοῦ, διὰ τοῦτο οὐδαμῇ ἂν μετέχοι, καὶ διῳκισμένον ἐκεῖνο θησόμεθα τῶν πάντων· ἀνάγκη γὰρ ἀναίνεσθαι καὶ τὰς δευτέρας ἀπορίας, πρὸς μὲν τὸν συνήθη τοῖς ἄλλοις τρόπον τῆς μετοχῆς μαχομένας, ἁπλῶς δὲ οὐ καλῶς ἐχούσας. Ἔστω γάρ, ὡς ὑποστάσεως αὐτοῦ ἰδιοτρόπως ὑπόνοια, οὕτω καὶ προόδου, οὔτε κατὰ ἕνωσιν, οὔτε κατὰ τὴν διάκρισιν, οὔτε ὁμοειδοῦς, οὔτε ἀνομοειδοῦς, ἀλλὰ πρὸ ἀμφοῖν· καὶ περὶ τῆς μεθέξεως, οὔτε κατὰ παρουσίαν αὐτοῦ γινομένης, οὐδὲ κατὰ ἔλλαμψιν τὴν ἀπ’ αὐτοῦ χωριζομένην, ἀλλὰ πρὸ ἀμφοῖν. Οὐ τοίνυν ἁρμόσει λέγειν ὅτι κοινὸν ἢ ἴδιον τὸ διδόμενον· καὶ τοῦτο γὰρ ἐπέκεινα τοῖν δυεῖν· οὐδέ γε μὴν διδόμενον, οὐδὲ αὖ μὴ διδόμενον, ἀντίκειται γάρ πως καὶ ταῦτα, τὸ δὲ πάσης ἀντιθέσεως ἐπέκεινα καὶ τῆς ἀντιφατικῆς, πολλῷ ἄρα μειζόνως καὶ τῆς ἄλλης ἁπάσης, ὥστε οὔτε φθαρτόν, οὐδὲ ἄφθαρτον, ἀλλὰ πρὸ τούτων ἄξιον κεκλῆσθαι, εἴπερ ἦν ἰδιώνυμός τις αὐτοῦ προσηγορία. Πῶς δ’ ἂν εἴη, ᾧ μηδὲ τὸ ἴδιον πρόσεστι, μηδὲ τὸ κοινόν; οὐχ ὁμοιούμεθα οὖν αὐτῷ οὐδαμῶς, ᾧ γε μὴ ἔνεστιν ἰδιότης, ἀλλά τινι τῶν μετ’ αὐτό, ἐπεὶ οὐδὲ ἑνούμεθα ἐκείνῳ, ἀλλὰ τῷ ἑνὶ ὅπερ ἐστὶ μετ’ αὐτό, ἐκεῖνο δὲ πρὸς τῷ ἑνὶ καὶ πάντα ἦν, ἵνα οὕτως εἴπω, τὸ πρὸ τοῦ ἑνὸς καὶ τῶν πάντων. Ἡ οὖν αὐγὴ τῆς ψυχῆς τί βούλεται τῷ Πλάτων ι ; ἢ συνάπτειν αὕτη τῷ φωτὶ τῷ ἀπ’ ἐκείνου, ἀλλ’ οὐκ ἐκείνῳ. Τί δέ; τὸ φῶς αὐτὸ οὐ συνῆπται τῷ ἀπ’ αὐτοῦ; ἢ κατὰ μὲν τὴν εἰκόνα τῆς ἀναλογίας συνῆπται, κατὰ δὲ ἀλήθειαν οὐκέτι· οὐ γὰρ ὑπομένει ἐκεῖνο τὴν πρὸς ἕτερον συναφήν, ἥν γε οὐδὲ τὸ σημεῖον ὑπέμεινεν.

1.83 Ἀλλὰ πῶς μετ’ αὐτὸ εὐθύς; ἢ ὅτι τῶν ἄλλων πρῶτον ἐξεφάνη, ἢ οὐ τελέως ἀπὸ τοῦ ἀδύτου προέκυψεν. Καὶ ὅλως περὶ τῶν Πλάτωνι εἰρημένων ὕστερον· ἔτι δὲ τὸ δεύτερον μετ’ ἐκεῖνο, ὅτι ποτὲ ἂν ᾖ, ὡς μὲν ἀπ’ ἐκείνου μετὰ πάντων πρόεισι τὸν ἀδιόριστον πάντῃ τρόπον, ἄνευ τῆς πρὸς διορισμὸν ἀντιθέσεως. Ὡς δὲ ἀρχὴ καὶ αὐτὸ δευτέρα, ἄλλας ἡμῖν προβαλεῖται ἐννοίας περὶ ἑαυτοῦ τε καὶ τῶν ἀπ’ αὐτοῦ. Δῆλον γὰρ ὅτι ἐξομοιοῦν δεῖ πρὸς τὰ πράγματα εἰς δύναμιν τὰς ἡμετέρας ἐννοίας. Καὶ γὰρ ἅπερ ὑπενοήσαμεν, ἀπὸ τῆς ἁπλότητος τοῦ πρὸ πάντων ἑνὸς ἐπειράθημεν συναγαγεῖν, εἰ καὶ πρὸς τὸ ἀντίξουν ἡμῖν ἡ ὁρμὴ ἐγείρεσθαι ἔσπευδεν τὰς φύσει μεμερισμένας ἐννοίας τῆς ψυχῆς, μᾶλλον δὲ τὰς διεσπασμένας ἡμῶν ὑπονοίας τῷ ἑνὶ πάντῃ καὶ οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον πάντα ἐν ἑαυτῷ περιειληφότι, ἤ, ἄμεινον φάναι, ὑπάρχοντι, ἴσως δὲ ἄμεινον ἔτι μηδὲ ὑπάρχοντι, ἀλλὰ ὑπὲρ τοῦτο πάντα ἑνὶ προσαρμόζειν φιλονεικοῦντες. Διὸ καὶ ὁ πολὺς ἐγίνετο θόρυβος, κινδυνεύοντος ἀεὶ τοῦ μεριστοῦ λόγου ἢ διασπάσαι τὸ ἓν εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλά, ἢ τὴν οἰκείαν ἀπολέσαι παντάπασι φύσιν τε καὶ δύναμιν, καὶ ἐνέργειαν. Τοιγαροῦν καὶ ἐκεῖνα τούτοις ἑπόμενα συνάγομεν, ὅτι ἐκεῖνο οὐδὲν ῥητέον τῶν ἐν διορισμῷ τοιούτων λεγομένων, οὐδὲ ὁμοῦ πάντα συνελθόντα, οἷον, ὅτι αἴτιον πάντων, ὅτι πρῶτον, ὅτι ἀγαθόν, ὅτι τὸ ἁπλούστατον, ὅτι τὸ ἐπέκεινα τοῦ ὄντος, ὅτι μέτρον, ὅτι ἐφετόν, ὅτι τέλος, ὅτι ἀρχή. Αἱ μὲν γὰρ τούτων ἁπάντων ἔννοιαι διωρισμέναι εἰσίν, ἐκείνῳ δὲ οὐδεὶς προσήκει διορισμός, ὥς γε οὔτε τὸ ἀντικείμενον τῷ διωρισμένῳ ἀδιόριστον, ἀλλ' εἴ τί ἐστι πρὸ τούτων ἁπάντων ἓν πάντων σημαντικόν, τοῦτο μόνον ἐπ' ἐκείνου ὑπονοητέον. Ἓν γὰρ ὂν καὶ πάντα ὁμοῦ τὰ δύο, ὡς ἓν πρὸ τοῦ ἑνὸς καὶ τῶν πάντων, οὐκ ἔχει μὲν οἰκείαν οὔτε ἔννοιαν παντελῆ καὶ ἅμα ἁπλῆν, οὔτε πολλῷ μᾶλλον προσηγορίαν· ἀπαιτεῖ δὲ ὅμως τοιαύτην οἵαν προσενεγκεῖν ἀποροῦμεν. Διὸ καὶ μόνην αὐτοῦ γνῶσιν ποιούμεθα ταύτην, καθ' ἣν ἀτιμάζομεν τὰ ἡμέτερα πάντα οὕτω προσαρμόζειν· καὶ ὅσα περὶ τῶν μετ' αὐτὸ τιθέμεθα, καὶ ταῦτα ἀτιμάζομεν, καὶ οἰόμεθα ἐκεῖνο οὔτε τι εἶναι τῶν πάντων, οὔτε ὁμοῦ πάντα, διότι πάντων αἴτιον ἡγούμεθα καὶ πάντῃ ἁπλοῦν, οὔτε οὕτως ἁπλοῦν ὥς τι τῶν πάντων, οὐδὲ ὡς αὐτὴ ἡ ἁπλότης (καὶ αὕτη γάρ τι τῶν ἁπάντων ἐστίν), ἀλλ' οὕτως ἁπλοῦν ὡς.

1.84 ἅμα πάντα, καὶ οὕτω πάντα ὡς ἅμα ἁπλοῦν· οὔτε αὖ πάλιν οὕτω πάντα ὡς πολλὰ τὰ πάντα, ἢ ὡς τὸ πᾶν ἐκ πολλῶν, ἀλλ' οὕτω πάντα ὡς ἓν πρὸ πάντων. Ἀλλ' ἐπεὶ τοιοῦτον ἐκεῖνο ἀποπέφανται, ἑξῆς ἂν εἴη ζητῆσαι, περὶ τοῦ μετ' αὐτὸ προελθόντος, ὅτι ποτὲ ἂν ᾖ· τοῦτο μὲν γὰρ ἡμᾶς περιμενέτω· ἀλλὰ καθὰ μόνον ἀπ' ἐκείνου καὶ μετ' ἐκεῖνο, ζητητέον ἓν μὲν εἰ διεκρίθη ἀπ' αὐτοῦ, ἕτερον δὲ εἰ ἐκεῖνο μένει, τούτου προϊόντος (δεῖ γὰρ ἀεὶ πρὸ τοῦ ἰόντος εἶναι τὸ μένον), καὶ εἰ μένον πρόεισιν, ἢ μόνον πρόεισιν. Ἀρχώμεθα δὲ ἄνωθεν. Εἰ τοίνυν διεκρίθη τὸ δεύτερον ἀπὸ τοῦ πρώτου, πάντως ὅτι καὶ τὸ πρῶτον διεκρίθη τοῦ δευτέρου· τὸ γὰρ διακρινόμενον διακρινομένου διακρίνεται. Ἀλλ' εἰ τοῦτο, ἢ ἀπὸ τοῦ δευτέρου, διακρίναντος ἑαυτό, πέπονθε καὶ αὐτὸ τὴν διάκρισιν, καὶ πῶς ἀπὸ τοῦ αἰτιατοῦ τὸ αἴτιον ἠλλοίωται; Πῶς ἢ ὁτιοῦν πέπονθεν, ἢ ἀφ' ἑαυτοῦ ἔσχεν τοῦτο; καὶ ἐν τῷ διακρίνειν τὸ δεύτερον ἀφ' ἑαυτοῦ καὶ ἑαυτὸ διακρίνειν ἀπ' ἐκείνου; Καὶ πῶς ἐστι διακριτικὸν ὅ γε οὐδὲ ἑνοποιὸν ἠξίωσεν εἶναι; πῶς δὲ ὅλως διακέκριται τοῦ δευτέρου; ἢ καὶ ἥνωται πρὸς αὐτὸ ὅ γε πρὸς οὐδὲν τῶν πάντων ἕνωσιν ἢ διάκρισιν ὑπομένει; ἀλλ' εἰ μὴ διακέκριται, πῶς τὸ μὲν αἴτιον, τὸ δὲ αἰτιατόν; πῶς δὲ οὐ πάντῃ ἀπαραλλακτεῖ πρὸς τὸ γεννῶν τὸ γεννώμενον; Μήποτε οὖν ἀσφαλέστερον λέγειν τὸ πρῶτον ἄνευ τε ἑνώσεως καὶ ἄνευ διακρίσεως, ἅτε καὶ ἑνὸς καὶ πλήθους ἐπέκεινα ὄν, πάντα παράγει, ὡς πρόσθεν εἴρηται, τὸν ἀσύμφυλον τρόπον, καὶ πάντων κεχώρισται καὶ πᾶσιν ἔνεστι τρόπον ἕτερον τοιοῦτον. Ἀφ' οὗ δὴ ἂν ἄρξηται ἡ διάκρισις, ἀπὸ τούτου καὶ τὸ ἐξῃρημένον ἢ συντεταγμένον, καὶ ὅλως τὸ πρότερον ἄρξεται καὶ δεύτερον. Ἡμεῖς καὶ ταῦτα περὶ ἐκείνων λέγομεν ἐνδείκνυσθαί τι μόνον βουλόμενοι περὶ τῶν πάντῃ ἀδιορίστων, ὥστε οὔτε τι τῶν ἄλλων, οὔτε τὸ δεύτερον εἶναι δοκοῦν, οὔτε διακέκριται ἀπ' ἐκείνου, οὔτε ἥνωται αὐτῷ· εἴη γὰρ ἂν ἐκεῖνο ἡνωμένον.

1.85 Ὥσπερ οὖν οὐδὲ ἕτερον, οὐδὲ ταὐτὸν ἀξιοῦμεν ἐπ' αὐτοῦ εἰπεῖν, ὅτι μήπω ταυτότης καὶ ἑτερότης, οὕτως οὖν οὐδὲ ἑνούμενον ἢ διακρινόμενον, ὅτι μήπω ἕνωσις καὶ διάκρισις. Οὐδὲ ἄρα μονή τις ἐκείνου, οὐδὲ πρόοδος, οὐδὲ ἐπιστροφὴ διώρισται διὰ τὴν αὐτὴν αἰτίαν· οὐκ ἄρα οὐδὲ τὰ λοιπὰ δικαίως ἀπορήσομεν, ὕστερον δὲ ζητήσομεν ὅπου ταῦτα ἀποφαίνεται, καὶ τί ἐν ἐκείνοις τὸ μένον ἢ τὸ προϊὸν ἢ τὸ ἐπιστρεφόμενον, καὶ εἰ ταὐτὸν καθ' ὑπόστασιν ὅλην, ἢ τρεῖς αὐταὶ ὑποστάσεις. Εἰ δέ τις ἐθέλοι, ὥσπερ ἐν σκότει ἀφάσσων, ὅμως καὶ ἐν ἐκείνοις κατὰ ἀναλογίαν ταῦτα θεωρεῖν, οὐ κατὰ ἔνδειξιν, ἀλλὰ κρειττόνως ἢ κατὰ τὴν ἐνδείκνυσθαι δυναμένην ἀλήθειαν, ἀναλογείτω ἐκεῖνο μὲν τῷ μένοντι αἰτίῳ, τὸ δὲ ἀπ' αὐτοῦ προϊὸν πρώτως τῷ προϊόντι καὶ ἄρχοντι τῆς κυρίως προόδου, τὸ δὲ τρίτον ἀπ' αὐτοῦ τῷ ἐπιστρέφοντι. Ἐὰν δὲ αὐτὰ ταῦτα διαστησώμεθα οἷα εἶναι ὑπονοοῦμεν, εἰσόμεθα ὅτι πρέψει αὐτοῖς ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναλογία· πλὴν ὅτι καὶ ἐντεῦθεν ἤδη ζητητέον μήποτε ἄλλο τὸ μένον παρὰ τὸ ἐξ ἀρχῆς ὑποκείμενον ἓν πάντα εἶναι· τοῦτο γὰρ οὐδέν ἐστι διωρισμένον. Τῶν δὲ μετ' αὐτὸ τριῶν ὄντων, εἴποι τις ἄν, πρῶτον εἶναι τὸ μένον· εἰ γὰρ καὶ ταῦτα παντελῆ καὶ ἀδιόριστον ἕκαστον, ἀλλ' ἤδη μᾶλλον ἄν τι ἐνδείξαιτο· τὸ μὲν κατὰ τὸ μένον ἐνδείξαιτο μᾶλλον, τὸ δὲ κατὰ τὸ προϊόν, τὸ δὲ κατὰ τὸ ἐπιστρεφόμενον· ἢ καὶ εἰ ταῦτα βούλοιτό τις ἐπ' ἐκείνων ἐνδείκνυσθαι, ἀρκεῖ τὸ ἓν πάντα ἐκεῖνο πρὸς τὴν τοῦ μένοντος ἔνδειξιν, καθότι καὶ τὸ πρῶτον ἀπ' αὐτοῦ προελθόν, οὐκ ἔμεινεν αὐτό, ἀλλὰ πρόεισιν ἀπ' αὐτοῦ, ἐκεῖνο δὲ οὐδαμῶς πρόεισιν, διότι πρὸ αὐτοῦ τὸ ἀπόρρητον ἦν, ἐφ' οὗ οὐδὲν ἦν εἰπεῖν, οὐδὲ κατὰ ἔνδειξιν. Οὐδὲ ἄρα πρόεισί τι ἀπ' αὐτοῦ, οὐδὲ ἄρα τὸ ἓν πάντα, τὸ δὲ ἀπρόϊτον κατά γε αὐτὸ τοῦτο λέγοιτο ἂν μένειν, οἷον κατὰ ἀναλογίαν, ἐπεὶ κἂν τὸ ἀπ' αὐτοῦ μένειν λέγοιτο, ἐπειδὴ τοῦτο καὶ πρόεισιν ἀπ' αὐτοῦ, καθόσον ἐστὶ μετ' αὐτό, καθὸ δεήσει καὶ πρὸ τῆς τούτου προόδου θέσθαι τι μένον, εἴπερ ἀξιοῦμεν πρὸ τοῦ προϊόντος εἶναι τὸ μένον. Ἤτοι οὖν ἄλλο ζητήσομεν, καὶ τοῦτο ἐπ' ἄπειρον, ἢ τὸ ἓν πάντα ποιήσομεν μένον, ὃ καὶ ἡμεῖς ἐτιθέμεθα ὡς μένον πρὸ τοῦ προϊόντος, ἐπεὶ εἰ μὴ τοῦτο πρὸ τῶν ὁπώσποτε μενόντων, οὐδὲ τὸ μετ' αὐτὸ πρῶτον ἔσται τῶν ὁπώσποτε προϊόντων.

1.86 Καὶ τοῦτο μὲν ἄχρι τοσούτου προήχθω. Μετὰ δὲ ταῦτα ἐκεῖνο προβαλλώμεθα εἰς ἐπίσκεψιν, πότερον δύο εἰσὶν αἱ πρῶται ἀρχαὶ πρὸ τῆς νοητῆς πρώτης τριάδος, ἥτε πάντη ἄρρητος καὶ ἡ ἀσύντακτος πρὸς τὴν τριάδα, καθάπερ ἠξίωσεν ὁ μέγας Ἰάμβλιχος ἐν τῷ ΚΗῳ βιβλίῳ τῆς χαλδαϊκῆς τελειοτάτης θεολογία ς , ἢ ὡς οἱ πλεῖστοι τῶν μετ' αὐτὸν ἐδοκίμασαν, μετὰ τὴν ἄρρητον αἰτίαν καὶ μίαν εἶναι τὴν πρώτην τριάδα τῶν νοητῶν· ἢ καὶ ταύτης ὑποβησόμεθα τῆς ὑποθέσεως, κατὰ δὲ τὸν Πορφύριον ἐροῦμεν τὴν μίαν τῶν πάντων ἀρχὴν εἶναι τὸν πατέρα τῆς νοητῆς τριάδος; Ὅπως μὲν οὖν τὰ λόγια βούλεται τῶν θεῶ ν , ἄλλου ἂν εἴη καιροῦ διακρίνειν, τανῦν δὲ κατὰ τὸν φιλοσοφώτερον τρόπον ὃν προεχειρισάμεθα καὶ ταῦτα μετίωμεν. Οὐκοῦν ἡ ἀσύντακτος αἰτία καὶ πάντων μία κοινὴ καὶ πάντη ἄρρητος πῶς ἂν συναριθμοῖτο τοῖς νοητοῖς καὶ μιᾶς λέγοιτο τριάδος πατήρ; αὕτη μὲν γὰρ ἤδη κορυφὴ τῶν ὄντων ἐστίν, ἐκείνη δὲ τὰ πάντα ἐκβέβηκεν· καὶ ταύτης μὲν ἐξῆπται ἰδίως ὁ πατρικὸς νοῦς, ἐκείνης δὲ οὐδὲν ἴδιον· καὶ αὕτη μὲν τῷ ἑαυτῆς νῷ ὁπωσδήποτε νοητή, ἐκείνη δὲ τὸ πάμπαν ἄρρητος. Ἔτι δὲ ἐκ τῶν εἰρημένων ἡμῖν τὸν πατέρα τῆς τριάδος, ἢ κοινότερόν τι, ἢ τὸ ἓν πάντα φήσειεν ἄν· ἀλλ' οὐδὲ τοῦτο πρὸς ἐκείνην ἰσάξιον τὴν ὑπόθεσιν, μήτι γε δὴ τὸ κοινότερον· ἀλλ' ἴσως ἄμεινον κατὰ τὸν Ἰάμβλιχον λέγειν· εἴτε γὰρ μονὰς καὶ δυὰς ἀόριστος καὶ ἐπὶ ταύταις τριάς, αὕτη ἐστὶν ἡ νοητὴ ὅλη τριάς, ὡς οἱ Πυθαγόρειοι λέγουσι, πρὸ τούτων ἂν εἴη τὸ ἕν, ὡς καὶ τοῦτό φασιν ἐκεῖνοι οἱ ἄνδρες· εἴτε πέρας καὶ ἄπειρον καὶ μικτόν, καὶ πρὸ τούτων ὑπόκειται τῷ Πλάτωνι τὸ ἕν, ὃ καὶ τῷ μικτῷ τῆς μίξεως αἴτιον εἶναί φησιν· εἴτε πατήρ ἐστι καὶ δύναμις καὶ νοῦ ς , εἴη ἂν τὸ πρὸ τούτων, ὁ εἷς πατὴρ ὁ πρὸ τῆς τριάδος· παντὶ γὰρ ἐν κόσμῳ λάμπει τριὰς ἧς μονὰς ἄρχει, φησὶ τὸ λόγιο ν .

1.87 Εἰ δὲ ἐν τοῖς κόσμοις, πολλῷ μᾶλλον ἐν τῷ ὑπερκοσμίῳ βυθῷ· ἥκιστα γὰρ ἐκείνῳ προσήκοι ἂν ἄρχεσθαι ἀπὸ πλήθους. Εἰ τοίνυν πρὸ μὲν τοῦ τριαδικοῦ τὸ μονοειδές, πρὸ δὲ τούτου τὸ πάντη ἄρρητον, ὡς ἐλέγομεν, δῆλον τὸ συμβαῖνον. Ἔτι γὰρ εἰ τὸ ἓν πάντα δευτέρα ἀρχὴ μετὰ τὴν ἀπόρρητον, αὕτη δὲ οὐδὲν μᾶλλον τόδε τι τόδε, ἀλλὰ πάντα ἐπίσης, τὸ δὲ ἄρχον τῆς τριάδος ὕπαρξις μᾶλλον, ὥσπερ τὸ δεύτερον δύναμι ς , τὸ δὲ τρίτον νοῦ ς , σαφὲς ὅτι καὶ ἀπὸ τῶν πραγμάτων προτακτέον τῆς τριάδος τὸ ἓν πρὸ μονάδος, ὡς καὶ παντὶ ἀριθμῷ ὑπάρχειν· ἕκαστος γὰρ εἷς ἀριθμός, οὐ μέντοι μονὰς τὸ ἓν ὅπερ ἐλέγομεν, ἤτοι μονάς ἐστι, καὶ ἔσται πρὸ αὐτῆς τὸ ἕν, καὶ τούτου προϋπάρξει τὸ ἀπόρρητον. Ἡ ἄρα μονὰς ἔσται πρώτη τοῦ νοητοῦ ἀριθμοῦ, τρίτη οὖσα ἀρχή; ἢ τοῦτο λέγεται μόνον ἕν, καὶ ἔσται μετ' αὐτὸ πάλιν ἡ μονὰς ἄρχουσα τοῦ νοητοῦ ἀριθμοῦ. Πολλῷ δὲ χρήσεταί τις ὑπὲρ Ἰαμβλίχο υ , καὶ τῷ προρρηθέντι λόγῳ τῷ μετὰ τὸ ἓν πάντα τιθεμένῳ τὴν μένουσαν ἀρχήν, ᾗ καὶ πρέψει πάντως τὸ τῆς μονάδος ὄνομά τε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρᾶγμα. Παρὰ γὰρ τὴν μονὴν ἡ μονάς, καὶ οὕτω δυὰς προοδικὴ ἐπιστρεπτική, καὶ οὕτω τριὰς τοῦ κατὰ πλῆθος. Ἀλλὰ κατὰ τὴν ἰδιότροπον φύσιν οὕτω λεγόμενον, οὐδὲ ἀξιώσει τὸ μένον προϊέναι πάντως, ἀλλὰ τῷ μονίμῳ ἑαυτοῦ μόνῳ καθ' ἑαυτὸ γενέσθαι μετὰ τὸ πάντα ἕν. Οὐκ ἄρα προελθόν, οὐδὲ ἄξιον ἐπ' ἐκείνου πρόοδον εἰπεῖν. Τὸ δὴ μετὰ τὸ μένον ἤδη τῷ ὄντι προϊόν. Καὶ γὰρ ἀπ' αὐτοῦ πρώτου ἡ πρόοδος ἄρχεται, ὡς ἀπὸ τοῦ τρίτου ἡ ἐπιστροφή. Διὸ καὶ νοῦς οὗτος πρῶτος. Ἐπὶ δὲ τούτοις ἀφέμενοι τῶν προειλημμένων τούτων ὀνομάτων, λέγωμεν ὡς δεῖ μὲν εἶναι μετὰ τὴν μίαν τῶν πάντων ἀρχήν, ἡ δὲ τεθεῖσα διὰ καταφάσεως, ὁπωσδήποτε ἀνακαθαιρομένης καὶ πάντα ἓν λεγούσης εἶναι αὐτήν. Δεῖ οὖν μετὰ ταύτην ἄλλην εἶναι ἀρχήν, ἢ οὐκέτι πάντα ἓν οὖσαν, ἢ οὐκ ἐπίσης πάντα, ἀλλά τινα τρόπον ἴδιον.

1.88 Καὶ ἔτι μετὰ ταύτην, ἄλλην ἰδιότροπον, καὶ ταύτην ὑποβᾶσαν· πάντα γὰρ ἑκάστη, ὅτι καὶ ἑξῆς ἔτι πάντα ἑκάστη ἀρχὴ νοητή, ἴσως δὲ καὶ μεχρὶ τῶν νοερῶν πάντα διάκοσμος ἕκαστος. Ἀλλ' ὅμως ἐκεῖ πάντα ἀδιορίστως, καὶ ἤτοι κατὰ τὸ ἡνωμένον, ἢ κατὰ τὸ ἕν, ὥστε χρή τινα ἄλλην διαφορὰν ἐπινοεῖν ἐν ταῖς ἀρχαῖς ἐκείναις. Μετὰ ἄρα τὴν ἁπλῶς πάντα ἐντακτέον ἀρχὴν τὴν κατὰ πάντα ἕν, καὶ μὴ ἁπλῶς, ὥστε προσθετέον ἤδη τινὰ ἰδιότητα, καὶ δῆλον ὅτι τὴν πασῶν πρεσβυτάτην τε καὶ γενικωτάτην, εἶτα οὕτω τῇ τρίτῃ ἀρχῇ τρίτην ἄλλην ἰδιότητα κοινοτέραν καὶ φύσει δευτέραν. Αὕτη ἄρα πρὸς ἐκείνην ἕξει τινὰ ἀντίθεσιν, ὃ καὶ τοὺς παλαιοὺς οἶμαι συνιδόντας ὀνομάσαι αὐτάς, τοὺς μὲν πέρας καὶ ἄπειρο ν , τοὺς δὲ μονάδα καὶ ἀόριστον δυάδ α , τοὺς δὲ θεού ς , πατέρα καὶ δύναμι ν . Εἰ τοίνυν αὗται ὁποῖαί ποτέ εἰσι πρός τι ἰδιότροπον ἀποκλίνουσιν, ἡ πρὸς μηδὲν ἀποκλίνουσα, πάντα δὲ ἓν οὖσα, ἁπλῶς εἴη ἂν πρὸ τούτων μία κοινή, καὶ πρό γε ταύτης ἐστὶν ἡ ἀπόρρητος. Ἀλλὰ μὴν τὸ αὐτὸ καὶ ὧδε κατασκευάσειεν ἄν τις ἀπὸ τῶν κάτωθεν, οἷον ἀπὸ τεκμηρίου· δύο γὰρ ἐν τοῖς οὖσιν ὁρῶντες ἀντιδιῃρημένας συστοιχίας ἀλλήλαις, τὴν μὲν κρείττω φασί, τὴν δὲ χείρ ω , τὴν μὲν ἑνοειδ ῆ , τὴν δὲ πληθοειδ ῆ , ἀπὸ τούτων ἀναπεμπόμεθα καὶ εἰς δύο ἀρχάς, εἴς τε ἓν καὶ πλῆθος, τὰ ἀντιδιωρισμένα φημί, εἴτε ἄλλας ἃς βούλεταί τις ὑποτίθεσθαι· ἑκατέρας δ' οὖν εἶναι ἀρχὴν ἰδιότροπον, ἅτε ἰδιοτρόπου, ἀφ' ἧς ἑκατέρᾳ τὸ κοινὸν ἔνεστιν, οἷον τῇ μὲν ἑνοειδεῖ τὸ τοῦ ἑνὸς ἰδίωμα, τῇ δὲ πληθοειδεῖ τὸ τοῦ πλήθους ἴχνος. Εἰ γὰρ καὶ ἀπὸ μιᾶς αἱ δύο σειραὶ διασχίζονται, ἀλλὰ πρὸ τῶν σειρῶν αἱ ἀρχαὶ διίστανται· εἰ δὲ ἔχουσί τι καὶ αἱ δύο σειραὶ κοινὸν πρὸς ἀλλήλας (οὐ γὰρ δὴ πάντη εἰσὶ διεσπασμέναι), κατὰ τοῦτό γε προῆλθον ἀπὸ τῆς μονοειδοῦς ἀρχῆς καὶ μιᾶς· καὶ ταῦτα λέγω κυρίως, οὐ κατὰ ἔνδειξιν, καὶ ἀπὸ τῶν ἐν τῷ νῷ, μᾶλλον δὲ καὶ ἐν τῇ ψυχῇ διωρισμένων ἐναγόμενος. Ἐπεὶ οὖν ἐνταῦθα οὕτω, δεῖ καὶ ἐν τῷ νοητῷ προϋποθέσθαι νοητῶς τὰς τούτων αἰτίας, ὅπως οἷόν τέ ἐστι κατὰ ἔνδειξιν. Οὐκοῦν ἀπὸ μὲν τῆς ἀδιαιρέτου καὶ μονοειδοῦς ἐπὶ μίαν τὴν πρὸ πάντων ἥξομεν, ᾗ πάντα ἓν ἐπιθέμεθα ἀπορίᾳ τοῦ οἰκείου ὀνόματος· ἀντὶ δὲ τῶν διῃρημένων δυεῖν ἐπὶ τὰς ὅντινά ποτε τρόπον ἀντικειμένας, ἀνάλογον ταῖς ὡς ἀληθῶς ἀντιδιῃρημέναις, ἃς ὅπως ἄν τις ἐθέλοι καλεῖν, οὐ διοισόμεθα πρὸς αὐτὸν περί γε τῶν ὀνομάτων, εἰ ἔχοι τινὰ καὶ ὁπωσοῦν ἔνδειξιν ἢ ἀναλογίαν πρὸς ἐκείνας τὰς ὑπεριδρυμένας τῶν ὅλων ἀρχάς.

1.89 Ἆρα οὖν οὕτω θετέον δύο τὰς ἐπέκεινα τῶν νοητῶν τριάδων ἀρχάς, καὶ ὅλως εἰπεῖν, τῶν ὄντων ἁπάντων, ὡς ἠξίωσεν ὁ Ἰάμβλιχο ς , ὅσον ἐμέ γε εἰδέναι, μόνος ἀξιώσας τόγε τῶν πρὸ ἡμῶν ἁπάντων; ἢ τοῖς ἄλλοις ἅπασιν ἀκολουθητέον τοῖς μετ' αὐτόν; Τὸ μὲν οὖν ἀληθέστατον θεὸς ἂν εἰδείη περὶ τῶν τηλικούτων· εἰ δὲ χρὴ τά γε ἐμοὶ δοκοῦντα εἰπεῖν, οὔ μοι δοκεῖ ταῦτα ἐχυρὰ εἶναι πρὸς τὴν προκειμένην ἀπόδειξιν. Εἰ μὲν γὰρ ἀπὸ τῶν διωρισμένων ἀναγοίμεθα νοημάτων καὶ ὀνομάτων, προϋποτιθέμενοι καὶ ἐκεῖ τὰ τοιαῦτα, καλῶς μὲν ἂν τοῦτο προσηναγκάζομεν εἶναι τὸ ἓν πρὸ τοῦ πέρατος καὶ τῆς ἀπειρίας· ἓν γάρ τι ἑκάτερον, καὶ ἐν τοῖς γε διωρισμένοις οὕτως ἔχειν ἀναγκαῖον, ἐκεῖνο δὲ συμβήσεται ἄτοπον μόνον τὸ πέρας ἐκεῖ τίθεσθαι καὶ τὸ ἄπειρον. Διὰ τί γὰρ μὴ καὶ μονάδα καὶ δυάδα ἀόριστον κατὰ τοὺς εἰπόντας, ἢ

πατέρα καὶ δύναμιν; ἀλλὰ γὰρ ἕκαστα τούτων ἐννοοῦμεν, καὶ οὐδὲν ἀτιμώτερα ταῦτα ἀπειρίας καὶ πέρατος. Ἀντὶ δυεῖν ἄρα ἀρχῶν ἢ τριῶν, πολλὰς αὐτόθι ποιήσομεν, καὶ τοσαύτας ὅσα τὰ γενικώτατα τῶν διωρισμένων, καὶ εἰ μὴ πάντα, ἀλλὰ τά γε ὑπὸ τῶν ἄλλων ὑποτεθειμένα, καὶ τὸ χαλεπώτερον, ὅτι διωρισμένας. Τί οὖν ἔτι διοίσει τὸ ἀκρὸν τοῦ νοητοῦ τῶν ἐν τῷ νῷ διακεκριμένων γενῶν; ἢ οὐ τὸ πέρας, ἀλλὰ τὸ κοινὸν τοῦ μονογενοῦς ὅλου στίχου, οὐδὲ τὸ ἄπειρον, ἀλλὰ καὶ τοῦ ὁμοτρόπου τοῦδε γένους τὸ κοινὸν ἀνακτέον εἰς ἑκατέραν τῶν ἀρχῶν· ἢ καὶ οὕτω διορισμὸς ἔσται ἐκεῖ καὶ ἀντιδιαίρεσις, ὥστε οὐ πάντων ἑκατέρα, οὐδὲ πάντα πρὸ πάντων, ἀλλὰ τοῦ ἑτέρου τῶν στίχων ἑκατέραν πάντα μὲν καὶ πάντων, ἀλλὰ μᾶλλον τοῦδε ἢ τοῦδε, καὶ μᾶλλον ἡ μὲν κατὰ τὸ ἕν, ἡ δὲ κατὰ τὸ πλῆθος. Οὐκοῦν δεήσει καὶ τοῦ μᾶλλον καὶ ἧττον προτάττειν αἰτίαν, καὶ ὅλως ἀντιδιαιρέσεως τῆς ὁπωσοῦν ὁμοταγοῦς. Χωρὶς δὲ τούτων οὐ τὸ ἓν μόνον προτάξομεν πέρατός τε καὶ ἀπειρίας, ἀλλὰ καὶ τὸ πλῆθος, ἢ ὅ τί ποτε κλητέον τὸ πολλοποιὸν αἴτιον ἢ διακριτικόν· ὡς γὰρ ἑκάτερον ἕν, οὕτως ἄμφω δύο, ἢ οὐχ ἕν.

1.90 Τί οὖν αὐτοῖς αἴτιον τοῦ τοιούτου κοινοῦ; δεῖ γὰρ ἀμφοῖν καὶ τοῦτο προτάττειν, εἴπερ ὁμοταγεῖς, καὶ μὴ ἡ ἑτέρα ἀπὸ τῆς ἑτέρας πρόεισιν, ἡ δευτέρα ἀπὸ τῆς πρώτης μετὰ τῶν οὕτως ἐξ ἀνάγκης αὐτῇ συνυφισταμένων ἰδιωμάτων· πρώτη γὰρ ἑαυτὴν παράγουσα κατὰ φύσιν τὴν ἑαυτῆς ἰδιότροπον καὶ τὰ ἄλλα πρῶτα παράγειν ἄρχεται. Πρὸς δὲ τούτοις εἰ ταῦτα ἀπὸ τῶν διωρισμένων εἴληπται, καὶ τὸ ἓν ἔσται ἀληθῶς ἕν, οὗ καὶ τῇ ἐννοίᾳ ἐπισπώμενοι προετάττομεν ἑαυτὸ τοῖν δυεῖν, τῆς μονάδος καὶ δυάδος. Εἰ δὲ τοῦτο διωρισμένον, τί διοίσει τοῦ γένους; καὶ ἐκεῖνο γὰρ πάντα κατὰ τὸ ἑαυτοῦ ἴδιον, τὸ ἕν. Πῶς οὖν πάντα ἁπλῶς καὶ οὕτως ὡς ὑπὲρ πάντα; εἰ δὲ τούτοις κεχρήμεθα τοῖς νοήμασι, βουλόμενοι ἀπὸ μὲν τοῦ ἑνὸς ἑλεῖν τὸ πάντη ἁπλούστατον καὶ πάντων ἐπέκεινα, ἀπὸ δὲ τῶν πάντων ἐκφυγεῖν τὸ ἐλάχιστον καὶ ὡς ἕν τι διωρισμένον, ἀπ’ ἀμφοῖν δὲ ἐνδείξασθαι τὴν μίαν ὅλων καὶ πάντων ἐπέκεινα, ἀπὸ δὲ τῶν πάντων ἐκβεβηκυῖαν ἀρχήν, δῆλον ὅτι καὶ τὰς μετ’ αὐτὴν ἀρχὰς οὕτω πως ἡμῖν ἐκκυνηγητέον ἐκ τῶν διωρισμένων ἐννοιῶν ἐπὶ τὰς παντελεῖς, ὡς οἷόν τε μάλιστα ἀνατρέχουσιν, οὐ μέντοι τῷ διορισμῷ τῶν ἐννοιῶν ἐπαναπαυομένοις, οὐδὲ ἀρκουμένοις, οὐδὲ τοῦτον ἐκεῖσε φέρουσιν, οἷον ὡς εἴ τις ἐθέλων παραστῆσαι τὴν τοῦ νοῦ ἁπλῆν νόησιν, ἀντιπαρατιθεὶς αὐτὴν πρὸς τὴν τῆς ψυχῆς, ὑποδείγμασι χρῷτο, πρὸς μὲν τὴν νοερὰν τῇ τῆς ὄψεως ἐπιβολῇ, πρὸς δὲ τὴν λογικὴν τῇ τῆς ἀκοῆς ὑποδοχῇ, εἶτα δέον ἐφίεσθαι τῶν παραδειγμάτων ἐπὶ τὰς ἀληθεστέρας περὶ ἐκείνων ἐννοίας. Ὁ δὲ ἀπαιτοῖ τὸν ὑποδεικνύντα, καθάπερ ὄψεως καὶ ἀκοῆς ἐστι κοινή τις αἴσθησις προηγουμένη, οὕτω καὶ τῆς νοερᾶς καὶ ψυχικῆς εἶναί τινα κοινότητα γνώσεως οὐσιώδους, οὐ συννοῶν ὅτι ἡ ψυχικὴ ἀπὸ τῆς νοερᾶς πρόεισιν, ὡς εἰκὼν ἀπὸ τοῦ παραδείγματος. Οὕτω γὰρ καὶ οἱ τοῖς διωρισμένοις νοήμασί τε καὶ πράγμασιν ἀποχρώμενοι πρὸς ἔνδειξιν τῶν παντελῶν καὶ ἀδιορίστων ἀρχῶν οὐκ ἂν ἀπαιτοῖντο δικαίως τὰ τούτοις συνόντα ἀνάγειν ἐπ’ ἐκείνας, οἷον ὅτι πολλὰ ταῦτα καὶ ἐκείνας εἶναι πολλάς, ἀλλ’ οὐ μόνον δύο ἢ τρεῖς, καὶ ὅτι ταῦτα ἀντιτέτακται ἀλλήλοις καὶ ἐκείνας ὑποτίθεσθαι ἀντικειμένας, καὶ ὅτι πρὸ τοῦ πέρατος καὶ τῆς ἀπειρίας τὸ ἓν ἐν τούτοις.

1.91 Διὰ τοῦτο καὶ πρὸ τῶν δυεῖν ἀρχῶν τὴν μίαν θέσιν τοῦ ἑνός, ἐπεὶ καὶ τὸ ἄλλους ἄλλοις κεχρῆσθαι ὀνόμασι πρὸς ἔνδειξιν τῶν δύο ἀρχῶν, καλῶς μὲν λέγοντας ἑκάστους, ἄλλον δὲ κατ’ ἄλλην ἐπιβολὴν ἱστάμενον, αὐτὸ τοῦτο τεκμηριούτω ἡμῖν μὴ ταῦτα ἐκεῖ ἀποτίθεσθαι, ἀλλ’ ἀπὸ τούτων κατ’ ἀναλογίαν ἐπ’ ἐκείνας ἀνάγεσθαι. Ὡς οὖν μονὰς καὶ πέρας καὶ πατὴρ καὶ ὕπαρξις καὶ αἰθή ρ , εἰ βούλει, ἐν τούτοις μὲν τοῖς διωρισμένοις ἄλλο καὶ ἄλλο καθάπερ καὶ τὰ ὀνόματα ἔχει, ἐκεῖ δὲ μιᾶς φύσεως πάντα ἐστὶ παραδείγματα ἢ σύμβολα, οὕτω καὶ τὸ ἕν, εἰ καὶ ἀλλὸ παρ’ ἕκαστον τούτων, ἀλλ’ ἐκεῖ τῆς αὐτῆς ἔνδειγμα καὶ τοῦτο φύσεως. Ὁμοίως δὲ καὶ τὰ πολλὰ τῆς ἑτέρας καὶ μετὰ τὴν εἰρημένην τεταγμένης, ἔστω κατά τινα ἀναλογίαν ὑπόδειγμα· ἧς καὶ τὸ ἄπειρον καὶ ἡ ἀόριστος δυὰς καὶ ἡ δύναμις καὶ τὸ χάος, καὶ ὅ τι ἄν τις ἄλλο πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γνωριμωτέραν παράστασιν ἐπινοήσειεν. Οὐ δεῖ οὖν, φαίη τις ἄν, πρὸ τῶν δυεῖν ἀρχῶν εἶναι τὴν μίαν, ἅτε ἀντικειμένων, τὴν πρὸ τῆς ἀντιθέσεως; ἢ πρῶτον μὲν οὐκ ἀντίκεινται ὡς ὁμοταγεῖς, οἷον πέρας καὶ ἄπειρον· ἡ γὰρ τοιαύτη ἀντίθεσις τῶν ἀντιδιῃρημένων ἐστίν· ἀλλ' εἴπερ ἄρα ὡς αἴτιον καὶ αἰτιατόν, ὡς ὁ νοητὸς κόσμος τοῦ νοεροῦ, ὁ πᾶς τοῦ παντός. Ἔπειτα εἰ καὶ συγχωρήσομεν καὶ ἡμεῖς εἶναι τὴν μίαν, ἣν ἀναζητοῦντες ἐν τοῖς πρόσθεν ἀπόρρητον εὑρήκαμεν οὖσαν, ἀλλὰ τὴν μίαν ταύτην ὁ Πυθαγόρας ἓν ἀνευφήμησεν, οἵαν καὶ ἡμεῖς τὴν δευτέραν οὖσαν ἐθέμεθα, ἓν πάντα εἰπόντες, μετὰ δὲ ταύτην εἶναι μονάδα καὶ δυάδα ἀόριστον. Ἀλλὰ φήσω καὶ τὴν ἐπέκεινα πάντων ἀρχὴν ἐνδείκνυσθαι βουλομένους, ἄλλοτε ἄλλο γνώρισμα αὐτῆς ὑποτίθεσθαι, μᾶλλον δὲ σύνθημα κατὰ τὸ ἀληθέστατον, τοὺς μὲν τὸ ἓν ἁπλῶς, τοὺς δὲ θεὸν ἁπλῶς, τοὺς δὲ χρόνον ἢ καιρὸν ἢ τἀγαθό ν . Ἡμεῖς δὲ ἄρρητον ἀρχὴν ὑπεθέμεθα, ὡς οὖσαν, μᾶλλον δὲ καὶ Αἰγύπτιοι ἄρρητον ἀνυμνήκασι· σκότος γὰρ ἄγνωστον αὐτὴν ὠνομάκασι, τρὶς καὶ τοῦτο ἐπιφημίζοντες.

1.92 Οὕτω τοίνυν καὶ Πυθαγόρας ἠθέλησέ τι ὄνομα αὐτῇ ἐπιθεῖναι πρὸς τὴν φιλόσοφον διδασκαλίαν ἀφορῶν, διότι μετ' αὐτὴν ἀφωρίσατο τὴν μονάδα, σύμβολον καὶ τοῦτο λέγων αὐτῆς, ἀλλ' οὐ δήλωμά τι οἰκεῖον, ἐπεὶ καὶ ἡ μονὰς τῷ ὄντι ὅπου ὁ ἀριθμός, ὁ δὲ ἀριθμὸς ἐν διωρισμένοις, ἀλλ' οὐκ ἐν τῷ ἀδιορίστῳ πληρώματι τῶν ὄντων. Ὁ δέ γε Πλάτων ἀμφισβητήσιμος ὅπῃ χρῆται τοῖς ὀνόμασιν· ἐν μὲν γὰρ τῷ Σοφιστῇ τὸ ἓν προτίθησι τῶν πάντων, ἐν δὲ τῇ Πολιτείᾳ ἄγνωστον εἶναί φησιν, ἐν δὲ τῷ Παρμενίδῃ κατὰ τὴν πρώτην ὑπόθεσιν δοκεῖ μὲν τὸ ἓν ὑπολιπεῖν ἄνευ τοῦ εἶναι. Τὸ γὰρ ἓν εἶναι, ὡς ἔοικεν, ἀναιρεῖ· οὐ μέντοι· ἀλλ' ἴσως διὰ τῆς παντελοῦς ἀποφάσεως καὶ τῆς γνωστικῆς ἁπάσης ἀναιρέσεως τὸ ἀπόρρητον ἐνδείκνυται. Ἀλλὰ τοῦτο μὲν ἐν ἄλλοις εὐκαιρότερον ἐξετάζειν. Ἐν μέντοι τῇ δευτέρᾳ ὑποθέσει σαφῶς τίθεται τοῦτο τὸ ἕν, ὃ δὴ νῦν καὶ ἡμεῖς ἓν πάντα ἐθέμεθα καταφατικῶς, ὥς γε οἷόν τε ἦν, ὅπερ καὶ τὸ πάντων ἐστὶν ἁπλούστατον. Ἐκεῖνο δὲ τὸ ἕν, ὃ πρὸ μονάδος ὁ Πυθαγόρας ἐτίθετο, καὶ ὁ Πλάτων ἐν τῇ πρώτῃ ὑποθέσει, τῆς ἀρρήτου ἀρχῆς ἐστι σύμβολον, ὡς ἄλλος αὐτὴν ἄλλως πως ἐπωνόμασεν. Εἰ τοίνυν λέγοι τις τὸ μὲν πάντα ἓν ἐπίσης εἶναι πάντα ἕν, ἡ δὲ πρεσβυτέρα τῶν δυοῖν ἀρχῶν ὑπαρκτικὴ μᾶλλον ἢ παρακτικὴ ἢ περατοειδής, ὥσπερ ἡ δευτέρα τὰ ἐναντία μᾶλλον, ἑκατέρα δὲ ὅμως πάντα ἕν, ἴστω μὲν ὁ ταῦτα λέγων ἔτι κατεχόμενος ἐν τοῖς διωρισμένοις, τὰ μᾶλλον καὶ ἧττον ἐν ἐκείνοις ὑποτιθέμενος καὶ ἰδιότησιν αὐταῖς διαφερούσαις ἀφοριζόμενος, οἷον τῷ μονίμῳ καὶ προοδικῷ ἢ τῷ ὑπαρκτικῷ καὶ δυναμικῷ, κατὰ ἔνδειξιν μὲν λεγόμενα, συγγνώμην ἂν ἔχοι δικαίαν, ἁπλῶς δὲ οὕτω δεινὴν ἀπεργάσεται σύγχυσιν. Δειχθήσεται γὰρ καὶ ἡ βάσις τῶν νοητῶν πάντα ἐπίσης οὖσα, καίτοι τὸν διορισμὸν ἤδη πως ἐν ἑαυτῇ προβαλλομένη.

1.93 Ἴστω δὲ καὶ ἡμᾶς τὸ ἀπόρρητον ἐπίσης πάντα πρὸ πάντων ὑποτιθεμένους κατὰ τὸ πάντῃ ἄρρητον. Ἔτι μέντοι ἐκ τρίτων τὸ ἓν πάντα λεγόμενον κατά γε αὐτὸ τὸ ἕν. Κοινὰ γὰρ τὰ πάντα ἐν ἑκάστῃ προστίθεται πρὸς δήλωσιν τοῦ παντελοῦς. Καὶ τοῦτο οὖν τῆς μιᾶς ἄρξει συστοιχίας τῆς ἑνοειδοῦς, καθάπερ τὸ πλῆθος τῆς ἀντικειμένης· ἀρχὴ γὰρ καὶ τὸ πλῆθος, οὐ τὸ εἶδος· οὐδὲ μία τις αὕτη ἰδιότης, ἀλλ' ἢ πάντα κατὰ τὸ πλῆθος οὖσα ἀρχή, ὥστε καὶ τὸ ἓν πάντα μᾶλλον ἐπικλίνει πρὸς τὴν φύσιν τῶν ὄντων τὴν μόνιμον καὶ ἑνοειδῆ. Ἀλλὰ μὴν καὶ ὁ τῆς διαφορᾶς τοῦ ἑνὸς πρὸς τὴν μονάδα συλλογιζόμενος ἀναμιμνησκέσθω τῶν εἰρημένων, ὅτι οὔτε μονάς, οὔτε ἓν ἐν ἐκείνοις κατὰ ἀλήθειαν, ὥστε οὐδὲ ἡ τούτων διαφορὰ πρὸς ἄλληλα θετέα ἡμῖν ἐν ἐκείνοις, ἀλλ' ἔστιν καὶ ἑκάτερον ἀνάγειν πρὸς τὴν αὐτὴν ὑπόθεσίν τε καὶ ἔνδειξιν. Ὁ δὲ τὴν μὲν πρόοδον ἀπονέμων τῇ δευτέρᾳ ἀρχῇ, τὴν δὲ μονὴν πρὸ αὐτῆς καὶ πρὸ τούτων τιθεὶς εἶναι τὴν ἀδιόριστον, ἔτι μὲν καὶ οὗτος ἐν τῷ διορισμῷ κατέχεται τῶν ἐννοιῶν, μονὴν καὶ πρόοδον ἐν ἐκείνοις ἀντιδιαιρῶν, ἀλλ' οὐχὶ καὶ ταῦτα ἀναπλῶν τὸν παντελῆ τῆς ἐνδείξεως τρόπον. Ὅμως δὲ καὶ οὗτος ἡμῖν συμφωνήσει προοδικὴν μὲν λέγουσι τὴν δευτέραν ἀρχήν, μόνιμον δὲ

καὶ μένουσαν τὴν προτέραν, ἣν εἶναί φαμεν τὸ ἓν πάντα, μὴ προϊὸν ἀπὸ τοῦ ἀρρήτου διὰ προόδου, ἀλλὰ διὰ μονῆς. Ἐκεῖνο γὰρ ἦν ἄρρητον, τὸ δὲ γενόμενον ἓν οὐκέτι ἄρρητον ἡμῖν ἕν· οὐ μέντοι οὐδὲ προῆλθε· δυαδικὴ γὰρ πᾶσα πρόοδος, τὸ δὲ ἓν ὑπὲρ πᾶσαν πρόοδον· ἄσχιστον γὰρ ἀεὶ τόγε ἓν καὶ ἀπολλαπλασίῳ τόκῳ. Λυτικὸν γοῦν ἐστι τοῦ πλήθους, οἷς ἂν ἐπιγίνηται, ὥστε πάντη ἀπρόοδον τὸ ἕν, ὅ γε παντελῶς ἕν ἐστιν. Εἰ γοῦν ᾗ ἓν ὑπέβη παρὰ τὸ ἀπόρρητον, οὐκ ἔστιν αὐτοῦ πρόοδος ἡ ἀπόβασις, μᾶλλον δὲ οὐδὲ ἀπόβασις εἴη ἄν· ἑνωτικὸν γὰρ καὶ τῶν ἄλλων ἁπάντων τὸ ἓν πρός τε ἄλληλα καὶ πρὸς τὰ οἰκεῖα αἴτια, καὶ ὅσον γε ἐπὶ τῷ ἑνί, τὰ πάντα ἓν ἂν ἦν, ὥστε οὐδὲ διεῖλεν ἑαυτὸ ἀπὸ τοῦ ἀρρήτου. Διὸ καὶ ἓν ὑποτιθέμενον ὅμως ἀρρήτως δείκνυται ὄν, τοιοῦτον δὲ ὄν, προϊὸν μὲν οὐδαμῶς ἐστί, ταχὰ δὲ οὐδὲ μένον· ἄλλο γὰρ τὸ μένον παρὰ τὸ ἕν· εἰ δὲ κατὰ ἔνδειξιν μένον, μᾶλλον ἔστω. Ἀλλὰ τὸ μένον, φησίν, ἢ ἐν ἑαυτῷ μένει, καὶ ἕξει διπλόην τινὰ τὸ ἕν, ἢ ἐν τῷ πρὸ αὐτοῦ, καὶ ἔσται τι ῥητὸν ἐν τῷ ἀπορρήτῳ, τὸ γὰρ μένον ῥητόν πως, ἢ ἐν τῷ μεθ’ ἑαυτό, ὅπερ ἀτοπώτερον, τοῦτο γὰρ οὐδὲ πάσαις πρόσεστι ταῖς ψυχαῖς· ἀλλὰ φήσομέν γε ἡμεῖς ἐκεῖνο μὴ εἶναι τὸ μένον, ἀλλὰ τὴν μονὴν αὐτὴν κατὰ ἀναλογίαν· αἴτιον γάρ ἐστι τοῦ μένειν τοῖς ἄλλοις.

1.94 Εἴπερ ἄρα καὶ τοῦτο λέγοι τις, αὐτὸ δὲ οὐ μένει, ἐῶ λέγειν ὅτι πρὸ τοῦ ἐν ἄλλῳ καὶ ἐν ἑαυτῷ μένοντος ἐκεῖνό ἐστιν, οὔτε μονὴν παρεχόμενον μόνην, οὔτε κατὰ ταύτην ἱστάμενον· ὥσπερ δὲ ἓν καὶ πέρας καὶ ὕπαρξις λέγεται καὶ αἰθή ρ , οὕτω καὶ μένον ῥηθείη ἂν κατὰ ἀναλογίαν. Εἰ δέ τις κατὰ πρόοδον ἀπαιτοῖ τὰς ἀντιθέτους δύο ἀρχὰς ἀπὸ τῆς μονοειδοῦς προϊέναι ἐπικλινῶς ἐπὶ ἑκάτερα, ἢ τὰς κάτω διασχίσεις τῶν ὄντων ἀπὸ μιᾶς ἔτι συμφυοῦς μονάδος ἐπ’ ἐκείνας ἀναπέμπειν, εἰ μὲν ὡς δύο μετὰ τὴν μίαν καὶ ἀπὸ τῆς μιᾶς, ἀντιδιαιρῶν οὕτω λέγει, οὐκ ἀποδεχόμεθα τὴν ἀντίθεσιν. Εἰ δὲ τὴν μὲν ὑπὲρ πάντα τιθεὶς ὡς μίαν, ἑτέραν δὲ μετὰ ταύτην πάντα καὶ αὐτὴν περιέχουσαν, οὐχ οὕτω δὲ πάντα ἀπόρρητον, ὑπὸ δὲ ταύτην ἄλλην ἤδη πως ἑαυτὴν προσάγουσαν τοῖς μεθ’ ἑαυτήν, οὕτως ὁμολογοῦμεν τήν τε μίαν ἀπόρρητον καὶ τὴν ἑνοειδῆ μετ’ ἐκείνην, καὶ τὴν πληθοειδῆ τρίτην ἐπ’ ἐκείναις, οὐχ οὕτω μέντοι ταύτην ἐκείνῃ ἀντικειμένην ὡς τῷ ἑνὶ τὸ πλῆθος ἐν τοῖς διωρισμένοις, ἀλλὰ μᾶλλον ὡς δυὰς πρὸς μονάδα, καὶ δύναμις πρὸς ὕπαρξιν, μᾶλλον δὲ κατὰ ἀλήθειαν οὐδὲ οὕτως. Ἡ μὲν γὰρ δύναμις αὐτῆς τί ἐστι τῆς οὐσίας, ἡ δὲ δυὰς πολὺ ἀπέσπασται τῆς μονάδος· ἀλλ’ ὡς δεύτερος ὅλος κόσμος πρὸς πρότερον ὅλον, ὁ διακεκριμένος πρὸς τὸν ἡνωμένον, πλὴν ὅτι ἓν πάντα ἑκάτερον, ἀλλὰ τὸ μὲν οἷον ἕν, τὸ δὲ οἷον πλῆθος. Ταῦτα μὲν οὖν καὶ ὕστερον αὐτίκα δὴ μάλα διαρθρώσομεν ὡς οἷόν τέ ἐστιν, νῦν δὲ ἁπλῶς πρὸς τὰ τελευταῖα τῶν ὑπὸ Ἰαμβλίχου ἐπιχειρηθέντων, ἐκεῖνο λέγομεν ὅτι καὶ ἡμεῖς ἀπὸ μιᾶς ἀρχῆς τῶν πάντων ἀρχόμεθα καὶ μετὰ τὴν μίαν τὰς δύο τάττομεν κατὰ ἀναλογίαν, τῆς διττῆς συστοιχίας ἀπὸ μιᾶς συμφύσεως σχιζομένης, ἀλλ’ οὐκ ἀντιδιαιρουμένας, ἀλλὰ τὴν μὲν οὔπω θέλουσαν ἐκ τοῦ ἀπορρήτου προελθεῖν, ἀλλὰ καταπινομένην ὑπ’ αὐτοῦ μᾶλλον, τὴν δὲ ἤδη προϊοῦσαν, καὶ αὐτῇ μόνῃ τῇ χαλάσει εἰδοποιηθεῖσαν, ὅτι συνουσίωται αὐτῇ τὸ προϊέναι.

1.95 Διὸ καὶ αἰτία πᾶσι γέγονε τοῦ ὁπωσοῦν διακρίνεσθαι, ὥσπερ ἡ ἑτέρα ἀρχὴ τοῦ συμπεφυκέναι τοῖς οἰκείοις αἰτίοις· ὥστε πάντων ἑκατέρα, ἀλλ’ ἡ μὲν τοῦ πάντα συμφύεσθαι πρὸς ἄλληλα, κατά τε πλάτος καὶ βάθος (διὸ καλεῖται ἓν κατὰ ἔνδειξιν), ἡ δὲ τοῦ πανταχῶς διακρίνεσθαι καὶ ὁπωσοῦν. Μηδεὶς οὖν λεγέτω τὴν μὲν ἄρχειν τοῦ ἑτέρου στίχου, τὴν δὲ τοῦ ἑτέρου, ἀλλ’ ἑκατέραν ἀμφοῖν καὶ τοῦ πρὸ ἀμφοῖν ἡνωμένου πως ἐξ ἀμφοῖν, τὴν μὲν ὡς πατρικήν, τὴν δὲ ὡς ἀτεχνῶς μητρικήν. Εἰ δὲ δεῖ τῶν συνηγορούντων λόγων ἀφέμενον, αὐτὸ καθ’ αὑτὸ τὸ ἡμέτερον ἀποδεῖξαι, καθὸ καὶ τοὺς ἄλλους φιλοσόφους ἑστάναι, ὅτι μία μόνη ἡ πρὸ πάντων ἀρχὴ καὶ μετὰ τὴν μίαν αἱ δύο, πέρας καὶ ἄπειρον, ἢ ὅπως ἄν τις αὐτὰς ἐνδείκνυσθαι βούλοιτο καὶ διασημαίνειν, ἐντεῦθέν ποθεν ἀρκτέον τοῦ λόγου. Ἄλλο μὲν τὸ ἡνωμένον, ἄλλο δὲ τὸ ἕν, ὡς δείκνυσι Πλάτων καὶ ἡ κοινὴ ἔννοια προσαπαιτεῖ· τὸ γὰρ ἡνωμένον τοιοῦτόν ἐστιν οἷον

πεπονθὸς τὸ ἕν. Αὐτὸ δὲ ὃ μόνον ἓν ὑπάρχει ὑπὲρ τὸ ἡνωμένον· οὐ μέντοι ἀπέσπασται τὸ ἕτερον τοῦ ἑτέρου παντελῶς, ἀλλὰ τοῦ ἑνὸς μετέχει τὸ ἡνωμένον. Ἔχει τινὰ ἄρα μεταξὺ τῶν δύο σχέσιν θεωρουμένην, οἷον σύνδεσιν τῶν ἄκρων ταῦτα ἐφεξῆς, τὸ ἡνωμένον, ἡ σχέσις, τὸ ἕν, καὶ ὑπὲρ τὸ ἓν ἔσται μία ἀρχή, τὸ ἄρρητον· αἱ δὲ λεγόμεναι δύο ἕν τε καὶ ἡ σχέσις, ἥ ἐστιν ἡ δύναμις· πρώτη γὰρ ἡ δύναμις σχέσεων ἁπασῶν· τρίτον δὲ ὁ νοῦς καὶ ὅπερ ὂν ἀνυμνοῦμεν. Ἀλλ' αὕτη μὲν ἡ ἀπόδειξις Συριανῷ τε καὶ Πρόκλῳ γέγραπται εἰς τὸν Παρμενίδη ν .

1.96 τὸ γὰρ "ἕν ἐστιν" ἐν ἀρχῇ τιθέμενον τῆς δευτέρας ὑποθέσεως τὴν τριάδα σημαίνειν. Λάβοις δ' αὐτὴν καὶ ἀπὸ τῆς φύσεως τοῦ ἡνωμένου αὐτοφυέστερον· τὸ γὰρ ἡνωμένον οὐκ ἔστι μόνον ἕν (ταὐτὸν γὰρ ἂν ἦν τῷ ἐξ ἀρχῆς ἑνί), ἀλλὰ καὶ οὐχ ἕν. Οὐδὲ ἄρα μόνον οὐχ ἕν· οὐ γὰρ ἂν ἦν ἡνωμένον, ὃ σημαίνει πεπονθέναι τὸ ἕν. Ὥσπερ οὖν, διότι καὶ οὐχ ἕν, ἔχει πρὸ αὐτοῦ ὃ καθαρῶς ἕν ἐστιν, οὕτω καί, διότι ἕν, ἀλλ' οὐχὶ καθαρῶς οὐχ ἕν, πεπονθὸς δὲ τὸ ἕν, διὰ τοῦτο γὰρ ἡνωμένον εἶναι πέφυκεν, διότι κατὰ τὸ συναμφότερον ἕστηκεν αὐτοῦ ἡ ἰδιότης, εἰ χρὴ οὕτως εἰπεῖν. Οὕτως οὖν διὰ τοῦτο πρὸ αὐτοῦ ἔσται τὸ καθαρῶς οὐχ ἓν τῇ ἑαυτοῦ ἰδιοτρόπῳ ὑποστάσει τοιοῦτον λεγόμενον, οὐ δήπου ὡς τὸ μηδέν (τοῦτο γὰρ ἀνυπόστατον), ἀλλ' ὥς τις φύσις ἐκφήνασα τὸ οὐχ ἓν ἐν τοῖς οὖσι, δι' ἣν καὶ τὸ πρῶτον ὂν οὐχ ἕν ἐστιν, ὥσπερ ἓν διὰ τὸ ἕν, καὶ ἡνωμένον δι' ἑαυτό. Τὸ δὲ οὐχ ἓν τοῦτο φήσουσιν οἱ μὲν ἄπειρο ν , οἱ δὲ χάο ς , οἱ δὲ ἀόριστον δυάδ α , οἱ δὲ καὶ πλῆθος ἂν εἴποιεν· διὰ τοῦτο καὶ τὸ ὂν λέγεται μικτὸν ὅτι ἡνωμένον ἐξ ἑνός τε καὶ οὐχ ἑνός· ἀλλὰ περὶ μὲν τούτου καὶ αὖθις. Νῦν δὲ πάλιν λέγωμεν ὅτι τὸ ὂν ἢ ἕν ἐστιν ἢ πολλά, ἢ τὸ συναμφότερον· ἓν μὲν οὖν οὐκ ἔστιν· οὐ γὰρ ἡ αὐτὴ ἔννοια ὄντος καὶ ἑνός· οὐδὲ μὴν πολλὰ διὰ τὴν αὐτὴν ἔννοιαν· ὅθεν καὶ τὸ ὂν καὶ τὰ ὄντα φαμὲν ὡς ἓν καὶ πολλά· εἰ δὲ τὸ συναμφότερον, οὐ δήπου καθ' ὕπαρξιν· οὔτε γὰρ ταὐτὸν ἓν καὶ πολλά, οὔτε ἓν καθ' ὕπαρξιν, ὅ γε μετὰ πολλῶν ἐστίν, οὔτε πολλά, ὅ γε συνουσίωται τῷ ἑνί, ὥς τι στοιχεῖον τοῦ ἐξ ἀμφοῖν κατὰ μέθεξιν. Ὡς οὖν προϋπάρχει τὸ ἕν, οὕτω καὶ τὰ πολλά. Καὶ εἰ τὸ ἓν τοῦ πέρατος ἕτερον, καὶ τὰ πολλὰ τοῦ ἀπείρου ἕτερον, καὶ συμβήσεται πλείους εἶναι τὰς ἀρχὰς ἢ βουλόμεθα. Εἰ δὲ τὸ ἄπειρον καὶ τὸ πλῆθος εἰς ταὐτὸν ἔρχεται, καὶ τὸ πέρας καὶ τὸ ἓν εἰς ταὐτὸν ἐλεύσεται κατὰ τὴν ἀπὸ τῶν διωρισμένων ἔνδειξιν τῶν ἀδιορίστων. Ἔτι τοίνυν ὡς τὸ πέρας ἀντικεῖσθαι δοκεῖ τῷ ἀπείρῳ, οὕτω γε τῷ πλήθει τὸ ἕν.

1.97 Εἰ δὲ τὸ ἓν πρὸ τοῦ πέρατος, καὶ τὸ πλῆθος πρὸ τοῦ ἀπείρου· καὶ εἰ πρὸ μονάδος τὸ ἕν, καὶ τὸ πλῆθος πρὸ τῆς ἀορίστου δυάδος· καὶ εἰ πρὸ τοῦ πατρὸς τοῦ νοητοῦ, καὶ πρὸ τῆς δυνάμεως. Ἡ πρώτη ἄρα τῶν ἀρχῶν συζυγία τὸ ἓν καὶ τὰ πολλά ἐστιν, αἱ δὲ ἄλλαι πᾶσαι ἢ τοιαύτην ἐνδείκνυνται μίαν οὐσίαν ἅπασαι, ἢ μετὰ ταύτην τετάχαται, καὶ πολλαὶ αἱ πρὸ τοῦ ὄντος, δύο ἀρχαί, ἅπερ οὐδὲ αὐτοὶ βούλονται οἱ ταῦτα λέγοντες. Πρὸς δὲ τούτοις τὸ μὲν ἕν, ὅ ἐστιν ἕν, οὐδαμῶς προϊέναι πέφυκεν· οὔτε γὰρ τὸ διακρίνεσθαι οὔτε τὸ διακρίνειν τῆς φύσεώς ἐστι τοῦ ἑνός, εἴπερ τῇ ἑνώσει ἐναντίον διάκρισις. Εἰ δὴ τοῦ ἑνὸς ἡ ἕνωσις, τοῦ πλήθους ἂν εἴη πάντως ἡ διάκρισις· δύο ἄρα αὗται ἀρχαί, καὶ ταύτῃ προηγήσονται τῶν πάντων, ἀντιτετάχθαι δοκοῦσαι· καὶ οὐκ ἔστιν ἡ τοῦ ἑνὸς ἀρχὴ πρὸ πάσης ἀντιθέσεως ἔν γε ταῖς διωρισμέναις ἐννοίαις· οὐδὲ ἄρα κατὰ ἔνδειξιν ἐν ταῖς ἀδιορίστοις. Ἔτι πᾶν ὃ πρῶτον ποιεῖ καὶ πάσχει, τοῦτο τοῖς ἄλλοις αἴτιον γίγνεται τοῦ τοιούτου, τὸ πρῶτον καλὸν τοῦ καλὸν εἶναι ἕκαστον αἴτιον, καὶ τὸ καλλυνόμενον πρῶτον τοῦ καλλύνεσθαι τὰ ἄλλα, καὶ ἐπὶ πάντων ὁ αὐτὸς λόγος. Εἰ τοίνυν διακρίνει τι ἢ διακρίνεται πρῶτον, τοῦτο ἂν ἑκατέρου τοῖς ἄλλοις αἴτιον γένοιτο, καὶ τὸ πρῶτον πλῆθος καὶ πληθυόμενον πρῶτον, τοῦ πολλὰ εἶναι καὶ πληθύεσθαι· καὶ ἐπὶ τοῦ ἑνὸς ἕτερα τοιαῦτα. Εἰ μὲν οὖν ἑαυτὸ ἕκαστον τοῦτο ποιεῖ, ὅ ἐστιν, ἀρχόμενον ἀφ' ἑαυτοῦ τῆς οἰκείας ἐνεργείας, ἵνα καὶ πάσχῃ ὑφ' ἑαυτοῦ, ἓν ἂν εἴη τὸ ζητούμενον εἶδος ἑκασταχοῦ, τὸ πρῶτον ποιοῦν τε καὶ πάσχον. Εἰ δὲ ἄλλο μὲν τὸ ποιοῦν, ἄλλο δὲ τὸ πάσχον ὑπὸ τοῦ ποιοῦντος, δύο ἂν εἴη τὰ πρῶτα διῃρημένα τῷ ποιεῖν καὶ πάσχειν, οἷον τὸ πρῶτον καλὸν ποιεῖ, καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρῶτον καλλυνόμενον πάσχει. Ὁ δὲ λόγος ὃν νῦν δὴ ἐλέγομεν ἀληθὴς καθ' ἑκάτερον· εἰ ἄρα τὸ ἓν μόνον τῇ αὐτοῦ φύσει ἐστὶν ἀπρόοδον, τὰ πολλὰ ἂν ἄρχοι τῆς προόδου, ὡς πρῶτον προϊόντα· ὥσπερ καὶ ἡ δυὰς ἄρχει πάσης προόδου τοῖς Πυθαγορείοι ς , καὶ ἡ δύναμις κατὰ τὴν χαλδαϊκὴν ὑπόθεσιν· πρώτη γὰρ ἀφίσταται καὶ ὁπωσοῦν τῆς οἰκείας ὑπάρξεως· καὶ τί γὰρ ἂν εἴη τὸ τῆς διακρίσεως τῆς οἱασδήποτε αἴτιον; ἢ τὸ πλῆθος· τί γὰρ ἐστὶ διακρίνεσθαι; ἢ τὸ πολλὰ γίγνεσθαι ἀνθ' ἑνός. Ἐκ δὴ τῶν οὕτω διωμολογημένων ἓν μὲν δὴ τοῦτο συλλογιστέον ὅτι τὸ μὲν ἓν οὐ πρόεισιν· εἰ γὰρ προΐοι, αὐτὸ ἂν εἴη τὸ ἄρχον προόδου συμπάσης, ὥστε καὶ πρὸ τοῦ ἑνὸς δεησόμεθα τῆς μὴ προϊούσης ἀρχῆς, ἀλλὰ μενούσης, καὶ τοῦτο ἐπ' ἄπειρον· ἢ πλῆθος ὅ τι βούλοιτό τις ὀνομάζειν τὸ πάσης αἴτιον προόδου.

1.98 Ἕτερον δὲ ὅτι πλῆθος ἐκφαῖνον δι' ἑαυτοῦ τὴν διάκρισιν αὐτὸ ἂν εἴη τὸ ἀρχόμενον τῆς διακρίσεως, εἴτε ἑαυτὸ πληθύον καὶ διακρῖνον, εἴτε αὐτὸ μὲν πλῆθος ὂν μόνον καὶ διακριτικόν, τὰ δὲ ἄλλα πληθύον καὶ διακρῖνον. Ὁποτέρως γὰρ ἂν λέγοι τις, αὐτὸ ἂν εἴη τὸ ἄρχον τῆς προόδου· αὐτὸ ἄρα βούλονται εἶναι πάντες οἱ τὰς δύο ἀρχὰς τιθέμενοι τὴν δευτέραν ἀρχήν, ὥστε τὴν προτέραν θήσονται τὸ ἕν· ἀντίκειται γὰρ τῷ πλήθει τὸ ἕν. Καὶ αὕτη ἐστὶν ἡ συζυγία θρυλουμένη τῶν δύο μετὰ τὴν μίαν ὑποκειμένων ἀρχῶν νοητῶν Ὥστε καὶ εἴ τις ὑποτίθοιτο μίαν μὲν εἶναι τὴν πρὸ τῆς νοητῆς τριάδος ἀρχήν, ταύτην δὲ τὴν μίαν αὐτὸ εἶναι τὸ πάντα ἕν· τοῦτο γὰρ εἶναι καὶ τὸ ἀπόρρητον, οὕτω δὲ καὶ Πλάτωνα λέγειν ἐν Φιλήβ ῳ , τὰς μὲν δύο ἀρχὰς πέρας τιθέντα καὶ ἄπειρον τὸ δὲ ἓν πρὸ τούτων, ὃ καὶ ἐπιγίγνεσθαι τῷ μικτῷ τὸν ἄρρητον τρόπον, οὕτω γὰρ καὶ ἄρρητον εἶναι, ὥστε διὰ τῶν ἐν προθύροις αὐτοῦ ἱδρυμένων γνωρίζεσθαι μονάδων τριῶν· ἀλλὰ καὶ Πυθαγόραν οὕτως ἀξιοῦν τὸ ἓν προτιθέντα μονάδος τε καὶ δυάδος τῆς ἀορίστου λεγομένης· οὕτω δὲ οἴεσθαι καὶ πάντας τοὺς φιλοσόφους οἳ πρὸ τῶν δυεῖν ἔθεντο μίαν ἀρχήν· ἀλλὰ καὶ ταῖς δόξαις τῶν μακαρίων ἀνδρῶν εἴ τις ἐπαγωνιζόμενος λέγοι ὡς αἱ δύο πρὸς ἀλλήλας ἀντιτετάχαται, πρὸ δὲ πάσης ἀντιθέσεως δεῖ τὸ ἓν ὑπάρχειν, ἔτι δὲ ἐπιμαρτύροιτο τὴν κοινὴν ἔννοιαν καὶ τὴν ὑπὸ Ἀριστοτέλους ἐπαινουμένην ὁμηρικὴν ἀποφαίνειν, οὐκ ἀγαθὸν εἶναι πολυκοιρανίην δοκιμάζουσαν, ἕνα δὲ βασιλέα τῶν ὅλων καθίζουσαν· ἀνάγκην γὰρ ἔσεσθαι κατὰ τοῦτον τὸν λόγον, αὐτό γε τὸ ὡς ἀληθῶς ἓν ἄρχειν τῶν πραγμάτων ἁπάντων· διὸ καὶ τὸν Πλάτωνα πολλαχοῦ τὴν μίαν ταύτην πρεσβεύειν ἀρχήν· καὶ γὰρ ἐν Σοφιστῇ τὸ ἓν τῶν ὄντων προτίθησι, καὶ ἐν Παρμενίδῃ κατὰ τὴν πρώτην ὑπόθεσιν τὰ πάντα ἀπ' αὐτοῦ ἀνελών, καὶ τὸ εἶναι πρὸς ἅπασιν, αὐτὸ μόνον ἀφίησι τὸ ἓν γεγυμνωμένον ἀπὸ τῶν ἄλλων ἁπάντων.

1.99 Εἰ τοίνυν ταῦτα καὶ τὰ τοιαῦτα τις ὑπολογιζόμενος, ἅμα δὲ καὶ τῆς Ἰαμβλίχου δόξης ἐξιστάμενος, τὸ ἓν ὑποτιθεῖτο μίαν εἶναι ἀρχὴν πρὸ τῶν δυεῖν, ἀπαντησόμεθα πρὸς αὐτόν, τά τε εἰρημένα προφέροντες, ἐν οἷς τά τε πολλὰ πρὸς τὸ ἓν ἀντέκειτο, καὶ τὸ ἄπειρον καὶ ἡ ἀόριστος δυὰς εἰς ταὐτὸν συνεωθεῖτο τοῖς πολλοῖς, ὥστε καὶ τὴν μονάδα καὶ τὸ πέρας εἰς ταὐτὸν ἰέναι τῷ ἑνί, ὡς γίνεσθαι τὸ ἓν μίαν τῶν δυεῖν ἀρχῶν. Καί γε τῆς προόδου πάσης προαιτία πώς ἐστιν ἡ δευτέρα τῶν δυεῖν, τὸ δὲ ἓν ἤδη πως ὑποφαίνει τὸ μόνιμον ἐν τοῖς οὖσιν, καθόσον ἀπρόοδον εἶναι πέφυκεν καὶ ἀντίξουν πρὸς τὴν διάκρισιν, ἧς ἄνευ οὐκ ἂν γένοιτο πρόοδος, καὶ ὅσα ἄν τις ἀπὸ τῶν εἰρημένων ἄλλα συλλογίσαιτο πρὸς τὴν ὑπόθεσιν. Ἔτι μέντοι πρὸς τούτοις καὶ ἐκεῖνα ῥητέον, ἓν μὲν ὅτι τὸ ἓν οὐκ ἔστι πάντῃ ἄρρητον, ἀλλὰ μόνον οὐ λόγῳ ῥητόν, οὐδὲ γὰρ καταφάσει οὐδὲ ἀποφάσει, ἁπλῷ δὲ ἴσως νοήματι, οὐδὲ τούτῳ λογικῷ οὐδὲ νοερῷ (πᾶν γὰρ τὸ τοιοῦτον εἰδητικόν τε καὶ σύνθετον), οὐδὲ τῷ οὐσιώδει ὅλως (οὐδὲ γὰρ ἡ οὐσία ἁπλοῦν τι ὡς ἀληθῶς), ἀλλὰ τῷ ἑνιαίῳ τῆς γνώσεως εἴδει, καὶ τῷ ἄνθει τῆς τοιαύτης ἐπερείσεως. Ἡμῖν δὲ, μᾶλλον δὲ τοῖς εὐδαίμοσι θεαταῖς, ὑπονοεῖσθαι μόνον δίδωσιν ἑαυτό, καὶ τοῦτο μέχρι μόνης ὠδῖνος, καὶ ὅσα περὶ τούτου προείρηται, ἐπεὶ οὐδὲ τῇ ἑνιαίᾳ γνώσει πάντῃ γνωστόν, ὅτι μηδὲ γνωστὸν ὃ μόνον ἕν, ἄλλο δὲ οὐδέν· εἰ δὲ εἴη πρὸς τοῦτο καὶ γνωστόν, οὐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἂν ἔτι ἓν εἴη κυρίως. Ἀλλ’ ὅμως καὶ ἡ τοιαύτη αὐτοῦ διακάθαρσις ἐγγύς τι πρόσεισι τῆς ἑαυτοῦ φύσεως, ἀλλ’ ἕως μὲν ἐγγύς, ἀπομόργνυταί τινα γνῶσιν αὐτοῦ, πελάσασα δὲ μύει καὶ γίνεται ἀντὶ γνώσεως ἕνωσις· ἀλλὰ ταῦτα μὲν καὶ πρότερον. Δῆλον δὲ ὅτι καὶ νῦν οὐκ ἂν εἴη τὸ ἓν ἡ ἀπόρρητος πάντων ἀρχή· καὶ γὰρ αὖ πάλιν ἡ μέν ἐστι πάντη ἄθετος καὶ οὐδ’ ὁπωστιοῦν ταττομένη μετὰ τῶν πάντων· τὸ δὲ ἕν, κἂν πάντα ᾖ, τῷ ἑνὶ πάντα ἐστὶ καὶ τίθεται ἕν, καὶ τῶν πάντων ἐστὶν οἷον κορυφή. Χωρὶς δὲ τούτων, εἰ μὲν ὀνομάζειν ἐθέλοι τις ὁπωσδήποτε τὸ φύσει ἀνώνυμον, ἢ λέγειν τὸ ἄρρητον παντελῶς, ἢ σημαίνειν τὸ ἀσήμαντον, οὐδὲν κωλύει καὶ τῇ μιᾷ καὶ ἀπορρήτῳ ἀρχῇ τὰ κράτιστα τῶν ὀνομάτων τε καὶ νοημάτων ὥσπερ σύμβολα ἄττα ἁγιώτατα προσάγειν καὶ ἐκείνην ἓν καλεῖν, κατὰ τὴν προφανῆ κοινὴν ἔννοιαν, τὴν ἀξίαν ἓν εἶναι τῶν πάντων ἀρχήν.

1.100 Εἰδέναι μέντοι κατὰ τὸ ἀκριβέστερον ὅτι οὐκ ἔστιν ἐκείνῃ τὸ ὄνομα τοῦτο πρεπῶδες, ἀλλ’ ἔστι τῆς πρεσβυτέρας τῶν δυεῖν οἰκεῖον, εἴπερ καὶ ταύτης, ὡς πολλάκις εἴρηται, κατὰ ἔνδειξιν. Μήποτε δὲ καὶ ἡ κοινὴ ἔννοια πάντων ἐπὶ ταύτην ἐξικνεῖται τὴν τῷ ὄντι μίαν ἀρχήν, εἴπερ καὶ ἐπὶ ταύτην, ἀλλὰ μὴ ἔτι κοινοτέραν τινὰ καὶ ἤδη ἀρχὴν ἀξίαν κεκλῆσθαι· ἀλλ’ οὐκ ἐπὶ τὴν ἀπόρρητον, εἴ γε ἀσύμφυλος ἐκείνη ἐστὶν ταῖς ἡμετέραις ἁπάσαις ἐννοίαις καὶ τὸ πάμπαν ἀνεννόητος. Εἰ δὲ ἡ ἀντίθεσις τοῦ ἑνὸς πρὸς τὰ πολλὰ τὸ ἓν πάλιν ἀπαιτεῖ πρὸ τοῦ ἑνός, οὐκ ἂν ἡμεῖς γε τὴν ἀντίθεσιν ταύτην ἐκεῖ δεξαίμεθα, ἀλλὰ κάτω που ἐν τοῖς διωρισμένοις, ἀφ’ ὧν καὶ εἰς ἐκείνας ἀνάγομεν τὰς ἀρχὰς τὴν δοκοῦσαν ἀντίθεσιν. Φέρε οὖν ἤδη τι καὶ περὶ ταύτης διαλεχθῶμεν· ἆρα γὰρ ὡς ἅπαντες ὀλίγου τι οἱ φιλόσοφοι καὶ ἔτι τῶν θεολόγων ἔνιοι μετὰ τὴν μίαν ὑμνουμένην ἀρχὴν δυάδα τίθεσθαι δοκοῦσιν, οὕτω καὶ ἡμῖν θετέον ἀκριβολογουμένοις, ὡς νῦν πειρώμεθα ἀκριβολογεῖσθαι; Καὶ τί γὰρ οὐχί; φαίη τις ἄν· τί γὰρ ἔδει μετὰ τὸ ἓν προελθεῖν; ἢ τὰ δύο· καὶ μετὰ τὴν μονάδα τὴν δυάδα καὶ οὕτω γε τὸν λοιπὸν ἀριθμὸν προελθεῖν. Οὕτω γοῦν Ὀρφεὺς μὲν αἰθέρα καὶ χάος μετὰ τὸν χρόνον παράγει· οἱ δὲ θεοὶ μετὰ τὸν ἕνα θεὸν πατέρα καὶ δύναμιν ὡς δυάδα μόνον ἐκφαίνουσι, καὶ πᾶσαι ὁμοῦ τι αἱ θεολογίαι ταὐτὸν ποιοῦσαι παραδέδονται.

1.101 Χωρὶς δὲ τούτων ὁ λόγος αὐτὸς ἀπαιτεῖ, ἐπειδή ἐστι τὸ ὂν ἐκ πέρατος καὶ ἀπείρο υ , ὡς ἔν τε Φιλήβῳ λέγει ὁ Πλάτων καὶ Φιλόλαος ἐν τοῖς περὶ φύσεω ς , καὶ ὅλως ἐπειδὴ ἄλλη ἔννοια τοῦ ἑνὸς καὶ τοῦ ὄντος, οὐκ ἂν εἴη τὸ ὂν ὅπερ τὸ ἕν. Ἀλλὰ μὴν μετέχει γε τοῦ ἑνός, ἔχει τι ἄρα καὶ οὐχ ἕν· τοῦτο δέ, ὡς εἴρηται, ἢ οὐδέν, ὅπερ ἄτοπον, ἢ πολλά· εἰ μὲν βούλεταί τις δύο μόνα, πέρας καὶ ἄπειρον · εἰ δὲ πλείω, ἢ πάντα ὅσα γένη τοῦ ὄντος ἐκεῖ προϋπάρχειν σπερματικῶς, ἐπεὶ καὶ πάντα τις ἐθέλει ἁπλῶς ὡς ἐν μονάδι πάντα τιθέναι τὸν ἀριθμόν, οὐδὲν κωλύει. Πολλὰ δὲ οὖν τὸ ὄν· τούτων δὲ τὰ μὲν πρὸς τοῦ πέρατος, τὰ δὲ πρὸς τῆς ἀπειρίας. Δεῖν οὖν φησί τις ἴσως προϋποτιθέναι τὰς αἰτίας καὶ τοῦ ἑνὸς ὄντος καὶ τῆς ἐν αὐτῷ δυαδικῆς φύσεως τῶν στοιχείων· εἶναι τοίνυν τὴν δυάδα τῶν ἀρχῶν προδιῃρημένην τῆς εἰρημένης δυάδος αἰτίαν, ὥσπερ καὶ τὸ πρὸ τῆς δυάδος ἕν, ὅπερ ὁ Ἰάμβλιχος τίθεται πρὸ ἀμφοῖν τοῦ ὄντος ἑνὸς αἴτιον προϋπάρχειν. Καὶ γάρ, ὅλως εἰπεῖν, εἰ διαιροῖμεν τὰ ὄντα πάντα εἰς τὸ ἡνωμένον καὶ διακεκριμένον ὁπωσοῦν, κἂν ὡς αἴτιον καὶ αἰτιατὸν πρὸς ἄλληλα ἔχῃ τὰ ἀντιδιῃρημένα, ταὐτὸν συμβήσεσθαι· ἀπὸ γὰρ δύο στίχων καὶ οὕτω τῆς μιᾶς ὅλης ἀντιδιαιρέσεως ἀναβήσεσθαι ἡμᾶς ἐπὶ δύο πάντως ἀρχάς, ὧν προϋπάρχειν τὴν μίαν κορυφήν, συμφύσεως αἰτίαν οὖσαν, τῶν δὲ δυεῖν ἀρχῶν καὶ τῶν ἀπὸ τούτων διχῇ ἀποφυομένων δυεῖν ἁπάντων ἀντιθέτων κατὰ πᾶσαν ἀντίθεσιν ἀπομεριζομένων ὀχετῶν· τοιαῦτα γὰρ ἔλεγε καὶ ὁ τὴν Ἰαμβλίχου πρεσβεύων ἀρχὴν μέσην τιθεμένην τῶν τε δυεῖν καὶ τῆς ἀρρήτου παντελῶς. Ἔτι δὲ προσετίθει καὶ εἰ τὰς δύο ἀρχὰς ἀνάγκη μετέχεσθαι ὑπὸ τοῦ ὄντος. Ἔστω δὲ τὸ ὂν ἑνιαῖον πρὸ τοῦ οὐσιώδους· τὰς οὖν ἐν τούτῳ μεθέξεις εἶναι τὰ πρῶτα στοιχεῖα τοῦ ὄντος, ὡς μικτοῦ, οἷον πέρας καὶ ἄπειρον· διὸ καὶ ἡνωμένον εἶναι τὸ ὂν τῇ ἰδιότητι πλείω συνεισῆλθεν εἰς ταὐτόν, πανταχοῦ δὲ τὰ στοιχεῖα

ἀντιδιῃρῆσθαι, ὥστε καὶ τὰς τούτων ἀρχὰς ἔχειν τι ἀντιδιῃρημένον, ὥστε καὶ τὸ ὂν αἴτιον εἶναι πρὸ τῆς ἀντιδιαιρέσεως· ἅμα γὰρ ὁ λόγος οὗτος ἠξίου καὶ τῇ Ἰαμβλίχου ὑποθέσει συνηγορεῖν καὶ τῇ ὁπωσοῦν ἀντιδιαιρέσει τῶν δυεῖν ἀρχῶν, ἐπεὶ καὶ τόδε ἄν τις εἴποι τούτοις ἀκόλουθον, ὡς ἡ μὲν πρὸ τῶν δυεῖν ἀρχῶν ἑνὰς ὁμοῦ πάντα ἦν πρὸ πάντων, ἀλλὰ πάντα ἐπίσης, ἡ δὲ πρώτη τῶν δυεῖν πάντα μὲν καὶ αὕτη, ἀλλὰ κατὰ τὸ περατοειδέστερον, ἡ δὲ δευτέρα πάντα μὲν ὁμοίως, ἀλλὰ κατὰ τὸ ἀπειρότερον.

1.102 Ἔτι δέ, ὡς τὸ αὐτὸ καὶ κάτωθεν ἰδεῖν, ἡνωμένων τε καὶ διακεκριμένων τῶν πραγμάτων ὄντων ἁπάντων ἡ μὲν ἡγεῖται ὡς ἡνωμένων, ἡ δὲ ὡς διακεκριμένων, ἡ δὲ πρὸ ἀμφοῖν ὡς πάντων ἁπλῶς· τάχα δὲ ἄμεινον οὕτω πως λέγειν ὅτι ἡ μέν ἐστιν ὡς μενόντων, ἡ περατοειδής, ἡ δὲ ὡς ἐπιστρεφομένων, ἡ τρίτη καὶ κατὰ τὸ ὂν ἱσταμένη· δεῖ δὲ πρὸ τούτων εἶναι τὴν κοινὴν ἁπάντων ἀκρότητα μίαν ἁπλῶς οὖσαν τῶν πάντων κορυφήν, οὐχί που δέ πως ὑφεστώτων, ἀλλὰ μόνον ὡς ὑφεστώτων. Καὶ γὰρ αὖ πάλιν εἴ τις εἴποι τὰς δύο ἢ τὰς τρεῖς μετὰ τῆς τρίτης εἶναι πάντων ἁπλῶς, τί διοίσουσιν ἀλλήλων πάντα οὖσαι πᾶσαι ὁμοίως; Εἰ δὲ καὶ μᾶλλον καὶ ἧττον διοίσουσι, τίς ἐν τούτοις ἡ τοῦ μᾶλλον καὶ ἧττον ἐπιμέτρησις, οὐδεμιᾶς οὔσης, οἷον εἰδητικῆς διαφορᾶς; καὶ ὅλως τὸ μᾶλλον καὶ ἧττον ἐν μιᾷ θεωρεῖται ἰδιότητι· καὶ πάλιν μία ἡ ἀρχή, ἀλλ' οὐ πολλαί, τῆς γε μιᾶς ἰδιότητος. Πρὸς δὴ ταῦτα καὶ τὰ τοιαῦτα πάντα ἐκεῖνο φάναι πρόχειρον ὅτι ἀπὸ τῶν διωρισμένων αἵδε πᾶσαι ἀναπέμπονται αἱ ἔννοιαι ἐπὶ τὰς πρὸ πάντων ἀδιορίστους ἀρχάς· καὶ γὰρ ἡ τοῦ ἑνὸς καὶ ἡ τῶν πάντων, φαίη τις ἄν· ἀλλὰ διακαθαίροντες ὅμως ἀπὸ τοῦ διωρισμένου ἐπὶ τὸ ἀδιόριστον τὰς ἡμετέρας ἐννοίας ὡς οἷόν τε φέρομεν, ὁμοῦ τὸ ἓν καὶ τὰ πάντα λέγοντες, τοῦ μὲν ἑνὸς ἀποθραύοντες τὸ μερικὸν τῇ προσθήκῃ τῶν πάντων, τῶν δὲ πάντων τὸ σύνθετον τῇ προσθέσει τῆς τοῦ ἑνὸς ἁπλότητος ἀναλύοντες. Ἄλλως οὖν καὶ τὴν ἀντιδιαίρεσιν ἐκεῖ θεωρητέον τὴν ὁμοῦ πάντων τῶν καθ' οἱονδήποτε τρόπον ἀντιδιῃρημένων, εἴτε ὁμοταγῶν, εἴτε αἰτίων καὶ αἰτιατῶν· ἔνεστι γάρ τι κοινὸν ἅπασι κατὰ τὸ γενικώτατον τῆς διαιρέσεως, ὥστε τῶν ὁπωσοῦν ἀντιδιῃρημένων κατὰ δύο στίχους λαμβανομένων δύο προϋπάρχειν αἰτίας, καὶ ταύτας οἷον ἀντιδιῃρημένας, δεῖν δὲ πρὸ τῶν δυεῖν οὕτως ἀντικειμένων εἶναι καὶ τὴν μίαν αἰτίαν τῆς συμφύσεως τῶν δύο ἀρχῶν, καὶ τοῦ ὅλου στίχου τῶν συμφυομένων ἄχρι τῶν ἐσχάτων ἀπὸ τῶν ἑκασταχοῦ δύο γιγνομένων ἀντιστοιχιῶν, ὅστις ὅλος στίχος, οὐδὲν θαῦμα εἰ κρείττων εἴη τῶν δύο στίχων, ὡς νόμος ἐν ἐκείνοις τὸ ὅλον προϊέναι πρὸ τῶν μερῶν, καὶ τὸ ἡνωμένον πρὸ τοῦ διακεκριμένου.

1.103 Καὶ γὰρ ἡ μία ἀρχὴ πρὸ τῶν δυεῖν· αὕτη μὲν οὖν τὸ ἁπλῶς ἕν, ὃ μέσον ὁ Ἰάμβλιχος τίθεται τῶν δύο ἀρχῶν καὶ τῆς παντάπασιν ἀπορρήτου ἐκείνης, αἱ δὲ δύο, πέρας φέρε καὶ ἄπειρον, ἢ καὶ εἰ βούλεταί τις, ἓν καὶ πολλ ά, ἀλλὰ τὸ ἀντικείμενον ἓν τοῖς πολλοῖς, οὐ τὸ πρὸ ἀμφοῖν καὶ ἀναντίθετον. Εἰ δὴ ταῦτά τις οὕτω διατείνοιτο, καὶ τὰς δύο ἀρχὰς ἀντικειμένας ποιῶν καὶ τὴν τοῦ ἑνὸς προτάττων ἀμφοῖν, ῥητέον πρὸς αὐτὸν πρῶτον μέν, ὅπερ ὕστατον ἔφη τὸ τοῦ μέσου στίχου, τοῦ ὁλοφυοῦς αἴτιον τί ποτέ ἐστιν. Εἰ μὲν γὰρ τὸ πρὸ τῶν δυεῖν ἕν, ἅτε συμφυοῦς, ἔσται καὶ αὐτὸ συμφυές, ὥστε οὐχ ἓν ἁπλῶς, ἀλλὰ τὸ συμφυὲς ἐκ δυεῖν, κἂν ᾖ πρὸ τῶν δυεῖν· ὥστε καὶ πρὸ αὐτοῦ ἔσται τὸ ἁπλῶς ἕν. Εἰ δὲ ἁπλῶς ἓν τοῦ ἑκασταχοῦ τοιούτου ἑνὸς αἴτιον ἔσται, ἀλλ' οὐχὶ τῆς ἐκ δυεῖν συμφύσεως· εἰ δὲ ἡ σύμφυσις τῶν δύο ἀρχῶν ἡ κατὰ τὴν μέθεξιν τοῦ ἑνὸς γενομένη πρὸς ἀλλήλας, αὕτη ἐστὶν ἡ τοῦ συμφυοῦς ὅλου στίχου ἀρχή, δεήσει ταύτην μίαν ποιεῖν πρὸ τῶν δυεῖν κατὰ τὸ συμφυές, καὶ πρὸ ταύτης τὸ ἁπλῶς ἕν, καὶ ἀπ' αὐτῆς τὰς δύο ἀρχάς· ὥστε ἑκατέρως δύο αἱ μέσαι ἀρχαὶ συμβήσονται τοῦ τε ἀπορρήτου καὶ τῶν καλουμένων δυεῖν ἀρχῶν, ἀλλ' οὐκέτι μία κατὰ τὸν Ἰάμβλιχο ν. Ἀλλ' οὐκ ἔστιν ἕτερον μὲν ἡ τοῦ πρώτου ἁπλότης, ἕτερον δὲ ἡ νῦν διακαθαιρομένη σύμφυσις, ἀλλὰ ταὐτόν· ἀκρότης γάρ ἐστι μία τῆς διπλῆς ἀντιδιαιρέσεως. Οὐκοῦν, φήσω, μία φύσις ἐστὶν ἐν ταὐτῷ συνέχουσα τὴν δίδυμον πρόοδον. Εἰ δὲ καὶ μιᾶς προόδου ὁ μερισμός, ἐν ἑνὶ ἀμερίστῳ προϋπάρχοντι συνῃρημένος κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μίαν ἀσύνθετον φύσιν, οὐκ ἀνάγει ἡμᾶς εἰς τὸ ἁπλῶς ἕν, τί χρὴ οἴεσθαι περὶ τῆς ἡγουμένης μονάδος τῆς διπλῆς συστοιχίας; ὡς οὐκ ἂν εἴη τόγε ἁπλούστατον ἕν· τί δὲ φαίη ἄν; οὐ πάντα ἐν ἐκείνῳ λέγομεν; καίτοι ὅμως ἕν· οὕτω δὲ λεγέσθω καὶ σύμφυσις τοῖν δυεῖν στίχοιν, ἐν οἷς καὶ τὰ ἄλλα πάντα συνήρτηται, ἢ οἷς ὑποτέτακται.

1.104 Ἀλλὰ πρῶτον μὲν ἄμεινον ἀπὸ πάντων ἀνάγεσθαι ὁλοτελῶς ἐπὶ τὴν μίαν τοῦ ἑνὸς πάντων ὑπερηπλωμένην ἁπλότητα, καὶ μὴ ἀπὸ μιᾶς ἀντιδιαιρέσεως, εἰ καὶ πάντα ἐν αὐτῇ· παρέχοιτο γὰρ ἂν ἐν αὐτῇ πάντα κατὰ δύο μόνων χαρακτῆρος ἰδιοτήτων· δεῖ δὲ παντελῶς ἀπὸ πάντων ἐπὶ τὴν μίαν ἀναπλοῦσθαι τῶν πάντων αἰτίαν. Δεύτερον δὲ ὅτι οὐδὲ πάντα περιείληφεν ἡ γενικὴ αὕτη ἀντιδιαίρεσις· τὴν γὰρ ἐκ τῶν δυεῖν κοινοφυῆ πρόοδον, καί, συναιρεῖν, τὴν πρὸ ἑκάστου μερισμοῦ πανταχοῦ προϊοῦσαν, ταύτην οὐ συνείληφεν ἡ ἀντιδιαίρεσις, ὅτι πᾶσα ἀντιδιαίρεσις μερισμός ἐστι· πρὸ δὲ παντὸς μερισμοῦ τὸ ἀμέριστον θεωρεῖται, ὅπερ οὐκ ἔστι τὸ ἕν, ἀλλ’ οἷον πηγὴ τῶν ἀπ’ αὐτοῦ μεριζομένων, ὡς ἡ μονὰς τοῦ ἀριθμοῦ παντός, ἄλλη οὖσα παρὰ τὸ ἁπλῶς ἕν. Εἶτά φησιν (οὐδὲ τοῦτο πείθει ἡμᾶς), ὅτι ἡ μέν ἐστι τῶν ἀρχῶν οἷον μονάς, ἡ δὲ οἷον δυάς, ἡ δὲ κατὰ τὸ πρὸ ἀμφοῖν ἕν· οὕτω γὰρ ἀποφαίνεσθαι καὶ Πυθαγόρα ν . Ἢ Πυθαγόρας μὲν τὴν ἀπόρρητον ἀρχὴν τῷ ἑνὶ παρεδήλωσεν, οὐκ ἔχων ὅτῳ ἄλλῳ φθέγξαιτο πρὸς ἄλλον· ἡμεῖς δὲ νῦν ἀτιμάζομεν καὶ τὸ ἕν, πρὸς τὴν ἐκείνου θέσιν ἀτιμάζοντες, ἐπεὶ σεμνοτέρα γε φανεῖται τῷ ἀπορρήτῳ μόνῳ σεμνυνθεῖσα παρ’ ἡμῶν, εἰ θέμις εἰπεῖν. Οὕτω γοῦν καὶ Αἰγύπτιοι σκότος ἄγνωστον ἐκάλουν· καὶ τοῦτο τρὶς ἐπιφημίζοντες ἐκείνην τὴν ἀρχὴν καὶ ἔτι σκότος ὑπὲρ νόησιν πᾶσαν, καὶ ἔτι κρύψιν μεγάλην ἀνυμνοῦντες αὐτήν, τὰ ἡμέτερα πάθη μᾶλλον ἐκτραγῳδοῦντες, ἐπ’ ἐκείνην παραδηλοῦν ἐπιχειροῦντες. Ἀλλὰ δὴ καὶ τὰ πολλὰ πρὸ μονάδος ἐστὶ καὶ δυάδος, καὶ ὅλως παντὸς ἀριθμοῦ, ὡς ἐν Παρμενίδῃ δείκνυσι, πρεσβυτέρων ἀνάγεσθαι ἐπὶ τὰς πρώτας ἀρχάς, καὶ δῆλον ὅτι ἀπὸ μὲν τοῦ ἑνός, ἀπὸ δὲ τῶν πολλῶν ἐπὶ τὴν τοῦ πλήθους αἰτίαν.

1.105 Καὶ ὁρᾶν χρὴ ὅπως πρὸ μονάδος καὶ δυάδος ἐπὶ τὰς δύο μόνας ἀρχὰς ἀναβεβήκαμεν· σχολῇ ἄρα ἀναβαίημεν ἐπ’ αὐτὰς ἀπὸ μονάδος τε καὶ δυάδος, ἢ ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὴν πρὸ αὐτῶν μίαν ἀρχήν· τὸ γὰρ ἓν ἀντιδιώρισται τοῖς πολλοῖς, καὶ ἡ ὅλη ἀντίθεσις αὕτη πρὸ ἐκείνης. Ἀλλὰ τοῦτο μὲν ἐν παρενθήκῃ τοῦ λόγου πεποίημαι. Πάλιν δὲ πρὸς τὸ ἐξ ἀρχῆς ἐκεῖνο τρίτον ῥητέον ὅτι τοὺς δύο τούτους ὀχετοὺς τῆς κατὰ πᾶσαν ἀντιδιαίρεσιν προόδου κινδυνεύσομεν ἐξάγειν ἐπ’ ἄπειρον. Ἀντιδιαίρεσις γάρ ἐστι καὶ αὕτη τις ἡ τοῦ ἑνὸς πρὸ ἀμφοῖν πρὸς τὴν δυάδα τῶν ὀχετῶν, καὶ δεήσει καὶ ταύτης ἄλλο προεπινοεῖν, καὶ τούτου ἴσως ἄλλο προϋποτίθεσθαι. Τέταρτον δὲ πλήθους ἐστὶν ἔκγονος πᾶσα διαίρεσις, ἤτοι γε τῆς πληθοποιοῦ δυάδος. Οὐκοῦν ὅλην φέροντες τὴν οἱανδήποτε λεγομένην ἀντιδιαίρεσιν εἰς μίαν ἀνοίσομεν ἐκείνην ἀρχήν, τὴν πληθοποιόν, καὶ διακρίσεων ἁπασῶν ἐξάρχουσαν. Τὸ δὲ ἄκρον αὐτῆς, ὅπερ ἓν εἶναι λέγομεν, οὐκ ὂν τῷ ὄντι ἕν, ἀλλ’ οἷον μονάδα ἢ σύμφυσιν τῆς ἀντιδιαιρέσεως, ὡς μονάδος ἐπὶ τὸ ἁπλῶς ἕν, ὃ δὴ τὸ πέρας εἶναι βούλεται καὶ τὸ ὡς ἀληθῶς πάντα ἕν. Ὡς γὰρ ἡ ἀντιδιαίρεσις γέννημα τῆς κατὰ τὸ ἄπειρον ἀρχῆς, οὕτω καὶ ἡ σύμφυσις αὐτῆς ἔκγονος ἔσται τῆς κατὰ τὸ πέρας, ἣν καὶ τὰ σύστοιχα τῷ πέρατι καλοῦμεν, ὥσπερ τὴν ἑτέραν τὰ σύστοιχα τῇ ἀπειρίᾳ· καὶ μάλιστα τούτων τὰ ἀρχοειδέστατα, οἷα τὸ ἓν καὶ τὰ πολλά. Σύμφυσις δὲ καὶ ἀντιδιαίρεσις καὶ ὅλως διάκρισις ἐν μὲν τῷ ὄντι κατὰ συναίρεσίν ἐστιν ἡνωμένη, οὔπω διακριθεῖσα, ἀλλὰ μόνη πάντων οὖσα σύμφυσις πρὸ πάσης διακρίσεως, ἐν δὲ τῷ νῷ τῷ νοητῷ πρώτῳ καὶ ὁπωσοῦν ἐξεφάνη διορισμός, ἢ διάκρισις, ἢ πλῆθος ὁτιοῦν. Ἡ γὰρ μέση τάξις, ὡς εἴρηται πρότερον, ἐν παρασκευῇ βούλεται εἶναι τῆς διακρίσεως, ἐν τῷ διακρίνεσθαι ὁρωμένη, καὶ οὔπω τι φέρουσα διακεκριμένον, ὥστε καὶ ἡ κατ’ ἐνέργειαν πρώτη ἀντιδιαίρεσις ἀπὸ τῆς τρίτης ἄρχεται τῶν νοητῶν διακοσμήσεων· ἔστι μὲν γὰρ ἡ πρώτη διαίρεσις καὶ διάκρισις πηγαία· ἐκείνη δὲ “πηγὴ τῶν πηγῶν” ἀνυμνεῖται.

1.106 Πέμπτον τοίνυν πρὸς τούτοις ἀπὸ τοῦ μερισμοῦ πανταχοῦ ἐπὶ τὸ ἀμέριστον ἄνιμεν, ὥστε καὶ ἀπὸ τοῦ πάντων κοινοῦ μερισμοῦ ἐπὶ τὸ πάντων κοινὸν ἀμέριστον ἀναχθησόμεθα· τοῦτο δέ ἐστι τὸ πάντων συναίρεμα, ἤ, δικαιότερον εἰπεῖν, ἕνωμα. Τὸ γὰρ πάντα ἡνωμένως ὂν καὶ ἀδιακρίτως, ὡς ἡ πηγὴ τῶν πολλῶν ὀχετῶν ἀδιόριστον ἕνωμα, τοῦτο ἂν εἴη οἷον πολλάκις εἶναι τὸ ὂν ὑπονοοῦμεν. Τὸ γὰρ πεπονθὸς μὲν τὸ ἕν, οὐκ ὂν δὲ ἕν, τὸ ὂν ἂν εἴη, ἕν τε ὂν καὶ οὐχ ἕν· ἀλλὰ καὶ ταῦτα οὔπω διωρισμένα· διὸ μόνον ἡνωμένον ἄξιον κεκλῆσθαι. Εἰ δὴ ἀπὸ μὲν τοῦ παντελοῦς διακρίματος τῶν πάντων ἐπὶ τὸ παντελὲς σύγκριμα τῶν πάντων ἄνιμεν, καὶ ἀπὸ τοῦ πληθυσμοῦ πάντων ἐπὶ τὸ πάντων ἕνωμα, σαφὲς ὅτι καὶ τούτων ἐπέκεινα ἀναβαίνειν πειρώμενοι πολλῷ μειζόνως ἀποστησόμεθα πάσης ἀντιδιαιρέσεως, καὶ ὡς ἀπὸ ἀδιακρίτου τοῦ ἡνωμένου κόσμου παντελῶς ἐπὶ κόσμον παντελῆ οὐκ ἀδιάκριτον κεκλῆσθαι ἄξιον· οὐδὲ γὰρ ἡνωμένον, ἀλλ' ἔτι ἁπλούστερον πολλὰ ἢ ἄπειρον ἢ δυάδα· τὸ γὰρ ἡνωμένον ἔμφασιν ἔχει καὶ πολλοῦ καὶ ἑνός, εἰ καὶ μήπω διώρισται, μηδὲ ταῦτα ἐν αὐτῷ. Ἐκείνη δὲ ἡ ἀρχὴ πολλὰ μόνον, καθό ἐστι· διὸ καὶ ἄπειρον καθ' ἑαυτό· τὸ γὰρ ἄνευ τοῦ ἑνὸς πλῆθος ἐπινοούμενον ἀπειράκις ἄπειρον καὶ ἡ τοῦ ἀπείρου ἀστάθμητος ἀχάνεια. Ἔστι μὲν οὖν καὶ τὸ ἄπειρον ἕν, ἀλλὰ κατὰ μέθεξιν, ἡ δὲ ὕπαρξις αὐτοῦ καὶ οἷον ἰδιότης πολλὰ μόνον καὶ ἄπειρον μόνον, οὐχ ὧδε πολλὰ ὥς τινα πλείω, ἵνα καὶ ἡνωμένον γένηται, ἐκ πολλῶν τῷ ἑνὶ συγκραθέντων, ἀλλ' ἔστιν ἓν πολλὰ τῇ ἰδιότητι, πρὸ δὲ τῶν πολλῶν αὐτὸ δήπου τὸ ἓν οὕτως ἓν ὡς μόνον τῇ ἰδιότητι ἓν καὶ ὡς μόνον καθ' ὕπαρξιν, οὐδὲν δὲ κατὰ μέθεξιν ὄν. Διὸ καὶ ὕπαρξις ὀνομάζεται ἡ ἀρχὴ ἐκείνη, ὅτι μόνον καθ' ὕπαρξιν. Ἡ δὲ δευτέρα μετέχουσα τῆς πρώτης εἶτα καὶ ἴδιον προὐβάλλετο τὴν ταύτης ὕπαρξιν τὴν πολλοποιόν. Διὸ καὶ τὸ δυαδικὸν ἐν αὐτῇ πρώτῃ πέφηνε, καὶ τὸ προοδικόν, ὅτι πρώτη προῆλθεν, καὶ τὸ τοῦ Χάους ἰδίωμα, ὅτι πρώτη ἐχώρησε τὴν πρὸ αὐτῆς, καὶ πρώτη τοῦ ἑνὸς ἐξέβη ὁπωσοῦν.

1.107 Οὔπω οὖν τὸ ἡνωμένον ἐκείνων οὐδέτερον, οὐδὲ τὸ μικτόν· δεῖται γὰρ τὸ μικτὸν δυεῖν ἰδιοτήτων τοὐλάχιστον προϋποκειμένων καὶ μιᾶς τῆς συναγούσης. Ἔστι τοίνυν ἐν τῷ τρίτῳ ἀπὸ τοῦ πρώτου, ἐν ᾧ δύο μεθέξεις, ἡ τοῦ ἑνός, καὶ τῶν πολλῶν μία, τῇ τοῦ ἡνωμένου καὶ ὄντος ὑπάρξει συναγόμενα, καὶ τριὰς ἢ δὴ τὸ τρίτον. Ὁ δὲ τὸ τρίτον κόσμος ὁλοτελὴς καὶ ῥίζα μία τῶν πάντων, καὶ ἐκείνων ἑκατέρα κόσμος ἐστὶ μειζόνως ὁλοτελής, μᾶλλον δὲ κόσμων αἰτία παντελῶν, ἡ μὲν ὡς ἡνωμένων, ἡ δὲ ὡς πεπληθυσμένων ἑκάστων, καὶ αὐτοῦ τοῦ πρώτου πάντων, καὶ κρυφίου διὰ τοῦτο καλουμένου, τοῦ πάντη κρυφίου, ὡς μηδὲ σπέρμα εἶναι τῶν ἀπ' αὐτοῦ προϊόντων Θείων κόσμων, ἀλλ' ἔτι ἐπέκεινα τῆς σπερματικῆς ἀρχῆς, εἴ γε πρὸ παντὸς σπέρματος ἡ πάντα συνῃρηκυῖα ἐν αὐτῇ ἀδιόριστος μία φύσις. Διὸ καὶ τὸν Μῆτιν πρῶτον ὁ θεολόγος ἀνυμνεῖ “σπέρμα φέροντα θεῶν”, ὃς καὶ πηγὴ λέγεται τῶν πηγαίων ἁπάντων διακόσμων ὑπ' αὐτῶν τῶν θεῶ ν. Τοσοῦτον ἀπέχει τῆς κατὰ ἀντιδιαίρεσιν ἐκείνης ἀντιστοιχίας, ὅτι καὶ πάσης αὐτῆς ἐστιν ἡ μία σύμφυσίς τε καὶ ἕνωσις μετὰ τῆς ὠδινούσης τὴν διάκρισιν νοητῆς ἐμφάσεως. Εἰ δὲ ὁ Μῆτις τοιοῦτος, πολλῷ μᾶλλον ὁ κυόμενος Μῆτις, ἴσως δὲ κάλλιον εἰπεῖν, ἡ κυοῦσα τὴν μῆτιν νοητὴ μεσότης· πρὸ δέ γε ταύτης αὐτὸ τὸ ὄν, ὁ κρύφιος τῷ ὄντι διάκοσμος. Ἔτι οὖν μειζόνως ἡ τούτου αἰτία παντελής· ἀλλ' οὐκέτι κόσμος, αἰτία δὲ κόσμου, καθὸ πάντα ὁ κόσμος, ὥσπερ ἡ πρὸ ταύτης καθὸ καὶ ἓν ὁ κόσμος· ἓν γὰρ καὶ πολλὰ καὶ ἐκεῖνος, ἀλλ' ὡς ἀδιακρίτως, ὥστε καὶ τὴν ἕκτην ἐπαγάγωμεν γενεὰν τῆς ἀποδείξεως, ὡς πάντα μὲν ἑκάστη τῶν τριῶν ἐστι καὶ πρὸ πάντων· ἀλλ' ἡ μὲν πάντα κατὰ τὸ πάντων ἕνωμα ἡ τρίτη, ἡ δὲ πρώτη πάντα κατὰ τὸ ἕν, ὡς ἁπλότης μία παντελής, ἡ δὲ μέση πάντα κατὰ πάντα· ἔστι γὰρ πάντα καὶ αὐτὴ ὡς πολλά, ὅ ἐστι πάντα· οὐ γὰρ δὴ ἔνια· ταῦτα γάρ τινα πολλά· ἡ δὲ ἦν ἁπλῶς πολλά, ὥστε πάντα, ἀλλὰ πάντα οὔτε διωρισμένα οὔτε ἡνωμένα.

1.108 Οὐ γὰρ τὰ μετέχοντα, ἀλλ' αὐτὴ ἡ πολλότης, ὥστε πάντα καθ' ὕπαρξιν, ὥσπερ τὸ ὂν πάντα μὲν κατὰ μέθεξιν, τὸ δὲ ἡνωμένον καθ' ὕπαρξιν, ὥσπερ τὸ ἕν, ἓν μὲν καθ' ὕπαρξιν, πάντα δὲ κατ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰτίαν, εἰ θέμις εἰπεῖν. Οὐχ ὅτι τὸ ἓν καὶ ἡ αἰτία πάντων· οὕτω γὰρ ἔσται πάλιν οὐχ ἕν· ἀλλ' ἓν μόνον πάμφορον· ὥστε ἁρμόσει καὶ οὕτως αὐτὰ διορίζειν τοῖς γε ὀνόμασιν, ἡ μὲν μία ἐστὶν ἓν πρὸ πάντων, ἡ δὲ δευτέρα πάντα, ἡ δὲ τρίτη ἓν πάντα καθ' ἕνωσιν. Τοσαῦτα μὲν ἐπικεχειρήσθω πρὸς ἔνδειξιν τῶν πρώτων λεγομένων δυεῖν ἀρχῶν. Δῆλον δὲ ὅτι οὔτε ὁμοταγεῖς εἰσιν, εἰ καὶ λέγεται τοῦτο πολλάκις κατὰ δή τινας ἀπὸ τῶν γνωριμωτέρων ἐνδείξεις, οὔτε δύο εἰσίν, εἴπερ κάτω πᾶς ἀριθμός, καὶ αὐτὴ ἡ μονάς, οὔτε διωρισμέναι εἰσὶν ἀπ' ἀλλήλων, οὐδὲ γὰρ ἐν τῇ τρίτῃ ἀρχῇ οὐδέπω διορισμός, ἀλλὰ μόνον προένωμα τῶν διορισθησομένων ἀπ' αὐτῆς, οὔτε ἑτερότης διαλαμβάνει αὐτάς, εἴπερ οὐδὲ ταυτότης ἐν ἐκείνοις· ἀλλ' ὡς οἱ θεοὶ καὶ αὐτοὶ μέντοι ἀνθρώποις διαλεγόμενοι οὕτως ἔχειν πρὸς ἀλλήλας ἀπεφήναντο τὰς τρεῖς ἀρχὰς ὡς ἂν ἔχοι νοῦς καὶ δύναμις καὶ πατήρ, ἢ ὕπαρξις καὶ δύναμις τῆς ὑπάρξεως καὶ νόησις τῆς δυνάμεως. Πάντως δὲ φανερὸν ὅτι οὐδὲ ταῦτα ἀληθεύεται ἀληθῶς ἐπ' ἐκείνων. Καὶ γὰρ ὁ τούτων διορισμὸς ἐν τῇ τρίτῃ τῶν νοητῶν διακοσμήσει νοητῶς ἐμφαίνεται καὶ κρυφίως· ἐν δὲ τῷ ἡνωμένῳ καὶ ταῦτα ἥνωται· οὐδὲ γὰρ αἰτίου καὶ αἰτιατοῦ διορισμὸς ἐν ἐκείνοις· οὐδὲ γὰρ ἐν τῇ ἀκρότητι τῶν νοητῶν οὐδὲ ὁ Ἰάμβλιχος ἠξίωσεν εἶναι διωρισμένην ἀρχήν. Μία γὰρ ἡ νοητὴ συνέχεια πάντων τῶν τοιούτων, οὐδὲ συνέχεια ἡ ἀντικειμένη τῷ διορισμῷ. Πάλιν γὰρ ἂν εἴη διαίρεσις ἄλλη πρὸ ἀμφοῖν, καὶ ἔτι πρὸ πάντων ἕνωσις ἐν τοῖς νοητοῖς ἀπὸ τοῦ ἑνὸς καὶ περὶ τὸ ἓν οἷον πέπηγεν.

1.109 Καὶ γὰρ ὅσον ὑπονοεῖται πληθυόμενον ἐκεῖ, καθόσον οὐκ αὐτὸ τὸ ἕν ἐστι τὸ ἡνωμένον, καὶ τοῦτο ὅμως ἐν τῷ μονοειδεῖ θεωρητέον. Οὐδὲ γὰρ ἕνωσις ἡ ἀντίθετος τῇ πληθύι λέγοιτο ἂν ἐκεῖ, συνέσται γὰρ αὐτῇ καὶ ἡ πληθὺς ἀντιδιῃρημένη, ἀλλ' ἡ πρὸ ἀμφοῖν ἕνωσις μία. Καὶ εἰ ἐπὶ τῶν νοητῶν οὕτως ἀξιοῦμεν, τί χρὴ προσδοκᾶν ἐπὶ τῶν πρὸ τοῦ νοητοῦ παντὸς ὑποκειμένων δυεῖν ἀρχῶν; οὐχ ὅτι πολλῷ μειζόνως ἥνωνται· μᾶλλον δὲ πρὸ τοῦ ἡνωμένου οὖσαι παντὸς ἓν αἱ δύο πάντως εἰσί. Πῶς οὖν δύο; ἢ οὐχὶ κατὰ δυάδα, οὔπω γὰρ ἐκεῖ ἀριθμός· οὐδὲ ὅλως διορισμός, οὐδὲ γὰρ μονάς· οὐδὲ γὰρ τὸ ἓν αὐτὸ ὃ λέγεται ἕν, οὐδὲ πολλά· καὶ ταῦτα γὰρ ἀντιδιώρισται πρὸς ἄλληλα. Καταχρώμεθα δὲ ὅμως τοῖς ὀνόμασιν ἐπ' ἐκείνων, οὐκ ἔχοντες ἀξίας ἐκείνων ἐπωνυμίας· οὐδὲ γὰρ νοήσεις ἔχομεν τοιαύτας· οὐδὲ γὰρ αὐτὰ τὰ νοήματα ληπτὰ ταῖς νοήσεσίν ἐστι ταῖς ἡμετέραις· οὐδὲ γὰρ ταῖς τοῦ νοῦ περιωπαῖς νοεῖται τὸ ἄκρον τοῦ νοητοῦ κατὰ τὸν Ἰάμβλιχο ν· ἀλλὰ συμπτύξαι δεῖ καὶ τὸν νοῦν τὰς οἰκείας νοήσεις εἰς τὸ νοητόν, εἰ μέλλοι συνῃρημένος ὢν ἐπιβάλλειν καὶ ὁπωσοῦν τῷ πάντῃ συνῃρημένῳ. Οὐ τοίνυν δύο ῥητέον τὰς ἀρχάς, οὐδὲ γὰρ μίαν, ὡς ἀριθμοῦντας, ἀλλὰ κατὰ τὴν ἰδιότητα μᾶλλον ὑπονοοῦντας ἥν φαμεν εἶναι δυάδος τε καὶ μονάδος. Δυὰς γάρ, ὅτι δυαδική, καὶ μονάς, ὅτι μοναδική· καὶ γὰρ ἓν οὕτω καὶ πολλά, οὐ τῇ ἰδιότητι, οὐ τῷ ἀριθμῷ, οὐδὲ ὅλως τῷ ποσῷ, οὐδὲ πεποσωμένῃ τινὶ φύσει, οὐδὲ τῇ ποσοῦ ἀρχῇ, οὐδὲ τῆς πεποιωμένης οὐσίας, ἀλλ' ἐπέκεινα τῶν τοιούτων ἁπάντων νοημάτων. Ἕκαστον γὰρ αὐτῶν μερικόν τέ ἐστι καὶ διωρισμένον, καὶ οὐκ ἀρκούμεθα τούτοις, ἀλλὰ καὶ ἄλλοις προσχρώμεθα πρὸς ἔνδειξιν τῆς φύσεως ἐκείνης, καὶ οὐδὲν μὲν κατατυγχάνει τοῦ ἀληθοῦς, ἐκ πάντων δὲ ἀναγκάζομεν τὴν ἡμετέραν ὑπόνοιαν εἰς τὸ ἀδιόριστον ἀναφεύγειν καὶ μεγαλοφυέστερον, ἐπεὶ καὶ δύο λέγομεν τὰς ἀρχάς, καὶ τὴν ἑτέραν ὑποτάττομεν τῇ ἑτέρᾳ κατὰ πρόοδον, οὔτε δυάδος οὔσης ἐκεῖ, οὔτε προόδου τινός. Ἦν δὲ ἴσως ἄμεινον, εἴπερ καὶ τοῦτο παρείκοι, μὴ δύο ποιεῖν οὕτως ὡς δύο μονάδας, ἀλλ' ὡς ἓν δυαδικὸν τὰς δύο ποιεῖν, οἷον τὸ τῆς δυάδος ἓν νοήσειεν ἄν τις. Ἀλλ' οὐδὲ τοῦτο τείνει πρὸς ἐκείνας· ἓν γάρ τι τοῦτο τὸ ἕν· ἄλλο γὰρ ἄλλῳ σύνεστι τῶν ἀριθμῶν, ὥστε βέλτιον τοῦτό γε τὸ πάντων κοινὸν ἓν παραλαβεῖν τῶν πραγμάτων, καὶ τοῦτο δυοειδὲς ποιήσαντας ταύτῃ ᾗ περιεκτικόν ἐστι πάντων ὡς ἡνωμένων τε καὶ διακρινομένων, οὕτω προσαρμόσαι τῇ φύσει τῶν δύο λεγομένων ἀρχῶν· ὅθεν καὶ ἐπιχειροῦμεν αὐτὰς δηλοῦν ἢ ἐνδείκνυσθαι τὸν δυνατὸν τρόπον, ποτὲ μὲν ἀπὸ τῶν δύο συστοιχιῶν ἀνακαθαιρομένων κάτωθεν καὶ συγκορυφουμένων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνωτάτω πρὸς τὴν δίδυμον ἐκείνην μίαν κορυφήν, ποτὲ δὲ μεγαλειότερον ἀπὸ τῶν ὅλων πληρωμάτων τῶν πανταχοῦ καὶ τῶν ὅλων κόσμων ὡς πληθυομένων τε καὶ ἑνουμένων, ὑποτεταγμένων ἀεὶ τούτων ἐκείνοις, καὶ μεγάλοις οὕτω βήμασιν, ἀναπεμπόντων ἡμᾶς εἰς τὴν παντελῆ τῶν πρώτων ἀρχῶν προήγησίν τε καὶ ὑπόταξιν.

1.110 Τάχα δὲ καὶ ταύτης ἂν εἴη τῆς ἀνόδου μεγαλοπρεπεστέρα καὶ ἀξιωματικωτέρα πρὸς ἔνδειξιν ἡ ἀπὸ πάντων ἁπλῶς ἀνάγουσα τῶν ὅπως ποτὲ ὄντων, καὶ ὁπώσποτε αἰτίων καὶ αἰτιατῶν θεωρουμένων· ὁσαχῶς δ’ ἄν τις βούλοιτο ἢ δύναιτο τὰ ἐκεῖ πως ὑπονοεῖν, μὴ ὡς ταῦτα ὑπονοείτω ἐκεῖνα, μηδὲ τοιαῦτα οἷα καὶ ταῦτα αἰνίττεται, ἀλλ’ ἔτι μειζόνως ἀρχὰς τούτων καὶ αἰτίας οὔπω ἐκεῖ φανέντων, οὐδὲ τούτων, αὐτοῦ λέγω τοῦ τῆς ἀρχῆς, οὐδὲ τοῦ τῆς αἰτίας ὀνόματός τε καὶ πράγματος. Καὶ ταῦτα μὲν γὰρ ἐν τῷ πέρατι τῶν νοητῶν διώρισται νοητῶς, ἐν δὲ τῇ μεσότητι διορίζεται κατὰ τὴν ἔτι ὠδῖνα τῆς πάντων τῶν τοιούτων διακρίσεως, ἐν δὲ τῷ ἄκρῳ συνῄρηται πάντα εἰς ἕν, τὸ πάντων ἕνωμα. Οὔκουν πρὸ τούτου αἱ δύο ἀρχαί, προσεχῶς μὲν ἡ δευτέρα κατὰ τὴν ὠδῖνα τῶν πάντων, ἡ δὲ ὑπὲρ ταύτην κατὰ τὴν πρὸ πάντων ἁπλότητα, καθ’ ἣν φαντάζεται τὸ ἕν, ὥσπερ κατὰ τὴν ὠδῖνα τῶν πάντων τὰ πολλά. Ἔστι γάρ, εἰ θέμις ἀφορίσασθαι, ἡ μὲν πρώτη ἓν πάντα, ἡ δὲ δευτέρα πάντα ἕν· αὕτη μὲν γάρ, πάντα οὖσα δι’ ἑαυτήν, ὅμως, διὰ τὴν πρώτην, ἕν πώς ἐστιν, ἐκείνη δέ, ἓν δι’ ἑαυτὴν οὖσα, ὅμως πάντα ἐστί, καθόσον τὴν δευτέραν προήγαγεν, ἡ δὲ τρίτη τὸ μὲν ἓν ἔχει ἀπὸ τῆς πρώτης, τὰ δὲ πάντα κατὰ τὴν ἰδιότητα τῆς δευτέρας, ὥστε πληθύεσθαι μὲν κατὰ ταύτην, ἑνίζεσθαι δὲ κατ’ ἐκείνην, πρώτην δὲ σύνθετον γενέσθαι καὶ ἕνωμα πάντων ἀποτελεσθῆναι, καὶ τοῦτο ἀφ’ ἑαυτῆς προβάλλεσθαι τὸ ἡνωμένον, ὃ δὴ καὶ ὂν καλοῦμεν, οὗ καὶ τὸ ἓν ἡνωμένον ἐστὶ τῇ ἰδιότητι, ὥσπερ τῆς πρὸ αὐτοῦ ἀρχῆς τὰ πάντα ἡ ἰδιότης, καὶ τῆς ἔτι προτέρας τὸ πρὸ πάντων, καὶ τὸ δεύτερον πάντα ἓν τὰ πάντα, καὶ τὸ τρίτον πάντα ἕν, τὸ ἐξ ἑνὸς καὶ πάντων τὸ ἡνωμένον.

1.111 Ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις, ὅταν περὶ τοῦ τρίτου λέγωμεν, αὐτίκα δὴ μάλα. Τοιγαροῦν ἤδη τῷ τρίτῳ προσίωμεν τῷ λόγῳ προβλήματι, μᾶλλον δὲ τῇ τρίτῃ τῶν πάντων ἀρχῇ· φανεῖται γάρ τι καὶ ἀποτεινόμενον ἀπὸ ταύτης εἰς τὰς δύο πρώτας ἀρχάς· ἀμέλει τὸ ἡνωμένον ζητήσωμεν, ὃ δὴ τρίτον τάττοντες διετελέσαμεν. Τί ποτέ ἐστι; καὶ διὰ τί τρίτον αὐτὸ τίθεμεν; καὶ πῶς λέγεται μικτὸν ὑπὸ τοῦ Πλάτωνος καὶ τῶν ἄλλων φιλοσόφων τῶν Πλατωνικῶν, καὶ ἔτι πρότερον ὑπὸ Φιλολάου καὶ τῶν ἄλλων Πυθαγορείω ν; Οὐ μόνον ὅτι ἐκ περαινόντων καὶ ἀπείρων συμπέπηγεν οἷον τὸ ὄν φησιν ὁ Φιλόλαος, ἀλλ’ ὅτι καὶ μετὰ τὴν μονάδα καὶ ἀόριστον δυάδα τίθενται τρίτην ἀρχὴν τὴν ἡνωμένην τριάδα. Πᾶν δὲ ἡνωμένον μικτόν, εἴπερ ἔμφασιν ἔχει καὶ ἑνὸς καὶ πλήθους τὸ ἡνωμένον, ὥστε καὶ ἐκ τίνων μέμικται ζητητέον. Καὶ γὰρ Ὀρφεύ ς· ἔπειτα δ’ ἔτευξε μέγας Κρόνος αἰθέρι δίῳ ὠεὸν ἀργύφεον. Τὸ γὰρ ἔτευξε δηλοῖ τι τεχνητόν, ἀλλ’ οὐ γέννημ α· τὸ δὲ τεχνητόν, ἀλλ’ οὐ γέννημα, πάμμικτόν ἐστιν ἐκ δυεῖν τοὐλάχιστον, ὕλης καὶ εἴδους, ἢ τῶν τούτοις ἀναλογούντων.

1.112 Ἔτι τοίνυν εἰ κρεῖττον τὸ μικτὸν τῶν οἰκείων στοιχείων ἐξ ὧν συμπληροῦται· καὶ εἰ τὰ στοιχεῖα ἐκ προγόνων ἀρχῶν ὁμογενῶν τῇ ἰδιότητι. Δοκεῖ γὰρ ταῦτα βούλεσθαι ὁ Πλάτω ν· καὶ ὅσα περὶ ταῦτα καὶ ἐν τούτοις ἀπορητέον τε καὶ ὅπῃ δυνατὸν ἐννοητέον περὶ τῶν τηλικούτων. Ἓν δὴ πρὸ πάντων ἐκεῖνο ζητήσειεν ἄν τις διὰ τί μὴ μετὰ τὸ ἓν εὐθὺς τὸ ἡνωμένο ν· τὸ γὰρ ἡνωμένον πρῶτον πέπονθε τὸ ἕν· τοῦτο ἄρα μετὰ τὸ ἕν. Ἀλλὰ δεῖται τὸ ἡνωμένον τοῦ καὶ πολλὰ εἶναι· συνεμφαίνεται γὰρ αὐτῷ καί τι πλῆθος οἷον καταπινόμενον ὑπὸ τοῦ ἑνός· οὐκοῦν ἡ τῶν πολλῶν ἀρχὴ πλῆθός τέ ἐστι, πολλὰ γὰρ καὶ μετέχει τοῦ ἑνός. Αὕτη ἄρα τὸ ἡνωμένον ἐστί, βουληθεῖσα μὲν ἄπειρα γενέσθαι, πεδηθεῖσα δὲ τῇ μεθέξει τοῦ ἑνός; Ἢ τὸ μὲν ἡνωμένον οἷον μικτὸν εἶναι ἐθέλει, οὐδὲν δὲ συντίθεται ἐξ ὑπάρξεως καὶ μεθέξεως· οὐ γὰρ ἂν εἴη στοιχεῖα ἢ μέρη τινὸς ἡ ἄλλου μέθεξις ἐν αὐτῷ καὶ ἡ ὕπαρξις αὐτοῦ· ἔσται γὰρ ἡ ὕπαρξις ὡς μὲν στοιχεῖον ἐν ὕλης λόγῳ προϋποκείμενον, ὡς δὲ ὕπαρξις ἐπιγιγνόμενον, οἷόν τι εἶδος, ἑνὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στοιχείῳ τῇ μεθέξει. Καὶ ὅλως ὁμοταγῆ πως τὰ στοιχεῖα, τὸ δὲ μετέχον καὶ ἡ μέθεξις οὐχ ὁμοταγῆ οὐδὲ ἐκ μιᾶς ἀντιδιαιρέσεως. Χωρὶς δὲ τούτων τὰ στοιχεῖα δύο τοὐλάχιστον· ἡ δὲ δευτέρα ἀρχὴ δυὰς ἦν, ὡς ἓν δυαδικόν, καὶ πολλὰ καὶ ἄπειρα ὡς πολλότης καὶ ἀπειρία ἓν ἑκάτερον μόνον· τῇ δὲ ἰδιότητι πολλὰ καὶ ἄπειρα. Οὔπω ἄρα στοιχεῖα ἐκεῖ τοῦ ἡνωμένου· πλείοσι γὰρ τὸ ἓν ἐπιγενόμενον ἀπεργάζεται τὸ ἡνωμένον· ἑνοῖ γὰρ τὸ ἕν, οὐ δήπου ἕτερον, ὃ καὶ αὐτὸ μόνον ἓν καὶ ἁπλοῦν, ἀλλὰ πλείω ἑνός, οὔπω δὲ ἐκεῖ τὰ πλείω· μεθέξει γὰρ πολλότητος γίγνεται τὰ πλείω· διαιρετικὴ γὰρ ἡ πολλότης, ἑνοῦται γὰρ τὰ διῃρημένα, ταῦτα δὲ μετὰ τὴν πλειοποιὸν ἀρχήν. Ἐν πρώτῳ ἄρα τῷ τρίτῳ τὰ πλείω φαντάζεται, διόπερ καὶ ἡ τῶνδε ἕνωσις ἐν αὐτῷ πρώτῳ, τὸ δὲ πρὸ πάντων ἡνωμένον ἐκεῖνο· πρὸ δὲ τούτου ἡ δευτέρα ἀρχὴ μετέχει μὲν τοῦ ἑνός, ἓν γὰρ ἐγένετο καὶ αὐτή, πολλὰ δὲ οὖσα τῇ ἰδιότητι μόνῃ ἕνωσιν οὐκ ἔχει.

1.113 Ἡ γὰρ ἕνωσις ὅπου διάκρισις ἦν τῶν πλειόνων. Τοῦτο μὲν οὖν οὐκ ἂν ἄλλως ἄν τις ὑπονοήσειεν. Ἐν δὲ τῷ τρίτῳ τὰ πλείω ποῖά φαμεν; στοιχεῖα μὲν γὰρ τοῦ μικτοῦ· τίνα δὲ ταῦτα δή; τοῦτό γε πρόχειρον εἰπεῖν ὅτι αἱ ἀπὸ τῶν ἀρχῶν ἐκείνων μεθέξεις τὸ ἓν καὶ τὰ πολλά, ἅπερ εἰς τὸ τρίτον προῆλθεν, ἤ, εἰ βούλει, πέρας φάναι καὶ ἄπειρον, ἢ μονάδα καὶ δυάδα ἀόριστον εἰς ὑπόστασιν τῆς ἡνωμένης τριάδος. Ἔσται μὲν γὰρ καὶ ἡ τριὰς τῇ ἰδιότητι μόνῃ καὶ οὐ κατὰ πλειόνων σύστασιν, οὐδὲ ἀριθμός, ἀλλ’ ὅμως οὕτω γε καὶ ἐκ τοιούτων οὐσῶν, τῆς μονάδος τε καὶ δυάδος. Ἀλλ’ εἴ τις οὕτως ὑποθοῖτο, πρῶτον μὲν δεησόμεθα καὶ ἄλλης ἀρχῆς πρὸ τῶν δυεῖν. Εἰ γὰρ αὗται τῶν δύο στοιχείων ἀρχαί, πρὸ δὲ τῶν στοιχείων τὸ μικτόν, ἀνάγκη ἔσται καὶ τοῦ μικτοῦ ποιεῖν ἀρχὴν ἰδιότροπον, μικτὸν καὶ αὐτὴν ὀνομαζομένην, κατὰ γοῦν ἔνδειξιν καὶ οἷον ἰδιότητα τοῦ ὡς ἀληθῶς μικτοῦ προϋπάρχουσαν, 〈καὶ〉 καθάπερ τὸ ἓν καὶ τὰ πολλὰ τῶν ὁμωνύμων στοιχείων, ἐν τῷ μικτῷ προϋποτίθεμεν ἄλλο τι, καὶ πρὸ τοῦ μικτοῦ τὰς δύο πάλιν ἀρχάς. Πᾶν γὰρ μικτὸν ἔχει τι ἑνοειδὲς καί τι πληθοειδές· οὕτω δὲ ἐπ’ ἄπειρον ἥξομεν ἀρχὰς ἀεὶ ἀρχῶν προϋποτιθέμενοι. Οὐ μέντοι οὐδὲ αὐτοὶ οἱ φιλόσοφοι οἵπερ ταῦτα ποιοῦσι, πέρας μὲν καὶ ἄπειρον στοιχεῖα ἐν τῷ μικτῷ, πρὸ δὲ τῶν στοιχείων τὸ μικτόν, ὡς καὶ ὁ Πλάτων, ἐπέκεινα δὲ τοῦ μικτοῦ πέρας πάλιν καὶ ἄπειρον τὰς δύο ἀρχὰς τῶν στοιχείων, οὐδὲ οὗτοι ὅμως ἀξιοῦσι πρὸ τῶν δύο ἀρχῶν ποιεῖν ἄλλην μίαν ἀρχὴν τὸ μικτόν. Ἔπειτα οὐδὲ οὕτως ἑκατέρα τῶν ἀρχῶν ἔχει μερικῶς ὡς ἑνὸς τῶν στοιχείων εἶναι ἀρχήν, τὴν μὲν πέρατος μόνου, τὴν δὲ ἀπειρίας, ἀλλὰ πάντων ἑκάτερον, τὴν μὲν ὡς διῃρημένων καὶ πολλῶν καὶ ἀπείρων, ἂν οὕτω τύχοι, τὴν δὲ ὡς ἡνισμένων καὶ ὡς ἑνῶν καὶ ὡς περατοειδῶν τῶν ἁπάντων· ὅλως γὰρ ἡ τῶν πολλῶν ἀρχὴ πολλοποιοῦσα διακριτική πώς ἐστι τῶν στοιχείων, εἴτε δυεῖν γε πρώτων, εἴτε πλειόνων, εἴτε τοῦ πεπληθυσμένου ἁπλῶς ἐν τῷ τρίτῳ πληρώματος· ἡ δὲ τοῦ ἑνὸς ἐπικαταλαμβάνουσα τὸ πρὸ τῶν πολλῶν ἕνωμα ποιεῖ, ὅπερ ἐστὶ τὸ μικτόν, οἷον ἐκ μερῶν καὶ ὅλου συγκείμενον, τῶν πολλῶν καὶ τοῦ ἑνός.

1.114 Ἆρα οὖν αἱ μεθέξεις τῶν δύο ἀρχῶν ἀποτελοῦσι τὸ μικτόν; πάλιν γὰρ εἰς τὸ ἓν καὶ τὰ πολλὰ ὡς ὄντα στοιχεῖα ἐπανήκει ὁ λόγος, ὃ δὴ καὶ τοὺς φιλοσόφους ποιοῦντας οὐκ ἀποδεχόμεθα. Ἢ τὸ τρίτον ἓν μέν ἐστι κατὰ τὴν μέθεξιν τοῦ ἑνός, πολλὰ δὲ καὶ οἷον πολλότης κατὰ τὴν ἀπὸ τῆς δευτέρας ἀρχῆς ὁμοειδῆ πρόοδον, καὶ οὔπω τὸ μικτόν. Ἀλλὰ τοῦτο μὲν παράγεται ἀπὸ μὲν τῆς ἀρχῆς οἷον μονοειδῶς, ἀπὸ δὲ τῆς δευτέρας οἷον δυοειδῶς, καθὸ καὶ μικτὸν ὀνομάζεται, ἀπ’ ἀμφοῖν δὲ ἑτεροειδῶς, ὡς μικτὸν ἀπὸ ἀμίκτων, καθάπερ ὁμοειδῶς ἀπ’ ἀμφοῖν ὡς ἓν πάντα καὶ πολλὰ πάντα. Ἐπειδὴ δὲ αἱ μεθέξεις ἀντιδρῶσιν εἰς ἀλλήλας, οἷα γεγονυῖαι ὁμοταγεῖς, ἐπληθύνθη μὲν τὸ ἓν καὶ διεκρίθη εἰς πλείω, συνῃρέθη δὲ τὰ πολλὰ καὶ γέγονεν ὁμοφυῆ. Καὶ τοῦτο μὲν τὸ πάθος ἕνωσις ἐγένετο, πεπόνθησις οὖσα τοῦ ἑνὸς ἐν πλήθει, ἐκεῖνο δὲ διάκρισις, πεπόνθησις οὖσα [τοῦ ἑνὸς ἐν πλήθει] τῶν πολλῶν ἐν ἑνί· καὶ οὕτως ἐν τῷ τρίτῳ συνεισῆλθεν ἕνωσις καὶ διάκρισις, ἐξ ὧν συνεπάγη τὸ ὅλον μικτό ν. Ἔτι δὲ κατὰ τὴν αὐθυπόστατον αὐτοῦ

πρόοδον τὸ μικτὸν ἀφ’ ἑαυτοῦ προεβάλετο, καὶ ἐν ἑαυτῷ τὰ στοιχεῖα συνδιῄρηκεν ἀντιτεταγμένα ἀλλήλοις. Καὶ γὰρ τὸ ὅλον ἐν ἑαυτῷ καὶ ἀφ’ ἑαυτοῦ τὰ μέρη ἐπιμερίζει· ὡσαύτως δὲ καὶ τὸ στοιχειωτόν, ὅπερ ἐστὶ τὸ μικτόν· προϋπάρχον δὴ τῶν στοιχείων, οἷά γε κρεῖττον αὐτῶν ὄν, ἐπιδιακρίνει ἐν ἑαυτῷ καὶ ἀφ’ ἑαυτοῦ τὰ στοιχεῖα· πρὸ γὰρ ἀεὶ τῶν διαιρουμένων τὸ ἀδιαίρετον ὑφέστηκεν. Εἰ δὲ καὶ οὕτω θεωροίης αὐτὰ προϊόντα ἀπὸ τῶν ἀρχῶν, οὐκ ἂν πόρρω βάλῃς τῆσγε ἐμῆς ἐλπίδος· τὸ μὲν γὰρ ἓν παράγοι ἂν τὸ ἕνωμα τοῦ μικτοῦ, αὐτό φημι τὸ μικτόν, τὸ δὲ στοιχειῶδες αὐτοῦ πλῆθος ἡ τῶν πολλῶν ὑμνηθεῖσα ἀρχή· ὡς δὲ ἡ ἀρχὴ τῆς ἀρχῆς ὑποστατική, καὶ τὸ ἕνωμα συνυφίστησι τῶν στοιχείων τὸ πλῆθος.

1.115 Ἀλλὰ τὰ στοιχεῖα τοδὶ καὶ τοδί, πέρας καὶ ἄπειρον, ἢ ἓν καὶ πολλὰ τὰ ἀντιταγῆ. Ὡς οὖν τοιαῦτα, τί τὸ παράγον; πάλιν γὰρ τὸ μὲν κρεῖττον ἀπὸ τῆς κρείττονος ἥκει ἀρχῆς, τὸ δὲ χεῖρον ἀπὸ τῆς χείρονος. Καὶ πάλιν τῶν ἀντιδιῃρημένων στοιχείων αἱ δύο ἀρχαί, ἢ ὁμώνυμα μόνον ταῦτα ἐκείναις, τρόπος δὲ ἄλλος τῆς ὑποστάσεως, ἢ κατὰ ἀναλογίαν, ἴσως καὶ ταῦτα παρήχθη τῶν δυεῖν ἀρχῶν. Οὐ μέντοι τὸ ἀπ’ ἐκείνης, τὸ δὲ ἀπὸ ταύτης, ἢ καὶ αὐτὸ τὸ μικτὸν ὑπέστησεν αὐτὰ καὶ διέκρινεν κατὰ τὴν δίδυμον ἑαυτοῦ μίαν φύσιν· ἓν γὰρ ὂν καὶ πολλὰ καί, ἁπλῶς εἰπεῖν, ἡνωμένον, κατὰ μὲν τὴν ἔμφασιν τοῦ πλήθους παρήγαγεν τὰ πολλά, κατὰ δὲ τὴν ἐπικράτειαν τοῦ ἑνὸς τὸ ἕν. Εἰ δὲ βούλει, καὶ ἡ δευτέρα ἀρχὴ ταῦτα ἐν τῷ τρίτῳ διῄρηκεν, ἀλλὰ καθ’ ἑαυτὴν μὲν τὰ πολλά, κατὰ δὲ τὴν συνοῦσαν αὐτῇ ἀπὸ τοῦ ἑνὸς ῥηθέντος ἑνότητα τὸ ἕν. Δύο δ’ οὖν ὄντα συμπέφυκε, καὶ ἡ σύμφυσις πρὸ τῆς διαφυῆς· καθὸ μὲν δὴ συμπέφυκεν, τὸ μικτὸν καὶ ἀπὸ τῆς ὑπερτέρας ἀρχῆς· ἴσως δὲ καὶ ἀπὸ ταύτης ἑκάτερον, ἀλλὰ τὸ μὲν αὐτῇ καθόσον, τὸ δὲ καθόσον σύνεστι τῷ ἑνί. Καὶ αὖ πάλιν ἀπ’ ἐκείνης ἑκάτερον· ἀλλὰ τὸ μὲν καθόσον αὐτή, τὸ δὲ καθόσον προείληφε τὴν δευτέραν ἀρχήν. Ἀλλ’ ἑνοειδῆ ἑκάτερα ἐν τῷ μικτῷ, τό τε πλῆθος τῶν στοιχείων καὶ τὸ πρὸ αὐτῶν ἕνωμα. Ἆρα οὐ μᾶλλον τὸ μικτὸν ἐκ τῶν δύο τούτων ποιητέον, ὧν ἑκάτερα πάντα, τὸ μὲν συναίρεμα ὂν πάντων, τὸ δὲ διάκριμα πάντων, τὸ δὲ ὅλον μικτὸν ἐξ ἀμφοῖν; Ὡς γὰρ ὁ νοῦς ὅλος καὶ ἅπαν εἶδος οὔτε τὰ πολλὰ αὐτοῦ μόνον, οὔτε τὸ ἓν μόνον, ἀλλὰ τὸ συναμφότερον, οὕτω καὶ μικτὸν ἂν εἴη τὸ πρῶτον οὐ τὸ ἕτερον, ἀλλὰ τὸ συναμφότερον. Ἢ οὕτω γε ποιοῦντες εἰς ἄπειρον ἥξομεν· ἔσται γάρ τι τὸ συναμφότερον πρὸς ἑκάτερον ἀντιδιῃρημένον, καὶ πάλιν ἄλλο ζητητέον συναμφότερον, ἐπεὶ καὶ ὅλον πρὸ μερῶν μόνον. Εἰ δὲ αὐτὸ ὅλον ἐξ ὅλου καὶ μερῶν, δεήσει καὶ ἄλλης ὁλότητος· εἰ δὲ ἐκ ταύτης καὶ δυεῖν ἐκείνων, πάλιν τὸ ὅλον δεήσει καὶ τρίτον, τοῦτο δὲ ἐπ’ ἄπειρον.

1.116 Εἰ δὲ στῆναι δεῖ, ἐπὶ τῆς πρώτης ὁλότητος μείνωμεν ὅλον καὶ μέρη λέγοντες μόνον, καὶ τὸ στοιχειωτὸν ἅμα τοῖς στοιχείοις. Ἆρα οὖν οὐκ ἄλλο νοοῦμεν τὸ ὅλον, καὶ ἄλλο τὰ μέρη, καὶ ἄλλο τὸ συναμφότερον τοῦτο ὃ οὐκ ἔστιν ἐξ ὁμοταγῶν, οὐδὲ ἐκ στοιχείων, οὐδὲ ἐκ μερῶν, οὐδὲ ὅλον, οὐδὲ σύνθετον, οὐδὲ ἄρα μικτόν; Ὅμοιον γὰρ συντιθέναι τι ἐξ αἰτίου καὶ αἰτιατοῦ· συναμφότερον γάρ τι καὶ τοῦτο εἴη ἄν, ἢ ἀπὸ χρωμένου καὶ ὀργάνου, ἢ ἐκ παραδείγματος καὶ εἰκόνος. Ἡ γὰρ τοιαύτη σύζευξις ἐν σχέσει τινὶ θεωρεῖται, ἀλλ’ οὐ συντάξει τῇ κατ’ οὐσίαν. Ἀλλ’ εἰ ἐν ἑνὶ τοῦτο εἴη τὸ συναμφότερον, ὥσπερ ἐν τῷ νῷ τὸ ἡνωμένον αὐτοῦ καὶ διακεκριμένον, πῶς οὐκ ἐξ ἀμφοῖν ὁ εἷς νοῦς; οὕτω δὲ ἐξ ἀμφοῖν ὡς τὸ ἡνωμένον προβαλλόμενον ἀφ’ ἑαυτοῦ τὸ διακεκριμένον. Μέσον γάρ τι ἔοικεν εἶναι τὸ τοιοῦτον ἀμφοῖν, τοῦ τε ὡς ἐκ στοιχείων συναμφοτέρου πρὸ τῶν στοιχείων ὄντος, καὶ τοῦ ἐξ αἰτίου καὶ τοῦ ἐξ αἰτιατοῦ, μηδενὸς ὄντος κοινοῦ κατ’ οὐσίαν, σχέσεως δὲ μόνης ἐν μέσῳ οὔσης, καὶ ταύτης μέντοι ἀπὸ τοῦ αἰτίου διατεινομένης εἰς τὸ αἰτιατὸν τὸ τοῦ νοῦ τοῦ τὸ ὁλοφυὲς δυεῖν πληρωμάτων συνεστῶτος, ἡνωμένου τε καὶ διακεκριμένου· τὸ γὰρ πᾶν ὁ νοῦς, ἐκεῖνα δὲ οὐ μέρη ἀντίστοιχα, πληρώματα δὲ τὸ ἕτερον ἐκ τοῦ ἑτέρου συνυφιστάμενον, ὡς ὁ οὐρανὸς ἔχει πρὸς τὸν ὑπουράνιον τόπον. Ἀεὶ γὰρ τὸ προϋφιστάμενον ἀπὸ τῆς χωριστῆς αἰτίας ἐπιδιακρίνει καὶ συνυφίστησι τῇ αἰτίᾳ τὸ δεύτερον πλήρωμα· σύνθετον δὲ ὅμως καὶ τὸ ἐκ τούτων

συναμφότερον· ἀλλ’ ᾗ σύνθετον, ὅλον, ἐπέκεινα δὲ μέρη, εἰ καὶ ὁλικώτερα μέρη. Καὶ γὰρ τοῦ κόσμου δύο τὰ γενικώτατα μέρη ὅ τε οὐρανὸς καὶ τὸ ὑπουράνιον ἅπαν, ἢ τό γε ὅσον ἀθάνατον καὶ ὅσον θνητόν, ἐπεὶ καὶ ὁ ὑλαῖος κόσμος ἐκ τῶν τριῶν τῶν ὑλαίων συμπληροῦται κόσμων, τῶν μερῶν λόγον πρὸς τὸ ὅλον ἐπεχόντων. Ἢ οὔτε σύνθετον τὸ τοιοῦτον, οὔτε ὅλον, οὔτε ἐκ στοιχείων, οὔτε ἐκ μερῶν, ἀλλά τις οἷον σειρᾶς ἐστι πρόοδος καθ’ ὑπόβασιν προποδίζουσα πρώτων καὶ μέσων καὶ τελευταίων· καὶ ἔχει μέν τινα σύνταξιν ὅλην φαινομένην, οὐ μὴν ὡς ὁλότητος πρὸς μέρη οὐδὲ ὡς πρὸς στοιχεῖα μικτοῦ πράγματος, ἀλλ’ ὅπερ εἴρηται, κατὰ τὴν συμφυῆ τῶν δευτέρων ἀεὶ πρὸς τὰ προηγούμενα καὶ πρὸς τὰ παράγοντα τῶν παραγομένων ἀλληλουχίαν.

1.117 Ὁ δὲ τοιοῦτος προποδισμὸς οὔπω ἐν τῷ πρώτῳ μικτῷ πέφηνεν, ἅτε πρώτῳ ὄντι καὶ οὔπω ὑποβάντι εἰς πρῶτον καὶ δεύτερον πλήρωμα; ἢ οὕτω γε καὶ τὸ πρῶτον ἔσται μικτόν, καὶ τὸ δεύτερον ὁμοίως μικτόν. Καὶ γὰρ ἐν τῷ νῷ μικτὸν ἑκάτερον, ἐπειδὴ ὁ νοῦς μικτὸς ἐκ μικτῶν· τὸ δὲ ἦν πάντων ἁπλούστατον μικτόν. Διὸ μᾶλλον ὡς ἐκ στοιχείων φαντάζοιτο μεμίχθαι μόνον· οὐδὲ γὰρ ὡς ἐκ μερῶν· πλείων γὰρ ὁ τῶν μερῶν μερισμός· ἐν διαστάσει γὰρ τὰ μέρη πρὸς ἄλληλα, τὰ δὲ στοιχεῖα συνῃρῆσθαι βούλεται μᾶλλον καὶ οἷον συγκεχύσθαι, μὴ προφαινομένης ἑκάστου ἐν τῷ μικτῷ τῆς ἰδιότητος, ὥσπερ τὰ εἴδη τὸ ἐναντίον ποιεῖ, περιγράφει ἕκαστον ἑαυτὸ κατὰ τὴν ἑαυτοῦ μορφήν· τὰ δὲ μέρη μέσως ἔχει, μεμέρισται μὲν γάρ· διὸ καὶ μέρη καλεῖται· ἀναλύειν δὲ ἐσπούδακε τὸν μερισμὸν τῇ πρὸς τὸ ὅλον ἀνανεύσει. Κατὰ λόγον ἄρα τὰ μὲν εἴδη ἐν τῇ τρίτῃ τάξει τοῦ νοητοῦ διαπέφηνε, τὰ δὲ μέρη ἐν τῇ μέσῃ, τὰ δὲ στοιχεῖα ἐν τῇ ἀκρότητι, ἐν ᾗ οὐδὲν ἴδιον οὐδενὸς διακέκριται ὡς ἀληθῶς, ἀλλὰ καταπέποται πάντα ὑπὸ τῆς τοῦ μικτοῦ μιᾶς ἑνώσεως, ἐπεὶ οὐδὲ τὰ πλείω στοιχεῖα ἐκεῖ πω διακρίνεται ὡς τόδε καὶ τοδί, ἀλλ’ ὡς ἐν τῷ πάντῃ ἡνωμένῳ τὸ πληθοειδὲς ἐμφαντάζεται διὰ τὴν ἁπλότητα τοῦ πρώτου μικτοῦ. Πολὺ γάρ τι μόνον, ἀλλ’ οὐ πλείω τινά, οἷον ἓν ὕδωρ πολυδιάκριτον· τοιοῦτον δὲ ὂν τὸ ἐκεῖ πλῆθος ὅμως καὶ τοῦτο συνῄρηται καὶ ὑποκέκρυπται τῇ ἑνώσει τούτου. Οὐκ ἄρα δύο πληρώματα τοῦ μικτοῦ, τὸ μὲν ἕνωμα, τὸ δὲ διάκριμα, καθάπερ ἐν νῷ, ἀλλὰ τὸ ὅλον μόνον καὶ ἄμικτον οὕτως ὡς μικτοῦ ἰδιότης ἐμφανεῖσα πρώτη· οὐ γὰρ ὡς ἐκ πλειόνων εἰς ταὐτὸ συγκραθέντων (τοῦτο μὲν γὰρ οὐδὲ τῷ μίγματι τῆς ἡμετέρας ψυχῆς προσήκοι ἄν τι δικαίως), ἀλλ’ οὐδὲ ὡς πλειόνων τινῶν ἐκεῖ τῷ ἑνὶ συναναφανέντων κατὰ ἀλήθειαν· ἀπὸ γὰρ τοῦ νοῦ ταύτας ἕλκομεν ἐπ’ ἐκεῖνο τὰς διακριτικὰς ὑπονοίας. Ἀλλ’ ὥσπερ τὰ πολλὰ κατὰ μίαν παντελῆ ἐθεωροῦμεν ἰδιότητα, πάντα ὅμως οὖσαν τὴν μίαν, οὕτω καὶ τὸ μικτὸν ὡς μίαν ἰδιότητα ἁπλῆν καὶ ἀσύνθετον, πάντα ὅμως οὖσαν ἐν τῷ ἁπλῷ, πλὴν ὅτι κατὰ τὴν τοῦ μικτοῦ τῶν πάντων ἰδιοτροπίαν.

1.118 Πάντα γὰρ κυρίως τὸ μικτόν, ἀλλὰ πρὸ πάντων τῶν κατὰ διάκρισιν πάντων κυρίως λεγομένων. Πάντα γὰρ ἐκεῖνο ἀδιακρίτως ἐστὶ κατὰ τὸ ἡνωμένον τῶν πάντων. Πάντα δὲ καὶ ἡ δευτέρα ἀρχή, ἀλλ’ ἔτι ἁπλούστερον. Οὐ γὰρ μόνον ἀδιακρίτως, ὡς τὸ ἡνωμένον, κατὰ σύνταξίν τε καὶ σύμπηξιν, εἰ θέμις εἰπεῖν, ἀλλὰ κατὰ τὴν τῶν πολλῶν ἁπλῶς ἀσύντακτον ἀπειρίαν καὶ τὴν κρείττω παντὸς ὅρου ἀοριστίαν· ὅρος γάρ τις καὶ ἡ τῶν πάντων περίληψις. Ἔτι μέντοι καὶ ἡ πρώτη πάντα, ἁπλούστερον δὲ καὶ αὕτη τῆς ἀορίστου καὶ ἀπεριλήπτου πάντα ὅμως οὔσης ἀρχῆς, κατ’ αὐτήν γε τὴν πρὸ τῆς ἀπειρίας ἁπλότητα τοῦ ἑνός, οὐδὲ εἰς τὰ πολλὰ χυθέντος, πολλῷ δὲ μειζόνως ἐξῃρημένου τῆς πάντων ἐν τῷ μικτῷ συντάξεως ἡνωμένης, ἐν ᾗ τὸ ἡνωμένον ὑπέστη κατὰ τὴν οἷον πῆξιν τῆς τῶν πολλῶν χύσεως τε καὶ ἀπείρου φύσεως, ἣν ῥύσιν τινὰ τοῦ ἑνὸς ὑπετιθέμεθα, ἣν παγεῖσαν τὸ μικτὸν εἶναί φαμεν καὶ τὸ πρῶτον ἡνωμένο ν. Ὥστε ὅσα πρόσθεν ἐλέγομεν διακρίνοντες τὰ ἐν τῷ μικτῷ, ἵνα μικτὸν αὐτὸ νοήσωμεν, νῦν πάντα εἰς ἓν συνάγομεν τῷ λόγῳ εἰς τὴν τοῦ μικτοῦ μίαν ἰδιότητα ἀδιάκριτον καὶ ὡς ἀληθῶς νοητὴν τῶν πάντων κορυφήν. Καὶ συγγνώμονας εἶναι παρακαλῶ τοὺς θεοὺς ἐπὶ τῇ ἀσθενείᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν τοιῶνδε νοημάτων καὶ ἔτι μᾶλλον τῶν δηλωμάτων. Ἄνευ γὰρ τῆσδε τῆς τῶν λόγων ἀντεπάλξεως καὶ τῆς μεταφορικῆς ταύτης ἀτεχνῶς ἀνάγκης, οὐδὲν ἂν οὐδοπωστιοῦν ἐνδειξαίμεθα περὶ τῶν πρωτίστων ἀρχῶν.

1.119 Τὰ μὲν δὴ τῶν Θεῶν οὕτως ἵλεα γένοιτο. Τὸν αὐτὸν δὲ τρόπον καὶ εἰ τὰς δύο ἀρχὰς ποιοῖ τις πέρας καὶ ἀπειρίαν, ὡς δοκεῖ ὁ Πλάτων, καὶ τὸ μικτὸν ἀπὸ τούτων γιγνόμενον Θεωρήσομεν, τὴν χύσιν τῆς ἀπειρίας τῷ περατοειδεῖ δεσμῷ καταπηγνύντες εἰς τὴν τοῦ πεπερασμένου μίαν ἄλλην ἰδιότητα, ἐν ᾧ καὶ πέρας καὶ ἄπειρον. Ἔστι γὰρ τὸ πεπερασμένον οὔτε πέρας οὔτε ἀπειρία, ἔστι δὲ τὸ συναμφότερον. Νοείσθω τοίνυν ὡς τὸ ἡνωμένον ἁπλοῦν καὶ ἀσύνθετον, οὕτω καὶ τὸ μικτὸν ἐκ πέρατος καὶ ἀπείρου ὡς πρὸ ἀμφοῖν· οὔπω γὰρ ἐκεῖ οὐδὲ ἡ τούτων διαίρεσις· ἀλλ᾽ ἔστιν ἐκεῖνο τοιοῦτον πρὸ τῶν δυεῖν. Ὁ αὐτὸς δὲ λόγος ἔσται καὶ τῆς συνθέσεως τῆς κατὰ ἀσθένειαν ἡμῶν συνεπινοουμένης καὶ τῆς διακαθαιρομένης ἁπλότητος τοῦ μικτοῦ. Καὶ εἴ τις μονάδα καὶ ἀόριστον δυάδα ποιοῖ τὰς δύο ἀρχάς, ἐκ τούτων τὴν ἡνωμένην τριάδα θεωρεῖ, οὐκ ἐκ τριῶν τινῶν συντιθεμένην, ἀλλ᾽ οὖσαν αὐτὸ τὸ ἓν τῆς τριάδος, καὶ διὰ τοῦτο μίαν οὖσαν τριαδικὴν ἰδιότητα πάντα παρεχομένην κατὰ τοῦτο τὸ ἕν. Οὕτω μὲν τοίνυν ἀπὸ τῶν πρώτων ἀρχῶν ὑφισταμένην τὴν τρίτην ἀποφανοῦμεν αὐτὸ τὸ πάντων ἐπέκεινα τῶν ἡνωμένων καὶ μικτῶν λεγομένων· κάτωθεν δὲ ἀπὸ τῶν προϊόντων ἐξ αὐτῆς ἀναγοίμεθα ἂν ἐπ᾽ αὐτὴν κατὰ ἀνάλυσιν· ἐκ πάντων μὲν ὁμοῦ, ὅτι πάντων κορυφὴ καὶ ἐκείνη. Συμπτύσσοντες δὲ ἀεὶ καὶ συναιροῦντες τὰς μὲν πολλὰς διακρίσεις εἰς τὰς πολλὰς ἑνώσεις, τὴν δὲ μίαν πρὸ τῶν πολλῶν διάκρισιν εἰς τὴν μίαν πρὸ τῶν πολλῶν ἕνωσιν, τὴν δὲ τούτων πρὸς ἀλλήλας ἀντιδιαίρεσιν ἥντινά ποτε καὶ ὁπωσοῦν οὖσαν εἰς τὴν μίαν καὶ ἁπλῆν καὶ πάντη ἀδιάκριτον καὶ ἀντίθετον, ὁμοῦ πάντα συνῃρηκυῖαν ἡνωμένην ἀκρότητα.

1.120 Καὶ εἰ βούλει, λέγω τὸ μικτὸν ἕνωμα τῶν πάντων, πρὸ πάντων γε ὂν τῶν μιγνυμένων· πάντα δὲ ἐν αὐτῷ μίγνυται· πάντα ἄρα, καὶ τοῦτο πρὸ πάντων, ὡς ἡ μονὰς ὁ πᾶς ἀριθμὸς καὶ ὁ ἄπειρος ἀεὶ προτιθέμενος· οὐ γὰρ ἀνελίξει ποτὲ τὸν ἐν τῇ μονάδι συνῃρημένον ὁ προποδίζων ἀπ᾽ αὐτῆς ἀεὶ ἀριθμός. Διὸ καὶ ταύτῃ τὸ μικτὸν ἐξ ἀπείρου καὶ πέρατος, ὅτι καὶ πάντων ὑπερήπλωται τῶν μεθ᾽ ἑαυτό, καὶ τὴν ἀπειρίαν συνείληφε τῶν ἐπ᾽ ἄπειρον ἐπ᾽ αὐτοῦ γιγνομένων· καὶ μονὰς ὅμως ἐστὶ κατὰ τὸ ἀληθέστατον οὐχ ἡ ἀρχὴ τοῦ ἀριθμοῦ, πολλοστὴ γὰρ αὕτη ἀπ᾽ ἐκείνης, ἀλλὰ τοιαύτη κατὰ ἔνδειξιν, οἷον μὲν τὸ ἓν τῆς πρώτης ἀρχῆς, οἷα δὲ τὰ πολλὰ τῆς δευτέρας. Ἡ γὰρ μονὰς πρὸ τοῦ ἀριθμοῦ σύγκρασίς ἐστι τοῦ ἑνὸς καὶ τῶν πολλῶν, ὥσπερ ἐκείνη τῶν δυεῖν ἀρχῶν. Τοιοῦτος δὲ καὶ ὁ νοητὸς ἀριθμὸς ὑμῖν φανεῖται, οἱάπερ αὐτὴ ἡ μονάς. Ἀλλὰ τοῦτο μὲν εἰσαῦθις ἀναβεβλήσθω. Ὅτι δὲ ἡ μονὰς καὶ τὸ ἓν ἔχει καὶ τὰ πολλά, παντὶ φανερόν, ἐπειδὴ καὶ πᾶς ἀριθμός· πρῶτος δὲ ἀριθμός, ἀλλὰ συνῃρημένος καὶ ἀδιάκριτος· διὸ καὶ τὸ ἓν τρανέστερον ἐν αὐτῇ καὶ τὸ πλῆθος ἀκριβέστερον· τὸ γὰρ ἁπλῶς ἐκεῖ πλῆθος καὶ τὸ ἄπειρον· διὸ καὶ ὁ πᾶς ἀριθμός, οὗ καὶ τὴν ἀπειρίαν ἡ γένεσις ἀνελίττουσα οὐκ ἄν ποτε πέρας εὕροι τῆς ἀνελίξεως. Διὸ καὶ ἡ μονὰς μικτὸν ἐκ τῶν ὁπωσοῦν λεγομένων προϋπάρχειν ἐν τῷ μικτῷ πολλῶν, λέγω δὲ τῶν πάντων ἀπ᾽ αὐτοῦ μὲν καὶ μετ᾽ αὐτὸ διακρινομένων, ἐν αὐτῷ δὲ ὄντων ἀδιακρίτων κατὰ μίαν φύσιν ἡνωμένην, παντοφυῆ, οὐκ αἰτίας πολλὰς περιέχουσαν τῶν μετ᾽ αὐτὴν (οὐδὲν γὰρ τῶν πολλῶν αἴτιον ἐκεῖ διάκρισις), ἀλλὰ μίαν αἰτίαν παντουργόν, μᾶλλον δὲ οὐδεμίαν αἰτίαν ἑτέραν παρ᾽ ἑαυτήν. Αὕτη γάρ ἐστιν ἡ ἐγνωσμένη φύσις, ἡ πηγὴ τῶν πάντων, οὐ κατὰ τὴν ἐν αὐτῇ περιεχομένην μίαν αἰτίαν, ἀλλὰ καθ᾽ ὕπαρξιν τὴν ἑαυτῆς. Ἆρα οὖν τὸ ἐκεῖ πλῆθος ἡνωμένον ὡς ἐξ εἰδῶν ἥνωται; ἀλλὰ νοῦ ἐστι τοῦτο τὸ μικτόν. Ἀλλ᾽ ἆρα ὡς ἐκ μερῶν; τοῦτο δὲ ἦν τοῦ ὅλου συναίρεμα, ἤ, εἰ βούλει, τῆς μέσης. Λείπεται ἄρα ὡς ἐκ στοιχείων. Ἀλλὰ πρῶτον μὲν οὐκ ἔσται τὸ ἁπλῶς ἐκεῖνο μικτόν, ἧπερ τὸ ἐκ στοιχείων. Εἶτα μέντοι καὶ ἔστιν ἴσως ἐκ πολλῶν εἶναί τι, ἢ πολλά, οὔπω δὲ οὔτε στοιχεῖα, οὔτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέρη, οὔτε εἴδη, ἀλλὰ μόνον πολλά· καὶ γὰρ ἕκαστον τούτων πολλά· κοινὸν ἄρα πᾶσι τοῖς πολλοῖς εἶναι.

1.121 Ἐκ δὲ αὖ τρίτων ἡ τῶν πολλῶν ἀρχὴ πολλοποιὸς ἦν μόνον, οὐ μέντοι στοιχείων, οὐδὲ μερῶν, οὐδὲ εἰδῶν· ὥστε εἰ καὶ πλῆθος ἐν τῷ μικτῷ, ἀλλὰ μόνον πλῆθος, οὐ μέντοι τὸ τοιόνδε οἷον εἰδῶν τε καὶ γενῶν, οὐδὲ μερῶν οὐδὲ στοιχείων. Ἀλλ' εἰ καὶ τοῦτο συγχωροῖ τις, οὐδὲ οὕτως ἔσται τὸ ἁπλῶς ἐκεῖνο μικτόν· οὐδὲ πάντων κορυφὴ μία ἀδιάκριτος, ἀλλ' οὐδὲ ἡ τῶν πολλῶν ἀρχὴ πάντων ἔσται ἁπλῶς αἰτία, ἀλλὰ μόνον ᾗ πολλὰ τὰ πάντα. Καίτοι πολλὰ ἐλέγετο κατὰ ἔνδειξιν, οὐχ ὅτι ἐκ πολλῶν ᾗ πολλά, οὐδὲ ἐκ στοιχείων ᾗ στοιχεῖα, οὐδὲ τῶν ἄλλων ᾗ ἐκεῖνα, ταῦτα γὰρ ἐν τῷ νῷ διώρισται πρώτως, λέγω δὲ τὰς τούτων αἰτίας πρώτας· διὸ καὶ ἀκριβολογεῖσθαι περὶ αὐτῶν ἀναβάλλομαι τὰ νῦν. Τὸ δὲ μικτὸν ἐκεῖνο ὡς ἐκ πάντων ὁμοίως καὶ πολλῶν καὶ στοιχείων καὶ μερῶν καὶ γενῶν καὶ εἰδῶν· καὶ γὰρ ἐκ συνθέτων καὶ ὅλων ἁπάντων, ἀλλ' ὡς εἴρηται, ᾗ πρὸ πάντων τὰ πάντα. Εἰ δὲ καὶ μίγμα αὐτὸ ποιοῖ τις ἐκ τῶν δυεῖν ἀρχῶν ὡς ἀπ' αὐτῶν προελθόν, οἷον ἐκ μητρὸς καὶ πατρὸς ἓν ἔκγονον τὸ πάντων ἐκγόνων πρώτιστον, οὐκ ἂν πόρρω βάλλοι τῆς δυνατῆς ὑπονοίας περὶ τῆς τρίτης ἀρχῆς ὡς μικτῆς εἶναι λεγομένης. Εἰ δὲ καὶ ὡς ἐκ τοῦ πάντα ἑνὸς καὶ τῶν πάντα πολλῶν, καὶ οὕτως ἂν ἔχοι τὴν ἔνδειξιν τῆς ἀπόρου καὶ ὑπερβαλλούσης. Ἐκεῖνο μὴν οὐκ ἄξιον παρελθεῖν ἀνεπισήμαντον ὅτι ἡ ὁπωσοῦν ἔμφασις ἐκεῖ τοῦ πλήθους οὐκ ἔστι τοῦ ἡνωμένου διάκρισις, ἀλλὰ τῶν ἔτι ἁπλουστέρων πολλῶν, καὶ οὕτω γιγνομένων, ἐξ ὧν τὸ ἡνωμένον τὸ ἤδη σύνθετον· ἡ δὲ τούτου διάκρισις πολλά ἐστιν ἡνωμένα, γιγνομένη μετὰ τὸ πρῶτον ἡνωμένον· ἐκεῖνο γὰρ ταύτῃ γε ἀδιάκριτον καὶ οἷον ἔτι ἓν τὸ ἡνωμένον. Ἀλλὰ καὶ περὶ τούτων εἰσαῦθις ἀκριβέστερον. Νῦν δ' αὖ πάλιν ἐξαρχῆς εἴπωμεν περὶ τῆς ἀρχῆς, ἥτις ἐστὶν οὐ κατὰ τὴν ἔννοιαν τοῦ μικτοῦ καὶ ἡνωμένου, ἀλλ' ὅτι ὂν καὶ οὐσίας κατά τινας ἐννοίας ἀληθεῖς ὄντες τὸ ἁπλῶς καὶ τὴν πρώτην οὐσίαν αὐτὴν εἶναί φασιν οἱ φιλόσοφοι.

1.122 Εἰ γὰρ καὶ μὴ εὐθὺς τὸ τρίτον λέγομεν εἰς τὸ οὐσιῶδες ὄν, ὥσπερ ἐκεῖνοι, ἀλλὰ πρὸ τούτου εἰς τὸ ἑνιαῖον, ὅμως διὰ τί ἡ τρίτη ἑνὰς αὐτὸ λέγεται εἶναι τὸ πρῶτον ὂν καὶ ἡ πρώτη οὐσία; Πρὸ δὴ πάντων τὰ σημαινόμενα διαιρετέον τῶν ὀνομάτων. Λέγεται γὰρ ὂν καὶ ἕν τι τῶν γενῶν τοῦ ὄντος, ἀντικείμενον τῷ μὴ ὄντι, καὶ ἀντιδιῃρημένον τοῖς ἄλλοις γένεσιν· εἰδητικόν γε ὂν τοῦτο ὄν, ἀλλ' εἰδῶν τῶν ἁπλῶν μετὰ τῶν ἄλλων τεσσάρων γενῶν. Καὶ ἐν Παρμενίδῃ πρὸ τῶν ὑποθέσεων συγκατείληχε καὶ τοῦτο τοῖς γενικοῖς εἴδεσιν. Ἕτερον δὲ λέγεται ὂν τὸ ὁλοφυὲς πλήρωμα τῶν γενῶν, ὅπερ οὐσίαν ἰδίως καλοῦμεν, ὡς ὁ Πλωτῖνο ς. Οὕτω δὲ καὶ ἐν Σοφιστῇ λαμβάνεται, ὅταν αὐτὸ ποιῇ πολλὰ πεπονθότα τὸ ἕν. Λέγεται ὂν καὶ ὅλον τὸ πρὸ ψυχῆς ὑφεστῶς, ὡς ἐν Πολιτεί ᾳ, καὶ οὐσίαν τοῦτο καλεῖ, συντάττει δὲ αὐτῇ προϊὼν καὶ τὸ τῆς ψυχῆς γένος. Οὕτω δὲ καὶ πρὸς τήνδε τὴν οὐσίαν πρώτην γένεσιν ἀξιοῖ καλεῖν τὴν ψυχήν. Λέγεται δὲ ὂν καὶ οὐσία τὸ ἄκρον τοῦ νοητοῦ παντός, ὃ δὴ καὶ ἁπλῶς ἐστι νοητόν, ὅπερ ἕν τε Σοφιστῇ ἀκίνητον ἐνδείκνυται εἶναι, καὶ ἐν τῷ Παρμενίδῃ κατὰ τὴν δευτέραν ὑπόθεσιν ὂν τὸ πρῶτον λαβών, καὶ ἓν ὂν ἀνευφημήσας ἀπ' αὐτοῦ παράγει πάντα τὰ ὁπωσοῦν ὄντα, ἢ εἶναι λεγόμενα ἢ γίγνεσθαι ἢ μὴ εἶναι, ὡς ἐκεῖ λέγεται.

1.123 Ἀνυμνεῖ δὲ αὐτὸ καὶ οὐσίαν, ἀρχόμενος εὐθὺς τῆς ὑποθέσεως. Πόθεν οὖν τούτων καὶ κατὰ τίνος ἔννοιαν ὄντος ἐπὶ τὸ ἡνωμένον ἐκεῖνο ἄνιμεν; ἆρα ἀπὸ τοῦ γένους, ὡς ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὸ ἁπλῶς ἓν ἀνηγόμεθα; καὶ γὰρ ἁπλοῦν τοῦτο τὸ ὄν, καὶ πρέπουσαν ἔχει τῷ πρώτῳ ὄντι τὴν ἔννοιαν. Ἀλλὰ ἐκεῖνο πάντα ἦν, καὶ μᾶλλον ἂν αὐτῷ κατὰ τοσοῦτον ἐοίκοι ἡ ἐκ πάντων οὐσία, οὐχ ἕν τι οὖσα, ἀλλὰ κόσμος ὁλοτελής. Ὡς γὰρ αὕτη πάντα ὁμοῦ, οὕτω καὶ ἡ τρίτη ἀρχὴ πάντα ἀδιακρίτως. Οὕτως ἀναγοίμεθα ἂν οὐκ ἀφ' ἑνὸς τῶν αὐτῇ προελθόντων, ἀλλ' ἀπὸ πάντων τῶν μετ' ἐκείνην διακριθέντων. Μήποτε δὲ συλλαβεῖν χρὴ καὶ ἐπὶ ταύτης τὸ μὲν ἁπλοῦν ἀπὸ τοῦ ἑνὸς γένους· τὸ δὲ σύμπαν καὶ πάμπληρες ἀπὸ τῆς ἐκ πάντων συντεθειμένης οὐσίας· ὥστε κατ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφότερα δικαίως ἂν καλοῖμεν τὴν ἡνωμένην ἀρχὴν οὐσίαν καὶ ὅ ν. Ἔστι γὰρ δήπου πρὸ παντὸς ἀεὶ πλήθους τὸ συναίρεμα τοῦ πλήθους, τῶν μὲν εἰδῶν εἰδητικόν τι συναίρεμα, τῶν δὲ γενῶν γενικόν, τῶν δὲ μερῶν τὸ ὅλον καλούμενον, τῶν δὲ στοιχείων τὸ στοιχειωτόν, τῶν δὲ ἁπλῶς πολλῶν τὸ ἕνωμα ἢ τὸ ἡνωμένον, τῶν δὲ πολλῶν ὄντων τὸ ἓν ὅ ν· ἔστι μὲν γὰρ καὶ τῶν ὄντων κορυφή τις μία καὶ ἀκρότης, ἀλλ' ὄντων μὲν ἁπλῶς, ὡς τὸ ἁπλῶς ὄν, ὡς δὲ πολλῶν καὶ διακεκριμένων ἕν τε καὶ ἡνωμένον. Εἰ τοίνυν τὸ ὄντα καὶ πολλὰ ταὐτὸν τῷ ὑποκειμένῳ, τὸ δὲ οὖσιν εἶναι καὶ πολλοῖς ἕτερον· οὕτω καὶ ἡ ἀκρότης μία κατὰ τὸ ὑποκείμενον, ἀλλ' ὡς μὲν πολλῶν ἡνωμένη, ὡς δὲ ὄντων τὸ ἁπλῶς ὄν. Οὐκ ἄρα ταὐτόν ἐστιν ἡνωμένον καὶ ὅ ν; ἢ τὸ μὲν ὡς γένος οὐ ταὐτὸν ἴσως· τὸ δὲ ὡς ἐκ τῶν γενῶν καλούμενον, ταὐτόν. Ἢ καὶ τὸ ἐκ τῶν γενῶν ἀπὸ τοῦ γένους καλεῖται ὄν, ὡς ἱστάμενον ἀπὸ στάσεως, καὶ κινούμενον ἀπὸ κινήσεως, καὶ ταὐτὸν καὶ ἕτερον ἀπὸ ταυτότητος καὶ ἑτερότητος. Οὐκοῦν καὶ ἓν καὶ πολλὰ ἀπὸ τῶν γενῶν· τὸ δὲ ἡνωμένον ἦν τὸ ἐξ ἑνὸς καὶ πολλῶν· ὥστε ταὐτὸν μὲν καὶ ἓν τὸ ὅλον μικτόν, θεωρεῖται δὲ καὶ ὀνομάζεται καθ' ἕκαστον τῶν στοιχείων. Τί οὖν; καὶ τὸ ἡνωμένον στοιχεῖον; οὔ φημί, οὐδὲ γὰρ τὸ κινούμενον οὐδὲ τὸ ἑστώς· ἢ οὕτω γε διπλασιάσωμεν· δεῖ γὰρ τὸ ὅλον ὀνομάζειν κατὰ τὴν ἀφ' ἑκάστου πεπόνθησιν· τὸ δὲ ποιεῖν στοιχεῖα τὰς πεπονθήσεις οὐδὲν ἄλλο ἐστὶν ἢ τὰς μεθέξεις ὑπάρξεις ποιεῖν.

1.124 Καὶ ἔτι ἐπ' ἄπειρον ἥξομεν· ἑκάστη γὰρ ὕπαρξις ἕξει τινὰ καὶ μέθεξιν ἐν ἑτέρῳ τῷ μετέχοντι, ἐπεὶ καὶ ὅλον καὶ μέρη στοιχεῖα· διὸ καὶ ταῦτα ἀντίκειται ἀλλήλοις· καὶ δὴ τὸ μικτὸν καὶ ἐκ τούτων κατὰ μὲν τὰ μέρη μεμερισμένον, κατὰ δὲ ὅλον εἰς τὸ ἀμέριστον. Ἀμέριστον δὲ λέγω τὸ ὅλον ὃ τῶν μερῶν ἐστι τὸ ἀμέριστον. Ἀλλὰ τὸ μὲν μικτὸν οὕτω θεωρεῖται καθ' ἕκαστον τῶν ἐν αὐτῷ μεμιγμένων. Ἔστι δὲ πανταχοῦ πρὸ τῶν διαιρουμένων τὸ ἀδιαίρετον, καὶ τὸ πάντων συναίρεμα πρὸ τοῦ πάντων διαιρέματος· αὐτοῦ τὸ ἄκρον ἑκάστου πλήρωμα ἀφ' οὗ πρόεισι τὸ λοιπόν. Οὕτω γὰρ καὶ τῶν πάντων μίαν κορυφὴν ἐτιθέμεθα τὸ ἡνωμένον παμπλήρη φύσιν καὶ μίαν παντοφυῆ, περὶ ἧς ζητοῦμεν εἰ ὂν κλητέον. Τῶν γε τοιούτων οὐκ ἔστιν ὄνομα κατὰ ἀλήθειαν, οὐδὲ νόημά τι τῶν διῃρημένων· ταῦτα μὲν γὰρ ἐν διακρίσει τινί, καὶ πάντως εἰδητικῇ ὅσα ὀνόματα· τὸ δὲ ἦν πάντῃ ἀδιάκριτον, καὶ πάντα συναιρετέον τῇ ἑαυτοῦ μονότητι. Πότε ἂν οὖν ἐξαρκέσειεν ἡ ἀπεστενωμένη τῶν ὀνομάτων ἰδιοτροπία, καὶ τῶν κατὰ τὰ αὐτὰ νοημάτων εἰς δήλωσιν ἢ περίληψιν τῆς πάντα καὶ πρὸ πάντων οὔσης μιᾶς ἡνωμένης ἁπλότητος; Ὅπου γὰρ οὐδὲ τῶν διῃρημένων εἰδῶν οὐδὲ τῶν ἐσχάτων ὁμοῦ πάντων ἢ ὄνομα ἔχομεν κοινὸν ἢ νόημα ἀθροῦν τι καὶ ὁλόκληρον προβαλλόμεθα, σχολῇ γε ἂν τοῦτο δυνηθείημεν ἐπὶ τῆς ἀκροτάτης ἅμα καὶ παντουχοῦ κορυφῆς. Τί δεῖ πολλὰ λέγειν, ὅτε οὐδὲ τῶν μερικῶν συναιρεμάτων οὐδ' ὁτιοῦν ὀνομάζειν ἔχομεν, πλὴν ἴσως ὅτι συναίρεμα καὶ μικτὸν ἢ ὅσα τοιαῦτα; οἷον καὶ τὸ ἡμέτερον σῶμα, ὅπερ ἐκ τῶν τεσσάρων στοιχείων συγκέκραται, τί ἂν ἔχοι ἴδιον ὄνομα; τὸ μὲν γὰρ σῶμα καὶ τῶν ἁπλῶν ἑκάστῳ πάρεστι· τὸ δὲ γήϊνον ἢ ὑγρὸν ἢ πνευματῶδες ἢ ἀερῶδες ἢ πύριον ἢ θερμὸν ἀπό τινος τῶν ἐν ἑαυτῷ καλεῖται τὸ ὅλον, αὐτὸ δὲ οὐκ ἔχει τὸ κοινὸν ὄνομα, κοινόν γε ὄν, ἀλλ' ἴσως ἀνθρώπειον, καὶ τὸ γενικόν, οἷον ζωϊκόν. Ἄλλο δὲ μίγμα φυτικόν, ἄλλο δὲ ἄψυχον καὶ τὰ μερικὰ τούτων.

1.125 Ἢ καὶ ἀνθρωπότης μία τίς ἐστι τῶν πολλῶν ἐν τῷ μικτῷ ἰδιοτήτων, ἐπιγίγνεται δὲ αὕτη τῷ μίγματι, ὥσπερ εἶδος ὕλῃ· ὥστε καθ' ἑαυτὴν ἡ ὕλη ἀνώνυμος. Καὶ τί θαυμαστόν, ὅτε καὶ τῶν εἰδῶν ἔνια ἄνευ ὀνόματος νοοῦμεν, ὡς τὸ γένος φησὶν ἐκεῖνος θερμότητος καὶ ψυχρότητος; Οὕτω δὲ καὶ τὸ μίγμα τῶν στοιχείων οὐκ ὀνομάζεται. Ἀλλὰ καὶ ἡ ἐπιθέουσα τῷ μίγματι κοινὴ ἰδιότης ἡ εἰδοποιοῦσα τὸ μίγμα, οἷον στοιχεῖόν ἐστι τοῦ ὅλου ὡς ἐξ ὕλης καὶ εἴδους; ἁπλῆ γάρ ἐστιν ὡς τὸ στοιχεῖον ἕκαστον. Ἢ οὐχ οὕτω γε, ἀλλ' ἔστι τοῦ μίγματος ἰδιότης, καθ' ἣν ἕκαστον λέγεται τῶν συνθέτων εἰδῶν καλουμένων πρὸς ἀντιδιαστολὴν τῶν στοιχειωδῶν τε καὶ ἁπλουστέρων γενῶν. Ἀλλὰ καὶ γένους ἑκάστου ἡ ἰδιότης ἁπλῆ· τὸ δὲ ἄλλο μίγμα τῶν ἄλλων

ἐστὶ κατὰ μέθεξιν ἢ προτέρων ἢ ὁμοστοίχων. Οὕτω δὴ καὶ νοῦς καὶ ζωὴ καὶ αὐτὸ δήπου τὸ ὄν· ὧν ἕκαστον μὲν πάντα· ἀλλ' ὁ μὲν κατὰ τὸ τοῦ νοῦ ἰδίωμα, ἡ δὲ κατὰ τὸ τῆς ζωῆς, τὸ δὲ κατὰ τὸ τοῦ ὄντος. Ἆρα οὖν καὶ τὸ ὂν οὐχ ἁπλοῦν ἰδίωμα, οἷον οὐσιότης καὶ ἡ ζωότης ἐπὶ τῆς ζωῆς καὶ ἡ νοότης ἐπὶ νοῦ; ἢ μᾶλλον ἔοικεν εἶναί τι μέσον στοιχείου τε καὶ τοῦ συνθέτου παντὸς εἴδους, οἷον τοῦ παντὸς νοεροῦ πληρώματος· τὰ μὲν γὰρ στοιχεῖα ἄλλοθεν ἥκει εἰς ἄλλο καὶ ἐν ὕλης τέτακται λόγῳ πρὸς τὴν εἰδοποιοῦσαν ἰδιότητα· αὕτη δὲ χαρακτηρίζει καὶ συνάγει καὶ ἀλλοιοῖ πρὸς ἑαυτὴν τὰ στοιχεῖα, πᾶσιν ἐξαρκοῦσα καὶ συμπαρατεινομένη τῇ ἑαυτῆς ἁπλότητι. Διὸ καὶ μᾶλλον ὁλόκληρος εἶναι βούλεται ἢ τῶν στοιχείων ὁτιοῦν. Ἕκαστον γὰρ ἐκείνης ἐστὶ καὶ ἀπ' ἐκείνης παρονομάζεται· καὶ γὰρ τὰ ἄλλα κατὰ ταύτην ἕστηκε· τὰ γὰρ τέσσαρα στοιχεῖα ἀνθρωπείως ἢ ἱππείως ἢ σεληνιακῶς ἢ ἡλιακῶς ὑφέστηκε· τὸ δὲ ἐξ ἀμφοῖν ὅλον τὸ εἶδος ἢ τὸ γένος ἢ ὁ νοῦς ἢ τὸ ζῷον ἢ ἡ ζωὴ ἢ τὸ ὄν, ὃ δὴ πρῶτον ὑποτιθέμεθα τῶν οὕτως ὑφεστώτων. Οὐ μὴν σύνθεσιν οἰητέον ἐπ' αὐτῶν ἡμᾶς λέγειν, ἀλλ' ἓν καὶ πολλὰ ἕκαστον εἶδος, ἓν μὲν καθό ἐστιν ἰδίωμα, πολλὰ δὲ κατὰ συνεδρεύοντα ἃ στοιχεῖα καλοῦμεν, ἀπὸ τοῦ ἑνὸς τὰ πολλὰ προϊόντα καὶ ἐν τῷ ἑνὶ μένοντα. Ὁ γὰρ νοῦς ἀπὸ τοῦ οἰκείου συναιρέματος ἀρξάμενος προάγει τὸ πλῆθος ἐν ἑαυτῷ τῶν γενῶν τε καὶ εἰδῶν· καὶ δὴ καὶ ἕκαστον εἶδος τὸν ὅλον νοῦν μιμούμενον ἀπογεννᾷ τὸ ἑαυτοῦ πλῆθος ἐν ἑαυτῷ τῶν γενῶν τε καὶ εἰδῶν· καὶ δὴ ἄλλα πολλὰ μὲν ὡς ἀφ' ἑνὸς προϊόντα, στοιχεῖα δὲ ὡς ἀπὸ ἡνωμένου, μέρη δὲ ὡς ἀπὸ ὅλου, γένη δὲ ὡς ἀπὸ οὐσίας συνθέτου, εἴδη δὲ ὡς ἀπὸ νοῦ.

1.126 Ἀλλὰ ταῦτα μὲν ἐς ὕστερον. Τὰ νῦν δὲ ἀναλαβόντες τὸν λόγον λέγομεν ὡς οὐκ ἔστιν ἓν ὄνομα τῷ σύμπαντι πληρώματι, ἀγαπητὸν δὲ ἡμῖν τὰς ἰδιότητας ψιλὰς ὀνομάζειν· ἐπειδὴ καὶ νοεῖν ταύτας μόλις δυνάμεθα προλαμβανούσας καὶ πόρρωθεν ἀποστενουμένας εἰς τὸ διακεκριμένον καὶ οἷον ἄτομον τῶν ἡμετέρων νοημάτων, τὸν αὐτὸν οἶμαι τρόπον καὶ τὰ ὄρη πόρρωθεν ὅτι μικρότατα καὶ ἀδιάρθρωτα ἔτι ταῖς ἡμετέραις ὄψεσιν, ἀλλὰ καὶ τῶν ἀστέρων καὶ ἡλίου καὶ σελήνης τὰ προαπαντῶντα φωτίσματα τοῖς ὄμμασιν ἡμῶν, εἰς στενόν τι καὶ ἀμυδρὸν συνελαύνεται καὶ σύμμετρον πρὸς ἡμᾶς διὰ τὴν ὡς ἀπὸ πλείστου τῶν φαινομένων ἀπορροήν. Τοιοῦτον γάρ τι ἕτερον καὶ περὶ τὴν προλάμπουσαν τῶν εἰδῶν μαρμαρυγὴν οἰόμεθα πάσχειν τὰς ὄψεις τῆς ἡμετέρας ψυχῆς. Ἆρα οὖν αἱ ἁπλαῖ ἰδιότητες αὗται φανταζόμεναι ἀποστενώσεις εἰσί, καί τινες ἀπομειουρισμοὶ τῶν ἐκεῖ ὁλοκλήρων ὄντων πληρωμάτων; ἢ αὗται μέν, αἱ ἡμῖν τοιαῦταί τινες, οὐ μέντοι αὗται μόνον εἰσὶν αἱ ἁπλαῖ ἰδιότητες, ἀλλὰ καὶ ἐν ἐκείνοις πλουσιώτερον μὲν καὶ τρανέστερον, ἁπλαῖ δὲ ὅμως προλάμπουσιν ἐπικρατοῦσαι τῶν συνόντων ἁπάντων τῷ οἰκείῳ φωτί, καὶ διὰ τοῦτο καὶ μεχρὶς ἡμῶν οὕτω πόρρωθεν ἐκνικῶσαι καὶ ὁπωσοῦν, καίτοι τῶν ἄλλων ἀποσβεννυμένων καὶ μὴ συνεκπιπτόντων. Καὶ γὰρ τῶν ὀρῶν καὶ τῶν ἄλλων ὅσα πόρρωθεν ὁρᾶται τὰ κοινότερα προτρέχει τῶν μερικωτέρων ὑποκρυπτομένων. Ἀλλὰ γὰρ τὸ ἐξαρχῆς πάλιν ἀναληπτέον ὡς τὴν ἀκρότητα τῶν ὄντων ὀνομάζομεν ὂν καὶ οὐσίαν, οὐκ ἀπό τινος ἰδιότητος ἀφωρισμένης καί, ὡς εἴρηται, προλαμπούσης· ἐν διακρίσει γὰρ αὗται πᾶσαι αἱ ἰδιότητες· τὸ δέ ἐστι πάντα καὶ πάντων ἀρχὴ καὶ πρὸ πάντων ἀρχή, ὡς ἡνωμένον διακεκριμένων καὶ ὄντων καὶ ζώντων καὶ γιγνωσκόντων καὶ ὁπώσποτε ὑφεστώτων. Ὡς ἄρα ταῦτα πάντα διακριδόν, οὕτως ἐκείνη ὁμοθυμαδὸν τοσαῦτα συνῃρημένη τῶν πάντων ἡ φύσις· καλεῖται δὲ ὅμως κατὰ ἔνδειξιν ὂν ἀπό τινος τῶν μετ' αὐτὸ καὶ ἀπ' αὐτοῦ, ἀλλὰ δευτέραν φύσιν λαχόντος μετὰ τὸ ἕν.

1.127 Τοῦτο μὲν γὰρ ἔπρεψε τῇ πρώτῃ ἀρχῇ. Γιγνέσθω τοίνυν ἡμῖν ἡ ἄνοδος ὥσπερ ἀπὸ τῶν διακεκριμένων ἐπὶ τὸ ἡνωμένον, οὕτως ἀπὸ πάντων τῶν ὁπωσδὴ ὄντων, καὶ ὡδὶ ἢ ὡδὶ καλουμένων ὄντων· ἀλλ' ἡ μία πηγὴ ἀδιάκριτος ἔτι τῶν ἀπ' αὐτῆς διαιρουμένων πολλῶν καὶ διαφόρων ὑποστάσεων ῥίζα οὖσα ἀνεκφοίτητος τοῦ ἑνός, καὶ διὰ τοῦτο ἡνωμένη ἐπὶ τῶν ἐκφυομένων ἀπ' αὐτῆς οἷον κλάδων μυρίων. Ἔστιν δὲ δή τι καὶ οἷον στέλεχος ἀπ' αὐτῆς, ὃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὔπω κλάδοι, κατὰ μέρος δὲ πάντως καὶ τὸ θεωρούμενον, ἀλλὰ μήπω ταῦτα Ὅτι δὲ ἐν τῷ ἑνὶ καὶ περὶ τὸ ἓν τὸ νοητὸν οὐσίωται, πολλαχοῦ κηρύττει καὶ ὁ Ἰάμβλιχο ς· ὡς δὲ τὸ ἓν οὐ τοδὶ τὸ διωρισμένον, οὐδὲ ᾧ ἐπιβάλλει τις ἔννοια ἡμετέρα ὥς τινι τῶν πάντων, ἀλλὰ κατὰ ἔνδειξιν τὴν ἀνὰ τούτου, εἰς τὸ πρὸ πάντων ἡμᾶς ἀνάγουσα, καὶ ὅ ἐστι πάντων μιὰ ἁπλῆ φύσις, οὕτω δὴ καὶ τὸ ἀπ' ἐκείνου καὶ περὶ ἐκεῖνο συνιστάμενον καὶ ὂν οὐδέν ἐστι τῶν πολλῶν, οὐδέ τινι ἡνωμένον, οὐδὲ ὅ ἐστι κατὰ τὸ εἶναι μόνον ὁρώμενον, ἀλλὰ κατὰ ἔνδειξιν, καὶ τοῦτο τὴν ὁμοῦ πάντα συνῃρηκυῖαν καὶ πάντα αὐτοταθεῖσαν πρὸ πάντων γε τῶν ἀπ' αὐτοῦ διακρινομένων, ὡς εἴρηται πολλάκις. Καὶ ὂν τοίνυν ὄντα καλοῦμεν τὰ πάντα, οὕτως ὂν ἐκεῖνο πρὸ πάντων. Εἰ δὲ τὰ πάντα ὄντα ἀφ' ἑνὸς τοῦ ὄντος, καὶ ἐκεῖνο ἀπὸ τούτου, ὅτι καὶ αὐτὸ ἐν αὐτῷ συνῄρηται· τὸ γὰρ σύμπαν οὐκ ἔχει ὄνομα ἴδιον, ὅτι πᾶν ὄνομα διακριτικόν ἐστι καὶ μιᾶς ἰδιότητος ἐπιλαμβάνεται μόλις, καθάπερ δὴ καὶ ὁ ὁρισμός. Ἀπὸ μὲν τῶν ὄντων ἀναβατέον ἐπὶ τὴν μίαν τῶν πάντων κορυφήν, τήν τε ἑνιαίαν ἀπὸ τῶν διακρινομένων ἑνάδων, καὶ τὴν οὐσιώδη ἀπὸ τῶν οὐσιῶν. Φέρε δὲ νῦν ἀπὸ τῶν πρώτων δυεῖν ἀρχῶν ὅπως ἡμῖν πρόεισιν ἡ τρίτη κατὰ τὸ ὂν θεωρήσωμεν.

1.128 Ὅτι μὲν γὰρ τὸ ἓν καὶ τὰ πολλὰ τὸ ἡνωμένον, ἐνδεικνύμεθα πρότερον. Πῶς δὲ καὶ τὸ ὂν πρῶτον συνέστη, καὶ ὑπέστη τὸ ὂν οἷον συμπαγὲν εἰς τὸ εἶναι; τῶν δὲ πρὸ αὐτοῦ ἀρχῶν ἀνέφυγεν ἑκατέρα εἰς τὸ μὴ εἶναι, κρειττόνως ἡ μὲν δευτέρα εἰς τὴν τοῦ πλήθους ἀχάνειαν, οἷον χυθεῖσα ἐπ' ἄπειρον, καὶ οὐδαμοῦ στῆναι δυνηθεῖσα, μᾶλλον δὲ οὐκ ἀνασχομένη πόθῳ τῆς ἀπείρου φύσεως, ἡ δὲ πρώτη εἰς τὴν ἁπλότητα καὶ τὴν ἀμέρειαν τοῦ ἑνός, οὐδὲν ἄλλο βουληθεῖσα εἶναι ἢ ἕν, ὥς γε οὐδὲ εἶναι οὐδὲ βουληθεῖσα. Διόπερ ἡ τρίτη πρώτη συστᾶσα καὶ ὑποστῆναι σπουδάσασα τὴν τοῦ ὄντος ἀρχὴν παρέσχετο, δι' ἣν καὶ πᾶν ὑφιστάμενον οὔτε ἓν μόνον ἐστὶν οὔτε πολλὰ μόνον ἐστίν, ἀλλ' ἓν καὶ πολλά, μᾶλλον δὲ ἡνωμένον καὶ πεπληθυσμένον, ᾗ ἀρκεῖ τὸ ἡνωμένον, ἔχον ἐν ἑαυτῷ τὴν τοῦ πεπληθυσμένου καὶ ὅπως ἔμφασιν. Ἐν γὰρ τῇ τρίτῃ οὔτε τὸ ἓν ἔμεινεν ἀπαθὲς ὑπὸ τῶν πολλῶν, ἀλλὰ διεκρίθη πως ἐν τῇ πρὸς τὰ πολλὰ συντάξει, οὔτε τὰ πολλὰ τὴν οἰκείαν ἐφύλαξεν ἄπειρον χύσιν, ἀλλὰ συνεστράφη κατὰ τὴν τοῦ ἑνὸς ὁρίζουσαν ἀεὶ τὸ παρὸν θείαν ἀνάγκην. Ἐκ δὲ ἀμφοῖν τὸ ἡνωμένον ἐγένετο καὶ τὸ ὂν ἐπεπόνθησε κατὰ τὴν σύστασίν τε καὶ τὴν ὑπόστασιν. Ἔτι δὲ καὶ ἄλλως τὰ πολλὰ προάγειν πέφυκε τὰ διακεκριμένα, τὸ δὲ ἓν ταῦτα συνάγειν εἰς ἕνωσιν. Ὡς οὖν ἡ δευτέρα ἀρχὴ μετὰ τὴν πρώτην εὐθύς, οὕτω καὶ τὰ πολλὰ προϊόντα περὶ τὸ ἓν πρόεισι τὸ ἀπ' ἐκείνου καὶ ὑπ' αὐτοῦ, ὃ συνδεῖται καὶ ἀνακαλεῖται πρὸς ἕνωσιν, ὅτι καὶ ἡ δευτέρα ἀρχὴ ἐν τῇ πρώτῃ ἵδρυται. Τὸ ἐξ ἀμφοῖν ἄρα οὐδὲ ἓν μόνον, οὔτε πολλὰ μόνον, ἀλλ' ἓν καὶ πολλά. Τοῦτο δὲ ὂν καλοῦμεν, ἐκστὰν μὲν ἀπὸ τοῦ ἑνός, ἐκστὰν δὲ ἀπὸ τῶν πολλῶν, ἄλλο δὲ μετ' ἄμφω τρίτον γενόμενον, ὄνομα μὲν οὐκ ἔχον ἴδιον· οὐδὲ γὰρ αἱ ἀρχαὶ αὐτοῦ ἰδίοις ὀνόμασιν ἐκαλοῦντο· ὡς δὲ ἐκεῖναι κατὰ ἔνδειξιν ὀνομάζονται ὀνόμασι τοῖς τῶν διωρισμένων καὶ μετ' αὐτάς, οὕτω καὶ ἡ τρίτη αὕτη ἀρχὴ οὐσία καὶ ὂν ἀνυμνεῖται, ὅτι πρῶτον ἡνωμένον ἐστὶ καὶ ἓν καὶ πολλά, ὥσπερ ἕκαστον ἔχον ὁρᾶται τῶν ὄντων. Ἀλλ' εἰ τὸ ἡνωμένον τὸ ὄν, διττὸν δὲ ἑκάτερον, ἢ ἑνιαῖον, εἰ καὶ τῇ ἰδιότητι ὄν ἐστι καὶ ἡνωμένον, ἢ αὐτόθεν καὶ καθ' ὑπόστασιν ὄν τε καὶ ἡνωμένον, τί τὸ διαστῆσάν ἐστι τοῦ ἑτέρου ἑκάτερον; καὶ τί γὰρ ἂν διαφέροι τὸ πρῶτον ἡνωμένον τοῦ πρώτου ἡνωμένου, τὸ ἑνιαῖον τοῦ οὐσιώδους; πῶς δ' ἂν καὶ εἴη τὸ ἡνωμένον κατὰ τὴν ὕπαρξιν, εἴπερ τὸ πεπονθὸς ἓν καλεῖται ἡνωμένον, τὸ δὲ ὑπερούσιον ἓν οὐ πέπονθεν, ἀλλ' αὐτὸ ἓν εἶναι βούλεται; Ἢ ὥσπερ τὸ σῶμα διττόν, τὸ μὲν τοῦτο ὃ καὶ διέστη τριχῇ, τὸ δὲ πάντῃ ἀδιάστατον καὶ ἀσώματον, σῶμα δὲ ὅμως κατὰ τὴν ἰδιότητα τὴν παραδειγματικήν, καὶ ψυχὴ ὁμοίως, ἡ μὲν αὐτὴ ἡ πρώτη καλουμένη γένεσις, ἡ δὲ νοῦς οὖσα καὶ θεὸς κατὰ τήνδε στᾶσα τὴν ἰδιότητα.

1.129

Καὶ δὴ καὶ τὸ παράδειγμα οἷον τὸ αὐτὸ καλὸν καὶ τὸ αὐτὸ δίκαιον ἢ νοερόν τι εἶδος καί τις οὐσία, ἢ πρόληψις ἐν θεῷ καὶ θεός, ὥς φησιν ὁ Παρμενίδης, ὅπερ οὐκ οὐσία τις, ἀλλ' ἓν ὑπερούσιον· καλὸν δὲ ὅμως καὶ δίκαιον πρὸ τοῦ εἰδητικοῦ τὸ ἑνιαῖον. Οὕτω δὲ καὶ νοῦς ὁ ὅλος ὁ μὲν οὐσία, ὁ δὲ ἑνὰς προβαλλομένη τὸν νοῦν χαρακτῆρα· καὶ ζωὴ ὁμοίως. Οὕτως ἄρα καὶ τὸ ὂν καὶ τὸ ἡνωμένον· τὸ μὲν ἔσται ἑνιαῖον, τὸ δὲ οὐσιῶδες, ἀλλ' ἑκάτερον μικτόν τε καὶ ἐκ πλειόνων· ἢ καὶ τὸ μικτὸν κατὰ τὴν ἰδιότητα μόνην, καὶ τὸ ἐκ πλειόνων ὡσαύτως. Οὐ γὰρ ὅτι πλείω ἐκεῖ, ἓν γὰρ μόνον, ἀλλὰ τὸ ἓν κατὰ τὴν ἰδιότητα τῶν πλειόνων. Καὶ πλῆθος ἑνιαῖον, ὡς τὸ ἓν ἀριθμοῦ ἑκάστου τριαδικὸν ἕν, καὶ οὐ τὸ ἁπλῶς ἕν, ἔτι μέντοι καὶ τοῦ ἀριθμητικοῦ ἑνὸς ἁπλούστερον. Ἐπειδὴ δὲ καὶ τὸ πλῆθος τοῦ ἀριθμοῦ ἁπλούστερον, ὅτι καὶ ἐκ τοιούτων, ἐκ μονάδων γὰρ πολλῶν ὁ ἀριθμός, τὸ δὲ πλῆθος ἐξ ἑνάδων συμπληροῦται, πολλοστὴ δὲ ἀπὸ τῆς ἑνάδος ἡ μονάς, εἴπερ εἰδητικὴν αὐτὴν λάβοιμεν καὶ τὸν κατ' αὐτὴν ἀριθμόν, τὸ μὲν δὴ ἡνωμένον ἐκεῖνο καὶ τὰ πλείω ἐν αὐτῷ καὶ τὸ μικτὸν κατὰ τὴν ἰδιότητα μόνην· καὶ ἔστι τοιόνδε ἓν τρίτον ἀπὸ τοῦ πρώτου, καὶ διὰ τοῦτο τριάς, καὶ διὰ τοῦτο τὸ μικτόν. Τὸ δὲ ὂν αὐτὸ καὶ καθ' ὑπόστασίν ἐστιν ἡνωμένον, καὶ τὰ πλείω ἐν αὐτῷ διακέκριται, εἰ μὴ καὶ κατὰ ἀριθμόν, ἀλλὰ κατὰ πλῆθος, ἢ 〈εἰ〉 μὴ καὶ τὸ διερριμμένον, ἀλλὰ τὸ συμπεφυκὸς ἐν αὐτῷ καὶ ἡνωμένον ἀτεχνῶς. Ἀλλ' εἰ πλείω καὶ ὁπωσοῦν ἐπινοεῖται ἕκαστον, τί ἂν εἴη; μονὰς μὲν γὰρ οὐκ ἂν εἴη, ὅτι μεμόνωται, εἰς δὲ τὸν διορισμόν, τιτανικὴ γάρ πως ἡ μονάς· τῶν δὲ ἐκεῖ πλειόνων ἕκαστον οὐδὲ ἕκαστον εἶναι βούλεται, ἀλλὰ καὶ τὰ ἄλλα πάντα, μᾶλλον δὲ ἓν ἀντὶ ἁπάντων, ἀλλὰ τὰ πάντα συνῃρηκός.

1.130 Πρῶτα γὰρ ἐκεῖνα κέρματα τοῦ ἑνός, καὶ διὰ τοῦτο περιέχεται εὐθὺς τῆς ἑνώσεως καὶ συμφύεται, εἰ θέμις εἰπεῖν, πρὸ τῆς διακρίσεως· ὠδίνει γὰρ μόνον αὐτήν, καὶ τοῦτό ἐστιν ἡ ὅλη τῶν ἐκεῖ πλειόνων διάκρισις. Ἆρα οὖν ἔτι ἕν; καὶ οὐκ ἄρα πω ἡνωμένον; ἢ αὐτὸ τὸ ἡνωμένον, ἢ τοῦ ἑνὸς ὠδίς ἐστιν εἰς διάκρισιν, καὶ ἔστιν οὐδὲν ἄλλο, ὡς ἔοικεν, ἢ τὸ ἓν κεκυηκὸς τὰ πολλὰ καὶ διὰ τοῦτο ἐκστὰν τοῦ ἑνός. Τί δεῖ οὖν ἕκαστον τῶν ἐκεῖ πλειόνων, ἀλλὰ ἡνωμένον; ἀλλ' οὔπω μερισμὸς ἐγένετο τοῦ ἡνωμένου· δεῖ γὰρ αὐτὸ προϋπάρχειν τῶν ὑπ' αὐτοῦ μεριζομένων· ἓν ἄρα ἕκαστον· εἰ δὲ τοῦτο, καὶ τὸ σύμπαν ἕν, ἀλλ' οὐχ ἡνωμένον· οὐδὲ γὰρ τὰ πολλὰ σημεῖα γραμμή. Ὅλως δὲ ἢ αὐτοτελὲς τοῦτο τὸ ἓν ἢ ἀτελές. Ἀλλ' εἰ μὲν τοῦτο, πῶς προῆλθεν ἐκεῖ καὶ ἀπὸ τίνος τὸ ἀτελές; εἰ δὲ ἐκεῖνο, πῶς, εἰ πολλοὶ θεοί, τὸ τρίτον εἷς θεὸς ὑμνεῖται κατὰ τὸ ὄν; πῶς δὲ τὸ ὂν πολλαὶ οὐσίαι, ὅ γε πάντα φαμὲν ἀδιακρίτως; Ἔτι δὲ ἄν τις ἀπορήσειεν πῶς τὰ πλείω προϋπονοηθήσεται τοῦ μικτοῦ λεγομένου· ἀεὶ γὰρ τὸ κοινὸν πρὸ τῶν ἰδίων ἐκεῖ, καὶ τὸ ἡνωμένον ἢ ὂν πρὸ τῶν διακεκριμένων ἑκασταχοῦ καὶ ὁπωσοῦν· γενέσεως γὰρ καὶ τῆς ἐσχάτης ἡ ἀπὸ τοῦ ἀτελεστέρου εἰς τὸ ἀτελειότερον πρόοδος. Λέγωμεν τοίνυν θεὸν παρακαλέσαντες ἡμῖν συλλαβέσθαι καὶ συγγνῶναι μέντοι τῷ λόγῳ γλιχομένῳ μὲν ἀεὶ τὰ τῆς μιᾶς ἐκείνων ἀληθείας, ἀποσυρομένῳ δὲ διὰ τὴν οἰκείαν ἀσθένειαν ἄλλοτε ἐπ' ἄλλας ἐννοίας· λέγωμεν δὴ οὖν πρὸς τὸ ἡνωμένον· ἐκεῖνο τὸ πρῶτόν ἐστιν ἡνωμένον τὸ μάλιστα, ὥστε οὐδὲ ὁπωστιοῦν διακεκριμένον οὐδὲ διακρινόμενον. Οὐκ ἄρα οὕτως ἐστὶν ἓν καὶ πολλὰ ὡς μετὰ τὸ ἓν τὰ πολλά, οὔτε οὕτω μικτὸν ὡς ἐκ πολλῶν τὸ ἕν, ἀλλὰ μία φύσις, ἣν οὔτε ἓν οὔτε πολλὰ δυνάμενοι καλεῖν ἓν καὶ πολλὰ συμπτύξαντες ἐθέμεθα κατὰ τὸ ἡνωμένον, ὅπερ τοσοῦτον ἐφάνη πολλὰ ὅσον ὑπέβη τὸ ἕν, καὶ ἓν τοσοῦτον ὅσον ὑπερέχει τῶν πολλῶν τῆς διακρίσεως, ὃ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἡνωμένον οὐ σύνθετον εἶναι βουλόμενον, ὡς ἄν τῳ δόξειεν, ἀλλὰ μέσον τοῦ ἑνὸς καὶ τῶν ἐν διακρίσει τινὶ πολλῶν.

1.131 Διόπερ ἔμφασιν ἔχοι ἂν διακρίσεως, οὐ μέντοι τῷ ὄντι διάκρισιν. Τί γὰρ ἔδει μέσον ὑποστῆναι τῶν ἤδη διακρινομένων καὶ τοῦ ἑνὸς πάντη; ἢ τὸ ἓν μέν ἐστι, ἔτι δὲ ἀδιάκριτον. Τοῦτο δὲ ἦν τὸ ἡνωμένον, διὸ καὶ τὸ πρῶτον ὂν εἶναι δοκεῖ, καθόσον ἡ τοῦ ὄντος ἔννοια οὔτε ἁπλούστατόν τι, οὐδὲ ἀναίνεται τὸ ὁπωσοῦν πεπληθυσμένον, ὥσπερ τὸ ἕν, οὔτε μέντοι δέχεται διάκρισιν, ὅγε

ἐστὶν ἓν μόνον καὶ ἁπλῶς ὄν. Ἐὸν γὰρ ἐόντι πελάζει, φησὶν ὁ ἐν τοῖς ἔπεσι Παρμενίδη ς· διὸ καὶ ἓν αὐτὸ καλεῖ, ὅτι μόνον τὸ ἓν ἂν πεπόνθοι, ὡς λέγει Πλάτω ν· ἔστι δὲ τῶν πολλῶν ὄντων οὐδέν, ἀλλ' αὐτὸ τὸ ὄν· καὶ τὸ ὂν ἄρα ὥσπερ τὸ ἡνωμένον εὐθὺς τὸ μετὰ τὸ ἓν καὶ πρὸ τῶν διακρινομένων ἁπάντων. Τοιούτου δὲ ὑποτεθέντος ἡμῖν τοῦ ἡνωμένου, οὐδεμίαν ἔτι χώραν ἔχουσι αἱ ἀπορίαι. Φέρε δὲ νῦν κατὰ ἄλλην ἐπιβολὴν ἀποδείξωμεν τὴν τρίτην ἀρχήν, ὅπως ἂν ἔχοι λόγον πρὸς τὴν οὐσίαν τε καὶ τὸ ὄν. Οὐκοῦν τοῦτο λέγομεν εἶναι ὃ δύναταί τι καὶ ἐνεργεῖ. Ὃ γὰρ ἔστι μέν, ὡς δόξειεν, οὐκ ἐνεργεῖ δέ, τοῦτο οὐδὲ εἶναί φαμεν. Οὐκοῦν ἡ μὲν πρώτη ἀρχὴ κατὰ τὴν ὕπαρξιν θεωρεῖται, ὡς ἐν τοῖς λογίοις, ἡ δὲ δευτέρα κατὰ τὴν δύναμιν σαφῶς οὕτω καὶ λέγεται· ἡ τρίτη ἄρα προσλήψεται καὶ τὴν ἐνέργειαν· ἔσται ἄρα καὶ ὑπάρχουσα καὶ δυναμένη καὶ ἐνεργοῦσα· τοῦτο δὲ οὐσία καλεῖται καὶ ὄν· διὸ καὶ τριάς· διὸ μετὰ τὴν ὕπαρξιν ἡ οὐσία, ὅτι σὺν δυνάμει καὶ ἐνεργείᾳ, πρὸ δὲ τούτων ἡ ὕπαρξις αὐτὸ οὖσα τὸ πάντων ὑποστατικὸν αἴτιον, ὡς ἡ δύναμις τῶν πάντων δυναμωτικόν, ὡς ἡ τρίτη ἀρχὴ τὸ πάντων μὲν ἐγερτικὸν εἰς ἐνέργειαν, αὐτῷ δὲ τούτῳ πάσης οὐσίας γεννητικὸν τῆς ἅμα ὑπαρχούσης καὶ δυναμένης καὶ ἐνεργούσης.

1.132 Καὶ νῦν πᾶσα οὐσία πρὸ δυνάμεώς ἐστι καὶ ἐνεργείας· αὗται γὰρ ἀπ' ἐκείνης, ὥστε ἔδει τὴν ἁπλῶς οὐσίαν μήπω δύναμιν ἔχειν μηδὲ ἐνέργειαν. Ἢ ταύτας μὲν οὐκ ἔχει τὰς μεθ' ἑαυτήν, ἃς ἐκτενείας αὐτῆς εἶναι τιθέμεθα· οὔπω γάρ τις ἐκεῖ διάκρισις, ἀλλ' ἣν ἂν εἴποι τις ἓν εἶναι τῇ πρὸ δυνάμεως καὶ ἐνεργείας οὐσίᾳ, δύναμιν καὶ ἐνέργειαν συνουσιωμένην, καθ' ἣν γεννᾷ καὶ προβάλλεται τὴν μεθ' ἑαυτὴν δύναμιν καὶ ἐνέργειαν. Ταύτην ἄν τις καὶ ἔτι συμφυεστέραν ἀπολείποι σὺν τῇ πρώτῃ οὐσίᾳ, δύναμιν καὶ ἐνέργειαν. Διὸ πρὸ αὐτῆς δύναμις μόνον καὶ ὕπαρξις, πρὸ δὲ τῆς δυνάμεως ὕπαρξις μόνον, καὶ οὐδὲ ὁπωστιοῦν οὔτε δύναμις, οὔτε ἐνέργεια, ἀλλὰ τὸ πάντων ἁπλούστατον, ἡ ὕπαρξις. Ἆρα οὖν ἄλλο παρὰ τὸ εἶναι τὸ ὑπάρχειν, ὡς δοκοῦσι ποιεῖν οἱ φιλόσοφοι, καὶ αὐτὸς ὁ Ἰάμβλιχος ἄλλοθί τε πολλαχοῦ καὶ ἐν τῇ περὶ θεῶ ν; Ἢ τὸ μὲν εἶναι τῆς οὐσίας παρωνυμία, ἡ δὲ οὐσί α, κἂν τὴν πρὸ δυνάμεως λάβῃς καὶ ἐνεργείας, ἐκ τριῶν συνουσίωται ἰδιωμάτων, τοῦ ὑποστατικοῦ, ὃ καὶ ὑπάρχειν καλοῦμεν, καὶ ἔστιν ὅτε καὶ εἶνα ι, τοῦ δυναμικοῦ, ὅπερ τὸ γόνιμόν ἐστι τῆς ὑπάρξεως, τοῦ ἐνεργητικοῦ, ὅπερ ἤδη πρὸς τὰ ἐκτὸς ἀποτείνεται καὶ τὴν ἑαυτοῦ χρείαν ἐπιδεικνύμενον, ὡς ἐκ τούτων τῇ ἐπινοίᾳ χωριζομένων εἰς τὸ ἁπλούστερον ἀνάγεσθαι κατὰ ἔνδειξιν ἐπὶ τὰς πρώτας ἀρχάς, ἀπὸ μὲν τοῦ ὑπάρχειν μόνου εἰς τὴν πρώτην, εἰς ἣν καὶ ἀπὸ τοῦ ἑνὸς ἀνηγόμεθα, καὶ ἀπὸ τοῦ πέρατος καὶ ἀπ' ἄλλων πλειόνων, ἀπὸ δὲ δυνάμεως τῆς καὶ ὑπαρχούσης εἰς τὴν τρίτην. Οὕτω μὲν οὖν ἄλλο παρὰ τὴν οὐσίαν ἡ ὕπαρξις, ὡς ἰδιότης μία γυμνουμένη τῶν ἄλλων εἰς ἔνδειξιν τῆς πρώτης ἀρχῆς. Ὡς δὲ καθ' ὑπόστασιν φάναι, καὶ ταὐτὸν ἂν εἴη ὕπαρξις τῇ οὐσίᾳ, εἴ γε μετὰ δυνάμεως καὶ ἐνεργείας ὑφέστηκεν ὡς ἀληθῶς. Τὰ γὰρ πρὸ τούτων ὄντα καὶ πρὸ πάσης ἐστὶν ὑπάρξεως, καὶ ἓν μόνον, ὡς εἴρηται πολλάκις· ἡ δὲ ὕπαρξις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια ἀπὸ τοῦ ὄντος ὑπέστησαν καὶ ἐν τῷ ὄντι πρώτῳ, πλὴν ὅτι ἐν τούτῳ μὲν κατὰ τὴν ὕπαρξιν καὶ δύναμις καὶ ἐνέργεια, καθάπερ εἴπομεν, ἐν δὲ τῇ δευτέρᾳ τάξει τῶν νοητῶν, κατὰ τὴν δύναμιν, καὶ ἡ ὕπαρξις καὶ ἡ ἐνέργεια, ἐκτείνεται γὰρ πάντα εἰς τὸ διακρινόμενον ὁπωσοῦν, ἐν δὲ τῇ τρίτῃ, κατὰ τὴν ἐνέργειαν, καὶ ἡ ὕπαρξις, καὶ ἡ δύναμις δέ, ὅπερ ἤδη τοῦτο πέρας τοῦ νοητοῦ καὶ τρόπον τινὰ τὸ ἔξω τεταμένον.

1.133 Διὸ πρώτη ἐνέργειά ἐστιν ἡ τοῦ νοητοῦ νοῦ· καὶ τίς γὰρ ἂν εἴη πρώτη πασῶν ἐνεργειῶν, πλὴν τῆς ἐπιστρεφομένης εἰς τὸ πρῶτον ἀπὸ τοῦ τρίτου; ἡ γὰρ τοῦ δευτέρου οὔπω ἐνέργεια· οὔπω γὰρ ἀπόστασις ἀπὸ τοῦ εἶναι, ἀλλ' οἷον παρασκευὴ μόνον, ὥσπερ τοῦ πρώτου, οὐδὲ παρασκευὴ ἀποστάσεως, ἀλλὰ μόνον εἶναι οὐδεμιᾶς δεόμενον οὔτε δυνάμεως οὔτε ἐνεργείας. Οὕτω μὲν τοίνυν ἴδοι ἄν τις ταῦτα κατὰ τὸ συμφανέστερον καὶ διαβεβηκὸς εἶδος τῶν νοημάτων, ὡς δὲ ἀπορρητότερον εἰπεῖν, καὶ κατὰ ἔνδειξιν, ἡ μὲν τοῦ ὄντος, ὅ ἐστιν ἡ τῆς τρίτης ἀρχῆς

ὑπόστασις, ἔχει τὰ τρία κατὰ τὴν ἐνέργειαν, ἐπειδὴ ἐν ταύτῃ πρώτῃ τὸ ἐνεργητικόν, εἰ καὶ ἐκεῖνο τὸ τῇ ὑπάρξει συμπεφυκός. Τοῦτο οὖν οἷον εἰδοποιεῖ τὸ τρίτον· τὸ δὲ δεύτερον δύναμις, ὅτι πρώτη καὶ ὁπωσοῦν ἐκτένεια αὕτη καὶ οὔπω εἰς ἐνέργειαν προϊοῦσα. Ἡ δὲ τοῦ ἑνὸς ἀρχὴ πρώτη ὕπαρξις ἐπινοεῖται κατὰ ἔνδειξιν· πάντων γάρ ἐστι τὸ ἓν ὑποστατικόν, αὐτοῦ δὲ οὐδέν. Οὐ γὰρ ἂν ἔτι ἓν εἴη αὐτό τε ὄν, καὶ τῷ πρὸ αὐτοῦ μετέχον τοῦ ὑποστήσαντος· ὥστε διὰ πάντων φανερὸν ὅτι τὸ ὂν τρίτη ἀρχή. Ὡσαύτως δὲ δειχθήσεται καὶ ὅτι νοῦς ὁ πρῶτος ἡ τρίτη ἀρχὴ κατὰ τὴν χαλδαϊκὴν ὑμνουμένην τριάδα. Πρῶτος γὰρ ὁ νοῦς ἀπέστη τοῦ αἰτίου καὶ ἐπεστράφη πρὸς αὐτὸ καὶ ἐνήργησε τὴν πρώτην ταύτην ἐνέργειαν. Τὸ γὰρ ἐν τῷ προϊέναι οὔπω ἀπέστη· οὐ τοίνυν οὐ δέεται ἐπιστροφῆς· ἡ γὰρ ἐπιστροφὴ τῆς ἐκστάσεώς ἐστιν ἐπανόρθωσις. Εἰ γὰρ ὂν τὸ τρίτον πρῶτον ἐνεργεῖ, τοῦτο δέ ἐστιν ἐπιστρέφεσθαι πρὸς τὸ αἴτιον, τὸ δὲ τοιοῦτον νοῦς, δῆλον τὸ συμβαῖνον. Καὶ εἰ τὸ τρίτον νοῦς, τὸ πρῶτον νοητόν, τὸ δὲ νοητὸν οὐσία, τὸ πρῶτον οὐσία, ἣν καλοῦσιν ὕπαρξιν. Εἰ δὲ τὸ πρῶτον ὕπαρξις κατὰ ἔνδειξιν, δῆλον ὡς καὶ τὸ τρίτον νοῦς κατὰ ἔνδειξιν, ὡς πρὸς νοητὸν ἐκεῖνο.

1.134 Εἰ δὲ τὸ τρίτον νοῦς πρῶτος, τοῦτο δὲ πρῶτον ἀπὸ ἑνὸς προελθὸν καὶ ἐπιστραφὲν πρὸς τὸ ἕν, τοῦτο δὲ πρῶτον ἡνωμένον. Καὶ εἰ τὸ τρίτον πρῶτον ἐξέφυγεν τὰς ὑπερχεομένας τοῦ ὄντος ἀρχάς, ὅρον τε καὶ ἀοριστίαν, αὐτὸ πρῶτον ὡρισμένον ἓν γεγονὸς καὶ οἷον παγὲν εἰς ὑπόστασιν (τοῦτο δὲ ἦν τὸ ὄν), εἰς ταὐτὸν ἂν ἥκοι τῷ κυρίως ὄντι πρώτῳ ὁ κατὰ ἔνδειξιν λεγόμενος νοῦς. Διὸ καὶ οὐσιώδης ὑμνεῖται νοῦς, οὐ κατὰ τὸ νοεῖν, ἀλλὰ κατὰ τὸ εἶναι χαρακτηριζόμενος· καὶ εἰ βούλεται οὕτω λέγειν Ἀμέλιος, τοῦτο λεγέτω τὸν νοῦν. Φέρε δὲ πάλιν ἐξ ἀρχῆς ἐπισκεψώμεθα τί ποτε καὶ λέγομεν εἶναι τὸ ὄ ν, τίς αὕτη ἡ ἰδιότης, τίς δὲ ἄλλη, φήσω· ἢ ἡ τὸ ἑκάστου εἶναι σημαίνουσα. Οὐδὲ γάρ ἐστιν ἄλλως νοεῖν τὰς ἰδιότητας, ἢ δι' αὐτῶν αὐτάς· καὶ ἐναργέστεραί γε εἰσὶν δι' ἑαυτῶν γνωριζόμεναι ἢ δι' ἄλλων. Καὶ γὰρ ἄνθρωπος ὅτι ἐστὶν αὐτὸ σημαίνει μᾶλλον ἢ τὸ ζῷον λογικὸν θνητόν. Ἐπὶ δὲ τῶν ἁπλῶν γενῶν οὐδὲ ῥᾴδιον ὁρίσασθαι διὰ στοιχείων· καὶ γὰρ ἰδιότητές εἰσιν αἱ μὲν ἁπλούστεραι, οἷαι αἱ τῶν πρώτων εἰδῶν, αἱ δὲ συνθετώτεραι, οἷαι τῶν ἐξ ἐκείνων συντιθεμένων, ὡς τὸ ζῷον ἐκ τῶν γενῶν τοῦ ὄντος, ἢ ὅσα ἐστὶ τὰ ἐκ τούτων συντιθέμενα. Ὂν τοίνυν ἔσται τὸ παρεχόμενον ἑκάστῳ αὐτὸ τὸ εἶναι, καὶ καθ' ὅ τι ἄν ἐστι. Καὶ ὡς τὸ ἔστι σύνδεσμός ἐστι τῶν ἄλλων ῥημάτων καὶ ὀνομάτων, οὕτως τὸ ὂν σύνδεσμός ἐστι τῶν εἰδῶν ἁπάντων οἷον ῥίζα παντὸς εἰδοῦς, ἀφ' ἧς καὶ ἐν ᾗ πᾶν εἶδος ἐκφύεταί τε καὶ ἱδρύεται· πλὴν τόγε ἓν καὶ ταύτης ἐστὶ ῥίζα ἁπλουστέρα. Περὶ μὲν οὖν τῆς τῶν εἰδῶν ἢ τῶν γενῶν τάξεως οὐ πρόκειται τὰ νῦν ἐξετάζειν. Ὁ δὲ Πλάτων τὸ ὂν ὁριζόμενος ἐπεχείρησε μὲν ἀπὸ τῆς ἐνεργείας αὐτὸ ποιῆσαι γνώριμον· τὸ γὰρ δυνάμενον, φησί, ποιεῖν καὶ πάσχειν, τοῦτο ὂν λέγομεν. Εἶτα εὐλαβηθεὶς ἢ κινούμενον ὑποστήσασθαι ὅ γε ἑστὼς αἴτιον, οὐδὲ κινούμενον ἀποφαίνεται· ἢ τὸ διπλοῦν τῆς ἐνεργείας ταύτης τῆς κατὰ τὸ ποιεῖν καὶ πάσχειν οὐκ ἔχων λαβεῖν τι κοινὸν ἀμφοῖν ὥσπερ τὸ δύνασθαι ἑκάτερον πρὸ ἑκατέρου προελθόν, ἐπὶ τὴν δύναμιν κατέφυγεν καὶ ταύτην εἶναι τὸ ὄν, ὡς εἴ τις καὶ τὴν δύναμιν ἐπιχειροῖ γνωρίζειν ἀπὸ τῆς ἐνεργείας.

1.135 Τοιαύτη μὲν γὰρ ἡ δύναμίς ἐστιν εἴσω μένουσα, οἵα προελθοῦσα ἤδη πρὸς τὸ ἔκτος ἡ ἐνέργεια· τοιαύτη δὲ ἡ οὐσία ἑστῶσα τὸ πάμπαν, οἵα παρασκευαζομένη πρὸς κίνησιν ἡ δύναμις. Εἰς ὅ μοι δοκεῖ καὶ ὁ Στράτων ἀποβλέψας τὸ μὲν εἶναι τὸ ὂν ἀποφήνασθαι, ἐπειδὴ τοῦ ὄντος ἐκτένειαν ἑώρα τὴν δύναμιν οὖσαν. Ἔδει δὲ συνιδεῖν ὅτι καὶ εἰ σύνεστι τῷ εἶναι τὸ μένειν, ὅμως οὐκ ἔστι ταὐτόν, ὡς αἱ ἔννοιαι σαφῶς διακρίνουσιν, ἄλλο τὸ εἶναι γνωρίζουσαι καὶ ἄλλο τὸ μένειν. Δεῖ γάρ τι καὶ εἶναι πρότερον, εἶτα μένειν ἢ κινεῖσθαι. Καὶ τὸ μὲν μένειν ἀντίκειται τῷ κινεῖσθαι· τὸ γὰρ μένειν καὶ ἵστασθαι ταὐτόν, τὸ δὲ εἶναι ἢ οὐδὲν ἔχει ἀντίθετον, ἢ τὸ μὴ εἶναι, ὡς πολλαχοῦ ὁ Πλάτων ἀντιτίθησιν· ὥστε εἴ τις καὶ ὑπόστασιν ὁρίζοιτο εἶναι τὸ ἕν, εἰς ταὐτὸν ἀποφέρεται τῷ Στράτωνι νόημα· τὸ γὰρ ὑφεστάναι παρώνυμόν τι τῆς στάσεως· εἰ δὲ ἴδιόν τι σημαινόμενον

ποιεῖ τὴν ὑπόστασιν, λεγέτω πόθεν τὸ δήλωμα τοῦτο γέγονεν· εἰ μὴ ἄρα παρὰ τὸ ἔστιν· τοῦτο δὲ εἶναι δηλοῖ· πάλιν ἄρα αὐτὸ δι' ἑαυτοῦ. Ἀλλὰ μήποτε εἶναι λεκτέον τὸ ὑπάρχει ν· καὶ γὰρ ὕπαρξις ἡ οὐσία, ὥς φαμεν. Ἀλλ' εἰ μὲν κατὰ τὸ ὄνομα διωκτέον τὸ πρᾶγμα, σημαίνοι ἂν τοῦτο δευτέραν ἀρχήν τινα τῇ προτέρᾳ ὑποτεταγμένην· καὶ τάχα ἂν εἴη τὸ ὂν δευτέρα ἀρχὴ μετὰ τὴν τοῦ ἑνὸς προτεταγμένην. Εἰ δὲ ὡς τὸ εἶναι σημαῖνον ἐκλάβοιμεν κατά τινα συνήθειαν, οὐκ ἔχομεν λέγειν ὅθεν πεποίηται, ὡς δῆλον αὐτοῦ εἶναι τὸ ὑπάρχειν· ὥστε οὐδ' ἂν γνωρίσαιμι τὸ εἶναι διὰ τοῦτο ὑπάρχειν, ἀλλὰ τοὐναντίον. Μήποτε δὲ μόνον τὸ εἶναι δηλοῖ τὴν φύσιν τοῦ πράγματος ἅμα καὶ τῆς ἐννοίας, ἐπεὶ τάγε ἄλλα ἀπὸ τῶν συνεδρευόντων ἢ συνεπινοουμένων ἰδιωμάτων ὀνομάζεται, ἐκεῖ μὲν ὄντων ἀδιακρίτων, ἐν δὲ ταῖς ἡμετέραις νοήσεσιν ἀτόπως διακρινομένων, οἷον τὸ ὑπάρχειν καὶ τὸ ὑφεστάναι, τοῦτο μὲν γὰρ ὡς οὔπω ποιησάμενον πρόοδον, ἐκεῖνο δὲ ὡς ὑπὸ τὴν πρωτίστην ἀρχὴν τεταγμένον· οὕτως ἂν εὕροις καὶ τῶν ἄλλων ὁτιοῦν πεπονθός, καὶ τὰ ξενικώτερα τῶν ὀνομάτων, οἷον τὸ τελέθειν, ὅτι θεῖ πρὸς τέλος καὶ ἐγγύς τι τὸ τέλος ἐστί· διὸ καὶ ἀμφισβητήσιμον τίνος ἡ ἔφεσις, πότερον τοῦ εἶναι ἢ τοῦ εὖ μόνον· τοῦ μὲν γὰρ εὖ εἶναι κατὰ τὸ συναμφότερον.

1.136 Καὶ τὸ πέλειν, ὅτι πελάει καὶ πέλας εἶναι βούλεται τοῦ ἑνός. Τὸ δὲ σώζεσθα ι· τοιοῦτον γάρ πως τὸ εἶναι. ὅτι ἄρτιον καὶ σῶον καὶ οὐδὲν αὐτῷ λείπει, πάντα γάρ ἐστι. Τὸ δὲ τυγχάνειν, εἴπερ σημαίνοι ποτὲ τὸ εἶναι, καὶ τοῦτο καθ' αὑτὸ λεγόμενον, ὅτι πρὸ πάντων ἐστὶ τοῦ κοινοῦ τέλους ἐπιτυχὲς καὶ τἀγαθοῦ διακορές. Ἀλλὰ τῶν μὲν τοιούτων ἅλις. Αὐτὸ δὲ τὸ ὂν πόθεν; ἢ ὅθεν ὁ ἐν Κρατύλῳ Σωκράτης ἀπομαντεύεται, παρὰ τὸ ἰέναι· ἰὸν γάρ, καὶ ἔτι ἀναλογώτερον τὸ εἴω ῥῆμα, διὰ διφθόγγου γραπτέον· ὅθεν φησὶν Ὅμηρο ς· ᾔομεν ὡς ἐκέλευες ἀνὰ δρυμά. Τούτου δ' ἡ μετοχή, φασί, γένοιτο ἂν ἐόν τε καὶ ὄ ν, ὃ βούλεται σημαίνειν τοῦτο ὂν εἶναι, ὅπερ καὶ ἐνεργεῖν πέφυκεν, οἷον τὸ ἐνεργοῦν, ὡς ἐκεῖνό φησι τὸ δυνάμενον. Τί οὖν; μόνον τὸ ὂν ἐνεργοῦν; ἢ καὶ τὸ καλὸν καὶ τὸ ἀγαθόν, καὶ ἓν δὴ καὶ πολλὰ τὰ ὡς γένη, καὶ στάσις καὶ κίνησις· ὅλως γὰρ ἕκαστον εἶδος ἔχει τινὰ καὶ δύναμιν καὶ ἐνέργειαν. Ἀλλ' ἴσως ὅτι ὂν ἕκαστον, καὶ ταύτῃ ἐνεργοῦν ᾗ οὐσία τις, ἀλλὰ καὶ ἡ κίνησις καὶ ἡ στάσις ἐνεργοῦν, κινητικήν γε καὶ στατικὴν ἐνέργειαν.

1.137 Οὕτω δὲ καὶ δύναται δύναμιν ἰδιότροπον παρὰ τὴν οὐσίαν, καὶ ὄντος· ἢ κοινὸν οὕτω γε ἐπὶ πᾶσι τὸ τοῦ ὄντος ὄνομα καὶ πρᾶγμα, οὐ κατὰ τὴν ἔννοιαν τοῦ ἑνὸς γένους, ὅπερ ὂν καὶ εἶναι λέγομεν ἀντιδιῃρημένον τοῖς ἄλλοις γένεσιν, ἀλλὰ κατὰ τὸ ἑκάστου ἐνεργείᾳ λεγόμενον, εἴτε πρὸς τὸ δυνάμει ἑκάστου λέγοιτο, εἴτε πρὸς τὸ γιγνόμενον ἑκάστου, ὃ δηλοῖ τὸ γεγονὸς ἤδη ὄν, ὥς μοί τις ἐδήλου καὶ ὄνειρος, τοῦτο εἶναι λέγων τὸ ὂν ὃ ἑκάστου ἐστὶ τὸ ἐνεργείᾳ, καὶ τοῦτο κοινὸν ἤδη πάντων, ἅτε κατὰ τὴν οὐσίαν, ἣν πρὸς δύναμιν καὶ ἐνέργειαν εἰώθαμεν ἀντιδιαιρεῖν. Εἰ γάρ ἐστιν ἑκάστου τῶν εἰδῶν ἢ γενῶν ἰδίως ἐνέργεια, διὰ τί μὴ καὶ οὐσία κατά τι δήλωμα κοινόν, ὡς ἐκείνων ἑκάτερα; Ἀλλὰ μήποτε καὶ αὐτὴ ἡ οὐσία ἀπὸ τοῦ ὄντος παρονομάζεται, ὡς ἡ ἐνέργεια κίνησίς ἐστι καὶ ἀπὸ κινήσεως. Τάχα γε καὶ ἡ δύναμις κίνησις· ἐκτένεια γὰρ ἑκατέρα τῆς οὐσίας· ἀλλὰ καὶ ἡ στάσις ἐνεργεῖ καὶ δύναται; Ἢ ὅτι καὶ μετέχει κινήσεως, ὥσπερ καὶ τοῦ ὄντος μετέχουσα οὐσία ἐστὶ κατὰ μέθεξιν. Ἀλλὰ πρῶτον μὲν τὰ γένη μετέχει ἀλλήλων κατὰ τὴν ὑπόστασιν ἑαυτῶν πρὸ τῆς δυνάμεως καὶ τῆς ἐνεργείας, αὐτίκα ταυτότητος καὶ ἑτερότητος, ἑνὸς καὶ πολλῶν, πέρατος καὶ ἀπείρου κατὰ τὰς οὐσίας πρότερον, ὥστε καὶ στάσεως καὶ κινήσεως· οὐκ ἄρα τῆς κινήσεως ἐν ταῖς ἐνεργείαις καὶ ταῖς δυνάμεσι μόναις. Ἔπειτα καὶ αἱ δυνάμεις καὶ αἱ ἐνέργειαι μετέχουσι τῶν ἄλλων γενῶν καὶ αὐτοῦ γε τοῦ ὄντος· μᾶλλον δὲ ἡ μὲν οὐσία ἑκάστη τῶν οὐσιῶν ἑκάστων, ἡ δὲ δύναμις ἑκάστη τῶν δυνάμεων, ἡ δὲ ἐνέργεια τῶν ἐνεργειῶν ἑκάστων.

1.138 Ἔτι δὲ ἡ μὲν οὐσία πρὸς ἐνέργειαν ἀντιδιῄρηται καὶ μέση τούτων ἡ δύναμις πρὸς ἑκατέραν λεγομένη· ἡ δὲ κίνησις πρὸς μόνην λέγεται τὴν στάσιν, καὶ οὔτε πρὸς οὐσίαν οὔτε μέσον τι

στάσεως καὶ κινήσεως. Ἔτι δὲ οὐδὲ ἐννοίας προβαλλόμεθα τὰς αὐτὰς κινεῖσθαί τε ἀκούοντες καὶ ἐνεργεῖν· καὶ γὰρ τὸ ἑστάναι καὶ ἠρεμεῖν καὶ καθεύδειν καὶ ὅσα τοιαῦτα ἐνεργήματα νοοῦντες οὐ κινήματα νοοῦμεν, ἀλλὰ τοὐναντίον, τὸ γὰρ ἑστάναι τῷ κινεῖσθαι ἐναντίον. Εἰ δὲ τὸ ἐνεργεῖν ἐπ’ ἀμφοῖν, οὐκ ἂν εἴη τὸ κινεῖσθαι ἐναντίον· εἰ δὲ κινεῖσθαι καὶ τὸ κοινὸν καλοῦμεν, τὸ ἑστάναι τί φήσομεν; ἀεὶ γὰρ τῇ κινήσει τὴν στάσιν ἀντιθετέον· καὶ εἰ ἡ δύναμις κίνησις, τί ἂν ἡ στάσις; οὐδὲν γάρ ἐστιν ὃ ἀντίκειται τῇ ἐνεργείᾳ καὶ τῇ δυνάμει πλὴν τῆς οὐσίας, κατὰ δή τινα τρόπον· ἡ οὐσία ἄρα στάσις ἔσται. Τοῦτό που τὸ τοῦ Στράτωνος, ὅπερ οὐκ ἐδόκει εὖ ἔχειν. Εἰ δὲ καὶ γεννητικὴ ἡ οὐσία δυνάμεως καὶ μετ’ αὐτὴν ἐνεργείας, ἡ δὲ κίνησις ἕν τι τῶν πολλῶν γενῶν, ὥσπερ καὶ ἡ στάσις, ἀντιδιῄρηται ἄρα πρὸς τὸ ὄν· οὐκ ἄρα ὡς τούτου γέννημα καὶ ἐκτένειά τις, ἐπεὶ οὐδὲ μᾶλλον τόδε τοῦδε μετέχει, ἢ τοὐναντίον. Καθ’ ἑαυτὰ γὰρ ἕκαστα ὄντα ἅ ἐστιν, ἔπειτα ἀλλήλων γίγνεται πάντα κατὰ τὴν τῆς φιλίας ἀντίδοσιν· ὥστε καὶ τὸ ὂν μετέχει κινήσεως καὶ στάσεως, ὥστε οὐκ ἀπ’ αὐτοῦ ἡ κίνησις, οὐδὲ ἐκείνου ὡς ὄντος ἐνέργεια. Πῶς γὰρ ἂν τὸ αἰτιατὸν μεταδώσει τι τῇ αἰτίᾳ, καὶ τῷ γεννήσαντι τὸ γεννηθέν; Χωρὶς δὲ τούτων τὸ μὲν ποιεῖν ἐνέργειά τις, τὸ δὲ πάσχειν πῶς ἂν εἴη ἐνέργεια; κίνησις δὲ καὶ τὸ πάσχειν, ἢ τὸ πάσχον ἐν τούτῳ ἔχει τὸ ἐνεργεῖν, ἐν τῷ πάσχειν, ὅπερ τοῦτό ἐστι τὸ πάσχειν ἔργον αὐτοῦ, ὥσπερ τῆς ὕλης εἴποι τις ἂν ἓν μόνον ἔργον εἶναι τὸ πάσχειν, ἀλλ’ οὐδὲ πρὸς τούτῳ καὶ τὸ ποιεῖν. Ἐνέργεια δέ ἐστιν ἡ τοῦ οἰκείου ἔργου ἀποπλήρωσις, δύναμις δὲ παρασκευὴ τῆς ἐνεργείας. Ἀλλ’ εἰ τοῦτό ἐστιν ἡ ἑκάστου ἐνέργεια, ἡ τοῦ κατὰ φύσιν ἔργου ἀπόδοσις, αὐτὸ τὸ ἔργον τί ἂν εἴη ζητητέον, πότερον ἄλλο παρὰ τὸ ἐργαζόμενον ἢ αὐτὸ ἐκεῖνο· ἀλλ’ εἰ μὲν τοῦτο, καὶ ἡ οὐσία φανεῖται ἐνέργεια, ὥστε οὕτω γε καὶ ἡ στάσις καὶ πᾶν εἶδος καὶ γένος, ἀλλ’ οὐ μόνη ἡ κίνησις ἔσται τὸ ἔργον, καὶ ἀπαιτήσει ὁ λόγος ἄλλην τὴν ἀπόδοσιν τοῦ ἔργου παρὰ τὸ ἔργον, καὶ δὴ καὶ τὴν ἐνέργειαν ὁμοίως· καὶ οὐκ ἄρα κίνησις ἡ ἐνέργεια, ἀλλὰ μᾶλλον ἔργον· εἰ δὲ ἐκεῖνο τὸ πρότερον, ἔσται τι καὶ τῆς κινήσεως ἔργον τὸ κινεῖν τὰ ὄντα· ἔσται ἄρα αὐτῆς καὶ ἐνέργεια τούτου οὖσα τοῦ ἔργου ἀπόδοσις.

1.139 Εἰ δὲ ἡ ἀπόδοσις αὕτη τὸ ἔργον ἐστίν, ἄτοπον μὲν ἴσως καὶ τὸ φάναι τὴν ἐνέργειαν, ἔργου οὖσαν ἀποπλήρωσιν, αὐτὸ εἶναι τὸ ἔργον. Εἰ δὲ ἐν τῷ ἀποπληροῦν ἐστι τὸ ἔργον, καὶ ἔστι τὸ ἔργον αὐτὸ τὸ ἀποπληροῦν, ὡς τὸ ὀρχεῖσθαι ἡ ὄρχησις, ἀλλ’ ἔσται καὶ τῆς τοιαύτης ἐνεργείας ἀποτέλεσμά τι· διὸ καὶ ἡ ἐνέργεια προβάλλεται· τῶν γὰρ ἕνεκά του πᾶσα ἐνέργεια καὶ οὐ προηγουμένως οὗ ἕνεκα. Ἔπειτα καὶ ἡ κίνησις κινεῖ· τοῦ γὰρ ἰδιώματος τούτου μεταδοτικὴ ἡ κίνησις, ὡς τοῦ ἱστάνειν ἡ στάσις· ὥστε καὶ ἐνεργήσει ἡ κίνησις καθάπερ ἡ στάσις· οὐκ ἄρα κίνησις ἡ ἐνέργεια. Εἰ δὲ καὶ ἡ κίνησις καθὸ κίνησις, οὐδὲν ἄλλο ἢ κίνησίς ἐστιν, ἡ δὲ ἐνέργεια συναναφέρει κατὰ τὸ ὄνομα καὶ τὸ ἀποτελούμενον ἔργον· καὶ ὅτι μέντοι τοσαῦτά ἐστιν ὅσα τὸ ἐνεργοῦν, οἷον ἡ ἀνθρώπου ἐνέργεια ἄνθρωπός ἐστιν ἐνεργητικός, καὶ ἡ ἵππου, ἵππος, ὅλον γάρ τι εἶδος καὶ ἐνέργεια πῶς ἂν εἴη κίνησις, ἡ αὐτὸ μόνον κίνησις; ἢ οὐ τὴν ὡς ἰδιότητα κίνησιν ἐρεῖ τις, ἀλλὰ τὴν ὡς εἶδός τι σύνθετον εἶναι τὴν ἐνέργειαν, εἰ καὶ τῇ κινήσει μᾶλλον εἰδοποιεῖται κατ’ ἐπικράτειαν· ἀλλ’ ἡ μὲν ἐνέργεια καὶ σύνθετος εἶναι δύναται, ἥ γε τῶν συνθέτων, καὶ ἁπλῆ τῶν ἁπλῶν· ὅλως γὰρ καὶ ἡ κίνησις ἐνέργειαν ἔχει, ἥ τε ἁπλῆ, οὐχ ὅτι ὄν, καὶ ἡ σύνθετος ὑποτεθεῖσα ὡς εἶδος. Ταῦτα μὲν οὖν καὶ πλείω τοῦ μετρίου εἴρηται διὰ τὴν περὶ ταῦτα διαφορὰν πρὸς τοὺς φιλοσόφους, οἵ θ’ ἅμα λέγειν εἰώθασι τοῦτο εἶναι κίνησιν καὶ ἐνέργειαν. Ἐκεῖνο μέντοι προσθεῖναι ἀναγκαῖον, εἰ μὴ κίνησις ἡ ἐνέργεια, πότερον εἶδός τί ἐστι καὶ αὕτη καὶ τἆλλα ἐνεργεῖ κατὰ μέθεξιν, ὥσπερ κινεῖται καὶ ἵσταται διὰ τὴν κίνησιν καὶ τὴν στάσιν; ἢ αὐτό ἐστι τὸ ἑκάστου τῶν ἄλλων ἐκτενές, οἷον πρόοδός τις ἑκάστου ἀφ’ ἑαυτοῦ εἰς ἑαυτὸ ἢ ἐφ’ ἕτερον. Τὰ δὲ αὐτὰ καὶ περὶ δυνάμεως ἀπορήσειεν ἄν τις. Εἰ μὲν οὖν τὸ δεύτερον λέγοι τις, πόθεν αὕτη ἡ ἰδιότης ἥκει τοῖς ἄλλοις, τὸ δύνασθαι καὶ ἐνεργεῖν; ἄλλο γὰρ ἑκάστῳ τὸ εἶναι ὅ ἐστι καὶ τὸ δύνασθαι καὶ τὸ ἐνεργεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.140 Εἰ δὲ τὸ πρῶτον, οὐκ ἄρα πρόοδος ἑκάστου ἡ ἐνέργεια καὶ ἡ δύναμις; ἢ καὶ πρόοδος ἰδιότης μία, καὶ ἡ διάκρισις καὶ πᾶν ὅ τι ἔχοι τινὰ ἀφωρισμένην ἔννοιαν πάντως ἰδιότης· πρᾶγμα γάρ τι διάφορον, τοῦτο δὲ ἀπ' ἀρχῆς ἰδιοτρόπου, καὶ οὐκ ἐκ τοῦ αὐτομάτου φυλακτέον, εἰ ἔστι πραγμάτων διαφορά, καὶ μὴ μόνον τῶν ὀνομάτων. Ἔτι δὲ καὶ αὐτοὶ οἱ φιλόσοφοι τὴν μὲν δύναμιν ἄρχεσθαί φασιν ἀπὸ τῆς πρώτης δυνάμεως, ὡς καὶ τὴν ὕπαρξιν ἀπὸ τῆς ὑπάρξεως, τὴν δὲ ἐνέργειαν ἀπὸ τοῦ τρίτου καὶ μικτοῦ, ὅτι ἐν τούτῳ καὶ τρίτον ἀνεφάνη ἡ ἐνέργεια, ἅτε μετὰ τὴν δύναμιν προελθοῦσα· ᾧ καὶ δῆλον ὅτι κίνησις οὐκ ἔστιν· οὔπω γὰρ ἐκεῖ τὰ γένη τοῦ ὄντος. Ἆρα οὖν ἐνέργεια καὶ δύναμις καὶ ὕπαρξις ἐν τῷ πρώτῳ μικτῷ, καὶ μὴν ἐκεῖνό γε ἡνωμένον ἦν· ἢ καὶ ταύτας ἡνῶσθαι ὁμολογητέον, καὶ μήπω προελθεῖν μηδεμίαν ἐκτένειαν, ἀλλὰ συνεπτύχθαι καὶ ἡνῶσθαι τὰς τρεῖς ἀλλήλαις, μᾶλλον δὲ μηδὲ διακριθῆναί πω, καθ' ἓν δὲ εἶναι τὰς τρεῖς τὸ μικτὸν λεγόμενον, ὡς εἴρηται πρότερον. Τοιγαροῦν τὸ εἶναί φαμεν τοῦ ὄντος ἐνέργειαν, καίτοι τὴν φύσιν αὐτοῦ σημαίνει μᾶλλον· εἰ δὲ καὶ ὀντοποιεῖ, ἀλλὰ τῷ εἶναι καὶ τούτῳ ὀντοποιεῖν. Ἡ μὲν γὰρ τοῦ νοῦ ἐνέργεια σαφής, εἰ καὶ τῇ οὐσίᾳ σύνδρομος καὶ οἷον συμπαγής, ἡ δὲ τοῦ ὄντος αὐτή ἐστιν ἡ οὐσία, ὥσπερ τῆς ζωῆς ἔχει μὲν ἔμφασιν τοῦ χωρισμοῦ· ζῆν γὰρ λέγομεν τὴν ζωὴν καὶ δοκεῖ ἄλλο παρὰ τὴν ζωὴν εἶναι, ἔστιν δὲ ἐπ' ἐκείνης ὅμως ταὐτόν· σημαίνει γὰρ τὸ ζωὴν εἶναι. Ἐπὶ δέ γε τῶν ψυχῶν, εἰσὶν μὲν καὶ αἱ σύνδρομοι κατ' οὐσίαν, εἰσὶ δὲ καὶ ἄλλαι ῥυεῖσαι ἀπὸ τῆς οὐσίας, ὡς, ἐπί γε τῶν ἐνύλων εἰδῶν, καὶ αἱ οὐσίαι πρὸς τὸ ἐκτὸς ἐξερρύησαν. Ταῦτα μὲν οὖν ἄλλος λόγος. Τὸ δὲ εἶναι, εἰ τῷ ὄντι ταὐτόν· ὡς ἐνέργεια μέντοι οὐσίας συνῃρημένης ἐν μέσῳ καὶ τῆς δυνάμεως.

1.141 Ἐστὶ δὲ τὸ ὂν τῶν γενῶν τι· τοῦτο γὰρ ἐννοοῦμεν, καὶ τὸ εἶναι διωρισμένως τούτου ἐστίν, ἐκεῖνο δὲ ἀπὸ τούτου κατὰ ἔνδειξιν ἐκαλοῦμεν, ὡς εἴρηται, μᾶλλον ἀπὸ τῆς οὐσίας ἑκάστης, πρὸς ἣν ἡ ἴδιος ἐνέργεια καὶ δύναμις ἀντιδιῄρητο· ὥστε φανερὸν ὅτι καὶ τὸ γένος τὸ ὂν ἡνωμένον, εἴπερ καὶ ἐπ' αὐτοῦ τὸ εἶναι τῷ ὄντι ταὐτόν, καὶ ἡ ἐνέργεια τῇ οὐσίᾳ. Οὐκ ἄρα τῆς τῶν ὄντων ἀκρότητος ἐξαίρετον ἂν εἴη τὸ ἡνωμένον οὐδὲ τοῦ νοητοῦ ἑνώματος, ὡς ἐλέγομεν, εἴπερ καὶ τοῦ γένους, ὅπερ ἤδη καὶ εἶδος ἢ ἐγγύς τι τοῦ εἴδους, ὥσπερ τῆς τοῦ ἑνὸς ἰδιότητος οὐδὲν ἁπλούστερον ἐννοοῦμεν· καὶ ἔστι τὸ ἓν γένος τοῦτό τι τῶν ἄλλων ἀφωρισμένον, καὶ ἔστι μὲν ἤδη σύνθετον, εἴπερ τι τῶν γενῶν ἢ τῶν εἰδῶν, τῇ δὲ ἰδιότητι ὅμως ἁπλοῦν, ὡς ἄλλο κίνησις καὶ ἄλλο στάσις· οὕτω δὴ καὶ τὸ ὄν πη μὲν ἰδιότητι ἡνωμένον, καὶ τὸ ὂν τῷ εἶναι ταὐτόν· ἔστι δὲ ὅμως ἕν τι τῶν πολλῶν γενῶν καὶ τούτων ἀντιμετέχον. Εἶτα μέντοι καὶ διελέγξεται οὐκ ὂν ἀληθῶς ἡνωμένον, ὅτι ἀντιδιῄρηται πρὸς τὰ ἄλλα καὶ πέπονθε πρὸς αὐτὰ τὴν διαίρεσιν· ὥστε καὶ διῃρημένον ἐστίν. Ἔτι δὲ καὶ ἀντιμετέχει τῶν ἄλλων, ὥστε καὶ ἐμφαίνεσθαι αὐτῷ τὰ ἄλλα σαφῶς, καθάπερ αὐτὸ τοῖς ἄλλοις. Πῶς οὖν ἀκριβῶς ἡνωμένον; οὕτω μὲν γὰρ καὶ τὸ ἓν τοῦτο φωρᾶται οὐκ ὂν τῷ ὄντι ἕν, ὅτι μετέχει καὶ τῶν ἄλλων, καὶ διώρισται πρὸς τὰ ἄλλα. Ἀλλ' ὅμως ὂν εἶναι βούλεται αὐτὸ ὅ ἐστι κατὰ τὴν ἑαυτοῦ προλάμπουσαν ἰδιότροπον φύσιν· διόπερ εὐφυέστατον ἔδοξεν εἶναι πρὸς ἔνδειξιν τῆς πάντα οὔσης, μᾶλλον δὲ ὑπερούσης κατὰ μίαν ἁπλότητα πάμφορον αἰτίας. Οὕτως ἄρα καὶ τὸ ὂν τοῦτο μάλιστα πάντων γενῶν ἡνωμένον ἐνδεικτικὸν ἂν εἴη δικαίως τῆς κατὰ μίαν πάντων ἀκροτήτων ὄντων ἡνωμένης ἀρχῆς· καὶ μήποτε πάντα περιεχουσῶν τῶν ἀρχῶν καὶ πάντα οὐσῶν τὰ ἀπ' αὐτῶν, ἐκμηρύεται ἄλλο κατ' ἄλλην ἰδιότητα διακρινόμενόν τε καὶ ἱστάμενον. Ἐκείνη γὰρ ἡ ἡνωμένη ἀκρότης οὐ κατὰ τὸ ἡνωμένον ἕστηκε τοῦτο τὸ πρὸς τὸ διακεκριμένον ἀντιδιαιρούμενον. Οὐ γὰρ ἂν εἴη οὕτω γε παντελής, ἀλλὰ κατὰ τὸ ὑπὲρ ἄμφω καὶ ὑπὲρ πάντα, ἀληθέστερον εἰπεῖν, καὶ πάντα ἐν ἑαυτῷ συνῃρηκός, ἐπεὶ καὶ τὸ πρὸ πάντων ἓν ἐνδεικνύμενον οὐ πρὸς τὰ ἄλλα διωρισμένον ἦν, οὐδὲ ἁπλοῦν ὡς πρός τι σύνθετον, ἀλλὰ τὸ ἀναρπάσαν ἑαυτὸ πρὸ πάντων καὶ τῶν συνθέτων καὶ τῶν ἁπλῶν καὶ τῶν πολλῶν γε καὶ τοῦ ἀντιτιθεμένου τούτοις ἑνός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.142 Ἀλλ’ ἐπειδὴ τῶν τοιούτων ὑπερβολῶν οὐδεμίαν ἔχομεν ἔννοιαν προχειρίσασθαι, ἀγαπῶμεν ἀφ’ ὧν ἔχομεν ἐνδείκνυσθαί τι περὶ ἐκείνων ἀναγκάζοντες τῷ λόγῳ πρότερον ἀτιμότερον εἶναι ταῦτα ἅπερ ἐννοοῦμεν πρὸς τὰς ἐκείνων τῶν πρεσβυτάτων ἀρχῶν ὑπονοουμένων αὐταρκεῖς θέσεις. Εἰ τοίνυν ἁπλοῦν ἐστι τὸ ἕν, ἀλλ’ ὡς ἐν γένεσι καὶ ὡς ἐν εἴδεσι καὶ κατὰ τὴν ἰδιότητα μόνην ὡς ἀγαθὸν τῇ εἰδότητι τὸ εἶδος καὶ καλὸν καὶ τῶν ἄλλων ὁτιοῦν· οὕτω γὰρ καὶ ἕν, οὕτω καὶ ἡνωμένον, οὕτω καὶ ὄν. Ἐπιστήσειεν δ’ ἄν τις μήποτε τὸ ἡνωμένον ἴδιόν τί ἐστι παρὰ τὸ ὂν μετέχειν αὐτοῦ καὶ τὸ ὂν μάλιστα πάντων, εἰ μὴ ἄρα ἡ μέθεξις τοῦ ἑνὸς ποιεῖ τὸ ἡνωμένον, ὡς τοῦ πλήθους τὸ πεπληθυσμένον. Εἰ μὲν οὖν τοῦτο, πρῶτον ἂν εἴη τὸ ὂν μετέχον πολλῶν καὶ ἑνός, καὶ μάλιστά γε ἑνός. Εἰ δέ ποθεν ἄρχεται καὶ τὸ μικτόν, καὶ ἔστι τις ὕπαρξις τοιαύτη δι’ ἣν πᾶν εἶδος μικτόν, εἴη ἄν τι καὶ τὸ ἡνωμένον ἴδιον ἡ τοῦ μικτοῦ τούτου ἀκρότης. Πῶς δὲ οὐκ ἂν εἴη τὸ μικτὸν ἁπλῶς, εἴπερ τὰ τινὰ μικτά ἐστιν, οἷον ἄνθρωπος, ἵππος καὶ ζῷον, ὅλως καὶ οὐσία ἡ μικτὴ ἐκ τῶν γενῶν, καί, καθόλου φάναι, τὸ σύνθετον εἶδος, ἀφ’ οὗ τοῖς ἄλλοις τὸ εἶναι συνθέτοις· καὶ λέγω μικτὸν καὶ σύνθετον κατὰ τὴν ἰδιότητα τοῦ εἴδους ἢ τοῦ γένους τὴν ἁπλῆν, ἥτις ἂν καλοῖτο μικτότης ἀντικειμένη τῇ ἁπλότητι. Περὶ μὲν δὴ τούτων εἰσαῦθις. Ἐπ’ ἀρχὴν δὲ μόλις ἀναδραμόντες εἴπωμεν πρὸς ἡμᾶς αὐτοὺς ὅτι μὲν κατὰ τὸ ὄναρ ὄν ἐστι τὸ ἑκάστου ἐνεργείᾳ, καθὸ οὐ τὸ ὂν μόνον, ἀλλὰ καὶ ἕκαστον τῶν ἄλλων ὄν, ἡ κίνησις ᾗ κίνησις καὶ ἡ στάσις ᾗ στάσις· οὐσία γὰρ ἑκάστη τούτων, πρὸς ἣν ἐνέργεια λέγεται καὶ δύναμις, ἢ ἀπὸ οὐσίας ἑκατέρα, καὶ ὅ ἐστιν ἕκαστον, ἐνέργεια καὶ καθ’ ὕπαρξιν τὴν ἤδη· πρὸς ἃ τὸ δυνάμει πρὸ τοῦ ἐνεργείᾳ καὶ οὐ μετ’ αὐτό, καθάπερ ἐν τοῖς ἀπὸ τοῦ ἀτελεστέρου εἰς τὸ τελειέστερον προκόπτουσι.

1.143 Τὸ οὖν ἐνεργείᾳ βούλεται λέγειν τὴν ἤδη ἑκάστου ἴδιον ὕπαρξιν καθ’ ἣν ἕστηκεν. Πρὸ δὲ τῶν ἑκάστων τοιούτων ὄντων αὐτό ἐστι τὸ ἁπλῶς ὄν, ὃ καὶ ἁπλῶς ἐνέργεια. Πρῶτον γὰρ ἐκεῖνο κατὰ τὴν ἑαυτοῦ ἐνέργειαν ἔστη, ὡς τὸ πρὸ αὐτοῦ κατὰ τὴν δύναμιν, καὶ τὸ ἔτι πρὸ τούτου κατὰ ψιλὴν τὴν ὕπαρξιν, ὡς κατὰ μόνην ἔνδειξιν φάναι, ἐπεὶ ταῦτα σύνεστιν ἀλλήλοις, ὕπαρξις καὶ δύναμις καὶ ἐνέργεια, καὶ τοῦτό ἐστιν ἡ οὐσία, ὕπαρξις δυναμική τε καὶ ἐνεργητική, ὅ ἐστιν ἐνεργείᾳ οὐσία καὶ σὺν ἐνεργείᾳ. Τὸ γὰρ ἐνεργείᾳ, τί ἄλλο δηλοῖ ἢ ὅ τι ἤδη σὺν ἐνεργείᾳ, ὡς τὸ δυνάμει σὺν δυνάμει τινί; Εἰς ταὐτὸν ἄρα ἥκει τὸ ἐνεργείᾳ 〈τῷ〉 οὕτως ἐνεργοῦντι ὄντι καὶ πρώτῳ ἐνέργειαν προβαλλομένῳ· ἀλλ’ ἔτι ἡνωμένα ἐκεῖ τὰ τρία, ἐνέργεια, δύναμις, ὕπαρξις· ἔστι γὰρ μόνη ὕπαρξις ἐν τῷ ὑπάρχειν μόνῳ τὸ δύνασθαι καὶ τὸ ἐνεργεῖν ἔχουσα· τῷ γὰρ εἶναι καὶ δύναται καὶ ἐνεργεῖ, καὶ τὰ τρία τὸ εἶναι μόνον. Καὶ τί θαυμαστὸν εἰ ἡ τῶν ὄντων ἀκρότης οὕτως ἔχει, ὅτε γε καὶ τὸ ὂν τὸ γένος οὕτως ἔχειν δοκεῖ ὡς ἐλέγετο; πλὴν ἴσως τοῦτο μὲν κατὰ τὸν χαρακτῆρα τῆς ἰδιότητος, ὡς τὸ ἓν ἁπλοῦν, καίτοι οὐχ ἁπλοῦν, ἐκεῖνο δὲ κατὰ τὴν παντελῆ πρὸ πάντων ἀδιάκριτον ὑπόστασιν, ὡς ἐν τῷ μέσῳ τοῦ νοητοῦ παρασκευάζεται καὶ ταῦτα πρὸς τὴν διάκρισιν. Ἐν τῷ τρίτῳ ἄρα πρώτῳ ἡ οὐσία καὶ ὁπωσοῦν ἀποτείνεται πρὸς δύναμιν καὶ ἐνέργειαν. Διόπερ ὁ νοῦς νοεῖν λέγεται καὶ ἐπιστρέφεσθαι πρὸς τὸ νοητὸν καὶ βασιλεύειν τῶν νοερῶν καὶ ὅλως τῶν ἀπ’ αὐτοῦ προελθόντων. Καὶ αὗται δὲ ὅμως αἱ ἐνέργειαι τῇ οὐσίᾳ συμπαγεῖς καὶ ἀνεκφοίτητοι ἀπ’ αὐτῆς, ἐνέργειαι δὲ ὅμως. Πῶς γάρ τοι νοῦς τοιοῦτος τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ, ὥς φησιν ἐκεῖνος· ἐν δέ γε τῇ ἀκρότητι τῶν ὄντων καταπίνεται ὑπὸ τῆς ὑπάρξεως ἡ δύναμις καὶ ἡ ἐνέργεια, ἓν οὖσα ὅμως. Διὸ καὶ ἡ ὕπαρξις οὐ ψιλή, ἀλλ’ ἤδη οὐσία, καθάπερ εἴρηται πρότερον· καὶ τί παράλογον, ὅτε μηδὲ ὕπαρξις ἐν ἐκείνῳ διαφανής; οὐδὲν γὰρ ἐκεῖ τῶν ὡρισμένων ἐν μέρει διαφαίνεται, ἀλλὰ μία παντοῦχός ἐστιν ὑπὲρ πάντα συναίρεσις, ἣν οὔπω μὲν γνωρίζομεν διὰ τὸ μὴ δύνασθαι παντελῆ καὶ παρεισομένην ἐκείνην προχειρίσασθαι νοεῖν· παραβαλλόμενοι δὲ νοεῖν, ὡς πεφύκαμεν, μερίζομεν αὐτήν, μᾶλλον δὲ περὶ αὐτὴν μεριζόμεθα.

1.144

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πάλιν δὲ αὖ ἐξ ἀρχῆς αὐτὴν συναιροῦμεν εἰς ἔνδειξιν τοῦ παντελοῦς καὶ πρὸ πάντων ἅμα τῆς μιᾶς κορυφῆς· ἃ δὴ ταῦτα ἀξιοῖμεν, οὐδὲ ὄν ἐστιν οὐδὲ οὐσία, εἴπερ οὐδὲ κατὰ ταῦτα χαρακτηρίζεται, ἀλλὰ καὶ τούτων ὥσπερ καὶ τῶν ἄλλων ἐπέκεινα, ὥστε οὐδὲ νοητὸν ἐκεῖνο. Τί οὖν ἂν εἴη; οὐ γὰρ δήπου ἕν, πρῶτον μὲν ὅτι καὶ τὸ ἓν διώρισται· εἰ δὲ κατὰ ἔνδειξιν, τί ἂν διενέγκοι ἡ τρίτη ἀρχὴ τῆς πρώτης τῶν τριῶν; ἓν γὰρ καὶ ἐκείνη τοιοῦτον. Μήποτε οὖν ῥητέον αὐτὸ μόνον ἡνωμένον· καὶ πῶς γὰρ οὐ μέλλει τοῦ ἑνὸς καὶ τοῦ ὄντος εἶναί τι μέσον, ὅπερ τὸ ἡνωμένον εἴποι τις ἂν ἀπορίᾳ τοῦ οἰκείου ὀνόματος. Διὰ τί γὰρ τῶν μὲν ἄλλων εἰσὶ πάντων μεσότητες κατὰ πρόοδον ὅλῳ γένει διαφερόντων, οὐχὶ δὲ καὶ ὑπερουσίου καὶ οὐσίας ἢ ἑνὸς καὶ ὄντος; ἐπεὶ καὶ ὁ Πλάτων, ὡς ἔοικε, τοῦτο συνεωρακὼς ἐν Παρμενίδῃ κέκληκεν αὐτὸ οὔτε ἓν οὔτε ὄν, ἀλλ' ἓν ὂν τὸ ὅλον δι' ἀπορίαν τοῦ προσρήματος οἰκείου, ἀπὸ τῶν ἄκρων τὸ μέσον παραστῆσαι βουλόμενος, ὡς καὶ τὴν ψυχὴν μέσην οὖσαν ἀπὸ τῶν ἐφ' ἑκάτερα παρακειμένων γνωρίζει, μεταξὺ λέγων αὐτὴν τῆς τε ἀμερίστου καὶ τῆς περὶ τὰ σώματα μεριζομένης οὐσίας, καίτοι μία καὶ αὐτὴ φύσις, ἀλλ' οὐκ ἀπὸ τῶν ἄκρων, ὡς δοκεῖ, συντιθεμένη. Οὕτως ἄρα καὶ τὸ ἓν ὂν οὐ σύνθετόν τι οὐδὲ δύο αὐτά, τὸ μὲν ἡγούμενον, τὸ δὲ ἑπόμενον, ὡς οἱ φιλόσοφοι ἐξηγοῦνται, ἀλλὰ μία φύσις ἀμφοῖν ἐν μέσῳ τοῦ ἑνὸς καὶ τοῦ τε ὄντος, ἤδη μὲν χαλάσασα τῆς τοῦ ἑνὸς ἁπλότητος, οὔπω δὲ προβαλλομένη τὸ τοῦ ὄντος συναίρεμα. Διὰ τί δὲ καὶ ὂν ἐκεῖνο λέγομεν, ὅ γε πάντα λέγομεν; διὰ τί δὲ καὶ νοητόν, ὅ γε καὶ τὸ νοερὸν καὶ τὸ αἰσθητὸν προσείληφε κατὰ τὴν τῆς αἰτίας δύναμιν; οὐδὲ γὰρ [οὐδὲ] τὸ ἡνωμένον, ὡς εἴρηται καὶ πρότερον, τοῦτο ὅπερ ἐννοοῦμεν ὡς οὔπω διακρινόμενον, ἀντικείμενον δὲ αὐτῶν, ἀλλὰ κατὰ ἔνδειξιν ὃ πρὸ πάντων.

1.145 Πῶς δ' ἄλλως ὁ Ἰάμβλιχος τὸ νοητὸν ἐξηγούμενος περὶ τὸ ἓν αὐτό φησιν ὑποστῆναι καὶ ἀνεκφοίτητον εἶναι τοῦ ἑνός; ἢ συννοῶν καὶ αὐτὸς ὃ λέγομεν ἡνωμένον τε καὶ ἓν ὄ ν, ὡς οὔπω μὲν τῷ ὄντι ὄν, οὐδ' ἔτι μέντοι ἕν, διὰ μέσον δὲ ἀμφοῖν τεταγμένον. Πρὸς δὲ τούτοις μετὰ τὸ ἓν ὂν τὴν οὐσίαν ἀντιδιίστησι τῷ ἑνί, διακρίνας ἄμφω κατὰ τὴν ἀκρότητα τῶν νοερῶν, ὅπου καὶ τὴν θείαν ἑτερότητα συνεξέφηνεν· ὥστε τὰ πρὸ τούτων οὐκ ἦν διορίσαι, ὡς τὸ μὲν αὐτῶν ἕν, τὸ δὲ ὂν ὑποκείμενον τῷ ἑνί, ἀλλ' ἓν ὂν τὸ συναμφότερον, οὐχ ὡς μίγμα ἐξ ἑκατέρου, ἀλλ' ὡς μέσον ἀμφοῖν καὶ οἷον προποδισμὸς εἰς τὸ ὂν τοῦ ἑνός. Ἀμέλει καὶ τομὴν αὐτοῦ ποιησάμενος οὐ διεῖλε τὸ ὅλον εἰς ἓν καὶ ὄν· καὶ τῶν μορίων δὲ ἕκαστον ἓν ὂν ἐποίησεν· εἰ δὲ μέρη φησὶ τοῦ ἑνὸς ὄντος εἶναι τὸ ἓν καὶ τὸ ὄν, ἀλλὰ προϊὼν μικρὸν διεσάφησεν ὡς οὔτε τὸ ὂν ἄνευ ἐστὶ τοῦ ἑνός, οὔτε τὸ ἓν ἄνευ τοῦ ὄντος. Εἰ δὲ καὶ δοκεῖ διορίζεσθαι ἑκάτερον ὡς μετέχον τοῦ ἑτέρου, ἀλλὰ τῆς ἀνωνύμου μεσότητος τοῦτο ποιεῖ δηλωτικόν, ὡς εἰ λέγοι τις ἄλλο τὸ ἀμέριστον ἐν ψυχῇ καὶ μέτοχον τοῦ μεριστοῦ, ἄλλο τὸ μεριστὸν καὶ μέτοχον τοῦ ἀμερίστου. Νοητέον μέντοι ἑκάτερον κατὰ μίαν τὴν συναμφότερον φύσιν ἀμιγῆ πως οὖσαν καὶ ἁπλῆν πρός γε τὸ μεριστὸν καὶ ἀμέριστον. Εἰ δὲ νοητὸν αὐτὸ λέγοιμεν, ἄλλον τρόπον ἐροῦμεν, ἢ ὡς τὸ ὂν γνωστὸν εἶναί φαμεν· ἀντιδιώρισται γὰρ τῇ γνώσει τὸ γνωστόν· ἐκεῖνο δὲ πάντα καὶ πρὸς οὐδὲν ἀντιδιακρινόμενον, καὶ οὐκ ἔστιν ἓν μόνον, ὃ διέφευγεν τὴν νόησιν· πρὸς δὲ τούτοις οὕτως ἔστω νοητὸν ὡς ὄν. Ἀλλὰ μὴν οὐδὲ τὸ ὂν ἐκεῖ διαφανές· πάντα γὰρ ἀδιακρίτως· καὶ τὸ νοητὸν ἄρα τοιοῦτον· οὐ γὰρ ἄλλο αὐτῷ ἐστι τὸ εἶναι ὄντι καὶ νοητῷ, ἐπεὶ οὐδ' ἂν ἦν ὡς ἀληθῶς ἡνωμένον, ἀλλ' ἢ πάντα καὶ τὸ νοητόν, καὶ τὰ πρεσβύτατα αὐτῷ ἐγκαταπέπωται, ἢ καὶ τὸ ὂν καὶ τὸ νοητὸν καὶ τὰ πρεσβύτατα καὶ τιμιώτατα μᾶλλον αὐτῷ προσῳκείωται καὶ ἀφωμοίωται.

1.146 Διὸ καὶ αὐτὰ δοκεῖ ταῦτα εἶναι οὐκ ὄντα κατὰ ἀλήθειαν. Καὶ μήποτε καὶ ἐν Φαίδρῳ τοῦτο ἐνδείκνυται, λέγων μὲν ὅτι στᾶσαι αἱ ψυχαὶ ἐν τῇ τοῦ οὐρανοῦ περιφορᾷ καθορῶσι τὰ ὑπὲρ τὸν οὐρανόν, αὐτὴν δήπου τὴν ἀχρώματον καὶ ἀσχημάτιστον καὶ ἀναφῆ ὄντως οὖσαν οὐσίαν, ἣν δικαίως καὶ τῆς ἀληθείας πεδίον κέκληκεν, καὶ τρέφεσθαι τὴν ψυχὴν ἐκ τοῦ ἐκεῖ λειμῶνος, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἂν ἐκεῖ οὔσης τῆς νοητῆς οὐσίας. Ἔτι δὲ σαφέστερον ἐν τῷ Κρατύλῳ ταῦτά φησι· ποιήσας γὰρ τὸν οὐρανὸν ὄψιν ἀνορῶσαν, καὶ δηλονότι πρώτην, δῆλόν ἐστι τὸ ὑπ' αὐτῆς ὁρώμενον καὶ πρῶτον ὁρατὸν λέγειν τὸ ὑπερκείμενον προσεχῶς. Ἔοικε δὲ καὶ Ὀρφεὺς τὸν Κρόνον εἰδὼς νοῦν, ὡς δηλοῖ ὅ τε σύμπας μῦθος ὁ περὶ αὐτοῦ, καὶ ὁ ἀγκυλομήτης τὴν Νύκτα ὡς πρώτην οὐσίαν καὶ τροφὸν πάντων διὰ τοῦτο ἀνυμνουμένην αὐτὸν μάλιστα τὸν Κρόνον πεποιηκέναι τρέφουσαν, ὡς τοῦ νοῦ οὖσαν τὸ νοητόν, ἐπειδὴ τῷ νοοῦντι τροφὴ τὸ νοούμενόν ἐστι κατὰ τὸ λόγιο ν. Λέγει γοῦν ὁ θεολόγο ς· Ἐκ πάντων δὲ Κρόνον Νὺξ ἔτρεφεν ἠδ' ἀτίταλλεν· ἐπεὶ καὶ εἰ καταπίνει τὸν πρὸ αὐτῆς ὁ Ζεύ ς, ἀλλὰ δι' αὐτῆς καὶ τὸν παρ' αὐτῇ· ἴσως δὲ καὶ ὠδίνει τι νοητὸν ἡ τοῦ ἡνωμένου ἀποτελεύτησις. Ἀλλὰ τούτων μὲν ἅλις. Ἔχοι δ' ἄν τις καὶ τῇ ἐναντίᾳ συνηγορεῖν ὑποθέσει λέγων ὡς μετὰ τὸ ὑπερούσιόν τι ἂν θεῖτό τις ἕτερον ἢ τὴν οὐσίαν καὶ τὸ ἡνωμένον· τί ἂν λέγοι τις ἕτερον ἢ τὸ ὂν πεπονθὸς τὸ ἕν, ὥς φησιν ὁ ἐν Σοφιστῇ ξένος Ἐλεάτης; πῶς δὲ οὐ συναίρεμα τῶν ὄντων πάντων καὶ τῶν οὐσιῶν τὸ ἡνωμένον, οὐσία δὲ ἡ μία καὶ τὸ συναίρεμα πασῶν, ὡς ἐλέγομεν; Διὸ καὶ ἓν ὂν ὅ τι ἡνωμένον· ἔστι γάρ τι καὶ διακεκριμένον· εἰ δὲ ὡς ἑνὰς καὶ ὄν, τὸ συναμφότερον δὲ κατὰ μίαν φύσιν τὴν μέσην, ἀλλ' ὅτι τὸ ἓν μὲν ὑπέβη, τὸ δὲ ὂν ἅτε πρῶτον ἑνοειδέστατον, ὥστε οὐ ῥᾴδιον εἶναι διακρίνειν ὀχοῦν καὶ ὀχούμενον, μᾶλλον δὲ ἔχον καὶ ἐχόμενον, διὰ τὸ πανταχοῦ τὰ πρῶτα ἐοικέναι ὡς μάλιστα τοῖς πρὸ αὐτῶν.

1.147 Διὰ τοῦτο ἄρα οὐχ ἓν καὶ ὄν, ἀλλὰ ἓν ὂν τὸ συναμφότερον ἐκάλεσεν, ἐνδεικνύμενος τὴν ἄφραστον ἕνωσιν τοῦ ἡνωμένου ὄντος πρὸς τὸ ἕν, ἐπεὶ ὅτι οὐχ ὡς ταὐτὸν ἐδήλωσεν, τὸ μὲν εἰπὼν μετέχειν, τὸ δὲ μετέχεσθαι. Ἀλλὰ καὶ ἐν τῇ πρώτῃ τῶν ὑποθέσεων ἀφαιρεῖ τοῦ ἑνὸς τὸ εἶναι καὶ τίθεται ἄνευ τοῦ εἶναι τέως τὸ ἕν· εἶτα μέντοι καὶ τοῦτο ἀναιρεῖ. Ὡς δὲ ἐν ταύτῃ δύο ἀναιρεῖ, οὕτω καὶ ἐν τῇ δευτέρᾳ δύο τίθεται. Τὸ ἓν ἄρα καὶ τὸ ὂν συνέζευκται δύο ὄντα ἀλλήλοις· οὕτω δὲ συμφυῶς ἔχεται ἀλλήλων, ὥστε μηδεμίαν ἔχειν τὴν διακρίνουσαν παρείσδυσιν· οὕτω γὰρ ἑτερότης· ὅπου δὲ καὶ αὐτὴ χώραν ἔσχεν διὰ τὴν πρόοδον τῆς ἑνώσεως χαλασθείσης, ἐκεῖ ἀντιδιωρίσθη πρὸς τὸ ἓν ἡ οὐσία ὡς ὄχημα πρὸς τὸ ὀχούμενον, καὶ ἀρχὴ αὕτη γέγονε τῶν νοερῶν ἅτε ἐν διακρίσει τὸ εἶναι ἐχόντων. Διὸ καὶ τῶν ἐνταῦθα ἕκαστον γέγονεν ἓν καὶ πολλά, καὶ διὰ τοῦτο ἐν τῇδε τῇ τάξει καὶ ἡ οὐσία καθαρὰ γέγονε γυμνωθεῖσά πη τοῦ ἑνός, καὶ τὰ πολλὰ αὐτόθεν ὑπέστη, πρότερον δὲ κατὰ ἔμφασιν ἦν τὸ πλῆθος ἐν τῷ ἡνωμένῳ· ὅθεν καὶ ὁ Ἰάμβλιχος ἐν τῷ ἑνὶ μένειν τὸ νοητὸν ἀπεφήνατο, ὅτι μᾶλλον ἥνωται πρὸς αὐτὸ καὶ κατ' αὐτὸ εἰδοποιεῖται ἢ κατὰ τὸ ὄν. Ἀμέλει οὐδὲ διώρισταί τι ἐν αὐτῷ, οὐκ οὐσία, οὐ νοητόν, οὐκ ἄλλο οὐδέν, ἐν τούτῳ δὲ ἔχει τὸ εἶναι, ἐν τῷ πάντα εἶναι κατὰ συναίρεσιν· τοῦτο δὲ αὐτοῦ ἐστι καὶ τὸ ὄντως νοητόν· πάντ' ἔστι γάρ, ἀλλὰ νοητῶς, φησὶ τὸ λόγιον· συνάγει γὰρ εἰς ἓν πάσας ἡμῶν τὰς νοήσεις καὶ ποιεῖ μίαν συνειλημμένην ἐκ πασῶν παντελῆ καὶ ἀδιάκριτον καὶ ὡς ἀληθῶς ἡνωμένην νόησιν, οἵαν τοῦ νοητοῦ ἐκείνου τὴν νόησιν εἶναι βούλεται ὁ Ἰάμβλιχο ς.

1.148 Εἰ δὲ ἐν ἄλλοις ἐνδείκνυται οὐσίαν εἶναι τὴν ἀκρότητα τῶν νοερῶν ἢ ὁ Πλάτων, ἢ ὁστισοῦν τῶν θείων ἀνδρῶν, οὐδὲν ἄτοπον· ἡ γὰρ καθαρὰ οὐσία καὶ κατὰ Ἰάμβλιχον ἐν τῇδε ἀνεφάνη τάξει· εἴη δ' ἂν αὕτη ἡ νοερὰ ἀκρότης οὐσία νοερὰ οὖσα· τοῦτο δέ ἐστι διωρισμένη καθ' αὑτήν, καὶ τῷ ἑνὶ ὑπεστρωμένη ὡς ἑτέρα ἑτέρῳ κατὰ τὴν ἐκεῖ ἀναφανεῖσαν οὐσιώδη καὶ ἑνιαίαν ἑτερότητα. Πολλὰ μέντοι ἀντιλέγειν δοκοῦντες ἐοίκαμεν περὶ ὀνόματος μόνου ποιεῖσθαι τὴν διαμάχην. Εἰ μὲν γὰρ οὐσίαν καλοῦμεν τὴν ἤδη διακρινομένην, οὐκ ἂν εἴη τὸ ἡνωμένον οὐσία τοιαύτη, ἀλλ' ἥτις ἐστὶ μετὰ τὸ ἡνωμένον ἓν καὶ πολλὰ γενομένη· ἐκεῖνο δὲ ἦν ἓν πολλὰ ὡς ἡνωμένον. Εἰ δὲ καὶ τοῦτο κατὰ τὰς εἰρημένας ἐνδείξεις οὐσίαν καλοῖ τις, οὐδὲν παράλογον ὑποτίθεσθαι πρὸ τῆς εἰς πολλὰ διακρινομένης δι' ἑτερότητος οὐσίας εἶναι τὴν παντελῶς ἡνωμένην καὶ ἀνετεροίωτον. Διὸ καὶ τῆς ἑτερότητος μήπω ἐκφανείσης, οὐκ ἔδοξεν τὸ ὂν

διίστασθαι τοῦ ὄντος, ἀλλ’ οἷον πρὸς αὐτὸ συγκεχύσθαι· καὶ αὕτη ἐστὶν ἡ ζητουμένη μεσότης τοῦ ἑνὸς καὶ τοῦ ὄντος ἡ σύμφυσις τοῖν δυοῖν. Μήποτε δὲ τοῦ μὲν ἑνὸς καὶ τοῦ ἡνωμένου ὄντος τὰ πολλὰ ἐν μέσῳ, ἓν μὲν ὄντα ἔτι, οὔπω δὲ ἡνωμένον, ἀλλὰ πολλὰ ὡς ἓν ἔτι καὶ ἑνούμενον, εἴπερ ἄρα ὡς μετέχον τοῦ ἑνός, καθόσον πολλὰ τῇ ἰδιότητι, τοῦ δὲ ὅπως ἓν λέγοιτο ἑνὸς καὶ τῆς διωρισμένης οὐσίας τὸ ἡνωμένον μεταξύ· μᾶλλον δὲ ἀντὶ τούτων πάντων ἐκεῖνο ῥητέον, κατὰ τὸ ἀληθέστατον, ὡς τὸ μὲν ὑπερούσιον ἓν λεγόμενον οὔτε ὄν ἐστι οὔτε ἓν κατὰ ἀλήθειαν τὸ ἀντιδιαιρούμενον τῷ ὄντι, ὡς ὀχήματι ὀχούμενον ἢ ὅλως ἀντιδιαιρούμενον, ἀλλ’ ὑπὲρ ἄμφω, καὶ ὅ φησί τις εἶναι καὶ ἓν καὶ ὄν. Ἀλλὰ τὸ πρὸ ἀμφοῖν ἓν μιᾷ τὸ συναμφότερον ἁπλότητι θεωρούμενον, οἷον δὲ τοῦτο ἕν, τοιοῦτον ἡνωμένον ἐκεῖνο, οὔτε ἓν ἡνωμένον, ἀλλὰ τὸ πρὸ ἀμφοῖν ἡνωμένον, ὡς ἐκεῖνο ἕν. Ὡς γὰρ τοῦτο ἡγεῖται ἑκατέρου, προειληφὸς ἑκάτερον ᾗ ἁπλοῦν, ταύτῃ καὶ τὸ ἡνωμένον προείληφε τὸ ἡνωμένον αὐτῶν πρὸς ἄλληλα καὶ συμπεφυκός, καὶ ἡγεῖται τοῦ τε ἑνὸς καὶ τοῦ ὄντος, ὡς πρὸ ἀμφοῖν μέν, ἕνωμα δὲ ἀμφοῖν.

1.149 Οὐκοῦν τὸ μὲν πρὸ ἀμφοῖν ἕν, ἄμφω κατὰ τὸ ἁπλούστατον, ὃ καὶ ἁπλῶς ὑπερούσιον, τὸ δὲ πρὸ ἑκατέρου ἡνωμένον ἄμφω κατὰ τὸ συμπεφυκὸς ἀμφοῖν ὑπὲρ ἄμφω μεταδοῦναι ταῦτα, τρίτον ἡ σύμφυσις ὡς ἑτέρων. Διὸ καὶ ἡ ἑτερότης συναναφαίνεται, ἄνω δὲ τὰ δύο μέν, ἀλλὰ κατὰ τὸ πρὸ ἀμφοῖν ἡνωμένον, ἀνωτάτω δὲ ὑπὲρ ἄμφω μέν, ἀλλὰ κατὰ τὸ ἕν. Διόπερ ὁ Πλάτων μετὰ τὸ ἓν ὂν διέκρινεν οὐσίαν καὶ ἓν ἀπ’ ἀλλήλων ἤδη διά τινος ἑτερότητος. Τὸ ἄρα μέσον οὔτε ἕν, οὔτε ὄν, ἀλλὰ ἓν ὂν ὡς μία φύσις ἄμφω προειληφυῖα κατὰ τὸ ἡνωμένον τὰ κάτω διακρινόμενα. Μήτε οὖν οὐσίαν ἁπλῶς λεγέτω τις εἶναι τὴν μεσότητα ταύτην, μήτε ἓν ἁπλῶς, ἀλλ’ ἤτοι μεσότητα ἀμφοῖν πρὸς ἑκάτερον φανταζομένην εἶναι τὸ ἕτερον, ἢ ἓν ὡς ὂν ἅμα, καὶ ὂν ὡς ἕν, ἢ τὸ συναμφότερον ἓν ὂν κατὰ τὴν οἷον κρᾶσιν τὴν πρὸ τῶν κιρναμένων ἐκ διακρίσεως, ὥστε καὶ οὐσίαν εἶναι ἅμα καὶ ἕν. Ὡς δὲ ἕν, εἰπεῖν ὄνομα οὐκ ἔχομεν, πλὴν εἴ τις ἡνωμένον εἴπῃ ἕν, συνεκφαινομένου τῷδε τοῦ ἑνὸς καὶ τοῦ ἡνωμένου, ὅπερ ἔμφασις ἦν τοῦ ὄντος· ἀλλ’ οὔτε τὸ ἓν ἐν τούτῳ κατὰ μέθεξιν, οὔτε τὸ ὂν καθ’ ὕπαρξιν· οὔπω γὰρ ὂν οὐδὲ ἕν· τὸ γὰρ πρὸ τοῦ ἡνωμένου οὐδέτερον ἦν, αὐτὸ δὲ συναμφότερον κατὰ μίαν ἁπλότητα ἀμφοῖν οἰστικήν· διὸ μετ’ αὐτὸ προῆλθε καὶ ἀπ’ αὐτοῦ ἑκάτερον τό τε ἓν ἰδίᾳ καὶ τὸ ὄν, τὸ μὲν ἡγούμενον, τὸ δὲ ἑπόμενον, δι’ ἑτερότητος ἀπ’ ἀλλήλων διαστάντα πη, ὥστε ἀπὸ τοῦ δημιουργικοῦ νοῦ πάντα ὄντος ὁμοῦ πρόεισι τό τε σωματοειδὲς ἅπαν καὶ ἡ ψυχὴ τούτῳ ἐποχουμένη, καὶ ἔτι ταύτῃ ὁ νοῦς ἐπιβαίνων. Εἰ δὲ κατ’ αἰτίαν ἐν τῷ δημιουργῷ τὰ τρία, τί οὐχὶ καὶ ἐν τῷ ἡνωμένῳ τὸ ἓν καὶ τὸ ὄν, οὐ διωρισμέναις αἰτίαις; οὔπω γὰρ ἐκεῖ διορισμός, ἀλλὰ κατὰ μίαν ἀμφοῖν αἰτιώδη τοῦ ἡνωμένου ὡς ἀληθῶς ὕπαρξιν, ὥστε συνελὼν ἀξιώσω τὸ μὲν κατὰ ἔνδειξιν ἓν εἰρημένον οὐδὲ ἓν εἶναι τῇ ἀληθείᾳ, τὰ δὲ μετ’ ἐκεῖνο πολλὰ ῥηθέντα κατὰ ἔνδειξιν, μεσότητα εἶναι καὶ οἷον προποδισμὸν ἐκείνου πρὸς τὸ ἡνωμένον καὶ ὕφεσιν τῆς πρώτης ἀρχῆς ἐς τὴν τῆς τρίτης ὑπόστασιν, τὸ δὲ ἄκρον τοῦ ἡνωμένου τὴν τρίτην εἶναι ταύτην ἀρχὴν τὸ ἡνωμένον οὖσαν τοῦ παντὸς ἡνωμένου.

1.150 Μετὰ γὰρ αὐτὴν τὸ διακρινόμενον αὐτοῦ καὶ ὅλου καὶ μερῶν ὡς ἡνωμένου ἐμφατικόν, ὡς εἴ τις ὠδῖνα φαίη τῆς τοῦ ἡνωμένου διακρίσεως καὶ οἷον παρασκευὴν αὐτῆς. Μετὰ δὲ τὴν μεσότητα ταύτην ἡ βάσις ἐστὶ τοῦ νοητοῦ καὶ τὸ διακεκριμένον τῆς ἡνωμένης φύσεως· διὸ καὶ τὰ ὁπωσοῦν ἐκεῖ διαστάντα ἡνωμένα, καὶ ἐκεῖνά ἐστιν οὐκ ἀπολειπομένου κατ’ οὐδὲν τῶν τμημάτων, οὔτε τοῦ ἑνὸς οὔτε τοῦ ὄντος, ὥς φησιν ὁ Πλάτωνος Παρμενίδη ς. Καὶ οὕτω θεωρητέον τὸν νοητὸν νοῦν, διακεκριμένον νοητῶς, ὅ ἐστιν εἰς ἡνωμένα, οὐ μὴν εἰς εἴδη, πλὴν εἰ μὴ τὰ ἑνώματα παραδείγματα ποιοῖ τῶν εἰδητικῶν παραδειγμάτων. Τοῦτο μὲν οὖν ὧδε ἔχειν ὑπονοητέον. Ὅτι δὲ σαφῶς καὶ ὁ Πλάτων ταύτην ἀγαπᾷ τὴν ὑπόθεσιν, ἣ τὸ μὲν πρῶτον οὐδέτερον εἶναι τίθεται, τὸ δὲ δεύτερον συναμφότερον κατὰ τὸ ἡνωμένον, τὸ δὲ τρίτον ἑκάτερον, ἐδήλωσεν ἀποφήσας μὲν τοῦ πρώτου καὶ τὸ ὂν καὶ τὸ ἕν, συνελὼν δὲ ἐν τῷ μέσῳ τὸ

ἓν ὄν, διαστήσας δὲ ἐπὶ τούτοις τὸ ἓν καὶ τὸ ὂν μετὰ τῆς διιστώσης ὁπωσοῦν καὶ οἵας δὴ ἑτερότητος, ἐπεὶ καὶ τὴν παλαιὰν ἀπορίαν μόλις ἂν οὕτως ἐκφύγοιμεν. Πῶς γὰρ δὴ τὸ πρῶτόν γε ὄν, ὃ δὴ καὶ ἡνωμένον ἠξιοῦμεν εἶναι, τελέως προτάξειεν ἄν τις ὡς οὐσίαν ζωῆς καὶ νοῦ, μηδενὸς ὄντος ἐκεῖ διορισμοῦ, καίτοι διωρισμένης ἀπὸ νοῦ μὲν τῆς ζωῆς, ἀπὸ ζωῆς δὲ τῆς οὐσίας; Πῶς ἂν οὖν εἴη διορισμός, ἑτερότητός γε μὴ οὔσης; καὶ τὸ πάντη πρῶτον ἡνωμένον πῶς ἂν διωρισμένον εἴη πρὸς ἕτερον; ὥστε φανερὸν ὅτι ἡ μὲν οὐσία, ὡς μόνη οὐσία πρὸς τὴν ζωήν, ὡς τούτῳ μόνῳ συνθεωρουμένην τῷ τῆς ζωῆς ἰδιώματι μετά τινος ἑτερότητος πέφηνε, τὸ δὲ ὡς ἀληθῶς ἡνωμένον οὔτε ζωή πω, οὔτε νοῦς, οὔτε οὐσία, πλὴν εἰ μὴ κατὰ ἀναλογίαν τινὰ ἢ κατὰ ἔμφασιν αἰτιώδη. Ἐνιότε καὶ τοῦτο λέγουσιν οἱ φιλόσοφοι, ἀλλὰ πάντα ἀδιορίστως καὶ κατὰ τὴν πρὸ πάντων ἡνωμένην ὑπεροχήν.

1.151 Διὸ πρὸς οὐδὲν ἀντιδιακέκριται τὸ ἡνωμένον ὡς πάντα, ὄντων ἐν μέρει διωρισμένων ἐν ταῖς ἡμετέραις ἐννοίαις. Περὶ μὲν οὖν τοῦ ἡνωμένου πρὸ ἑνὸς καὶ οὐσίας ταῦτα χρὴ ἐννοεῖν κατὰ τὸ δυνατόν. Εἰ δὲ ἐν τοῖς πρόσθεν τὴν τρίτην ἀρχὴν ὡς ἡνωμένην κατὰ τὸ ὂν ἐτίθεμεν καὶ τοῦτο διττὸν ἐποιοῦμεν, τὸ μὲν οὐσιῶδες, τὸ δὲ ἑνιαῖον, ἀλλὰ νῦν εἰς τὸ ἓν πρὸ ἀμφοῖν τὰ δύο συμπτύξαντες καὶ κατωτέρω τοῦ νοητοῦ τὰ διωρισμένα δύο τάξαντες, τῷ τε Πλάτωνι σύμφωνα λέγειν ἐδόξαμεν καὶ τῷ νοητῷ καὶ πάντη ἡνωμένῳ καὶ περὶ τἀγαθὸν συνεσπειραμένῳ, κατὰ τὸν Ἰάμβλιχον τὰ σεμνότατα τῶν νοημάτων ἀνατεθείκαμεν. Καὶ ἔτι μέντοι τὰ τότε συλλογισθέντα ῥᾳδίως ἐπὶ τὰ νῦν δεδογμένα μετοίσομεν· πάντα γὰρ ἦν λεγόμενα ἐκεῖνα περὶ τοῦ πρώτου μικτοῦ· πρῶτον δὲ μικτὸν ἐν τοῖς νῦν δὴ πέφηνε λόγοις τὸ πρὸ τοῦ ἑνὸς καὶ τοῦ ὄντος οἷον συναμφότερον. Ἐπεὶ οὖν τῷ λόγῳ ἐπισπώμενοι κατὰ φύσιν ἀναβεβήκαμεν ἐπὶ τὴν σεμνοτάτην καὶ μάλιστα ἡνωμένην κορυφὴν τῆς ὁπωσδήποτε διαιρουμένης τῶν πραγμάτων ὑποστάσεως, φέρε νῦν τὸ νοητὸν αὐτῆς ὅπως λέγομεν ἐν δίκῃ ζητήσωμεν. Ὅτι μὲν τοίνυν οὔτε δόξῃ, οὔτε διανοίᾳ, οὔτε νῷ τῷ ψυχικῷ, οὔτε νοήσει μετὰ λόγου περιληπτόν, ἀλλ' οὐδὲ τῇ τοῦ νοῦ παντελεῖ περιωπῇ, οὔτε τῷ ἄνθει τοῦ νοῦ αἱρετόν, οὔτε ἐπιβολῇ ὅλως, οὔτε κατὰ ἐπέρεισιν ὡρισμένην, οὔτε κατὰ περίληψιν, οὔτε τινὰ τοιοῦτον τρόπον ἐκεῖνο γνωστόν, συγχωρητέον ταῦτα ἀξιοῦντι τῷ μεγάλῳ Ἰαμβλίχ ῳ. Πρῶτον δὲ αὐτὸν ἐρωτητέον πότερον αὐτὸ γνωστὸν εἶναι φήσομεν, καὶ τοῦτο αὐτοῦ εἶναι, τὸ νοητὸν τὸ νοήσεως ἀποπληρωτικόν, τῆς μέντοι ἡνωμένης καὶ πρὸ πάντων τῶν ἐννοήσεων ἐν μιᾷ ἁπλότητι νοητῇ προϋποτιθεμένης, ἢ ἄγνωστον μὲν ἅτε τῇ ἀπορρήτῳ ἀρχῇ καὶ τἀγαθῷ, ὥς φησι, περιπεπηγός, ἀποπληρωτικὸν δὲ τοῦ νοῦ καὶ γεννητικόν, ἐν τἀγαθοῦ μοίρᾳ πρὸς αὐτὸν τεταγμένον, καὶ τὸ τοῦ νοῦ ὀρεκτὸν εἶναι βουλόμενον, νοῦ δὲ οὐχ ὡς νοοῦντος, ἀλλ' ὡς ὄντος.

1.152 Ὅτε γὰρ ἀνὴρ οὗτος ἐφ' ἑκάτερα δοκεῖ φέρεσθαι, μᾶλλον δὲ ἡμᾶς φέρεσθαι ποιεῖ περὶ τὴν μίαν αὐτοῦ νόησιν μεριζομένους, καὶ ὁ λόγος, εἰ μέτρια βασανισθείη, πολλὴν ἕξει περιολκὴν πρὸς ἑκάτερον. Αὐτίκα γνωστὸν εἶναί φαμεν τόγε ὄν, ἐκεῖνο δὲ ὑπὲρ τὸ ὄν, καὶ τὸ ὄν, ὅτῳ ὄντι ἀντιδιώρισται τὸ ἡνωμένον ἱστάμενον, ὃ πρὸ ἀμφοῖν ἐτίθεμεν. Οὐκ ἄρα γνωστὸν ὅλως, ὅτι μηδὲ ὂν ἁπλῶς. Ἔτι εἰ γνωστὸν τὸ πρὸ οὐσίας, γνωστικὴ ἂν εἴη πως καὶ ἡ οὐσία, ἵνα μετὰ γνώσεως ἐπιστρέφῃ πρὸς τὸ γνωστόν. Ἀλλὰ τρίτον ἀπὸ τῆς οὐσίας τὸ γνωστικὸν καὶ ὁ νοῦς, μέση δὲ ἀμφοῖν ἡ ζωὴ καὶ αὐτή πως γιγνώσκουσα τὴν οὐσίαν, ὡς νοερόν τι ἔχουσα πρὸς τῷ νοητῷ καὶ οὖσα μετὰ τὸ νοητόν· ἢ καὶ τὴν οὐσίαν ἀξιωτέον ἔχειν τι γνωστικὸν ὡς ἐκβᾶσαν ἀπὸ τοῦ νοητοῦ, εἴπερ νοητὸν τὸ ἡνωμένον. Ἡ γνῶσις ἄρα τοῦ νοῦ διὰ ζωῆς ἐπιστρέφεσθαι πέφυκεν πρὸς οὐσίαν· ἐκείνης γάρ ἐστι νοῦς, ἀλλ' οὐ τοῦ ἡνωμένου, οὐδ' ἓν τὸ ἡνωμένον. Τρίτον τοίνυν εἰ νοητόν ἐστι τὸ ἡνωμένον, ὡς γνωστὸν τῷ νοητῷ νῷ, πρὸ παντὸς ἔσται ἑτέρου νοητόν. Ὁ ἄρα νοητὸς νοῦς γνώσεται τὸ πρὸ αὐτοῦ ἡνωμένον· οὐκ ἄρα αὐτὸς ἔσται ἡνωμένος· ἡ γὰρ γνῶσις ἐνέργειά ἐστιν διωρισμένη ἀπὸ οὐσίας, εἰ καὶ τῇ οὐσίᾳ σύνδρομος· καὶ ὅλως ἐν πολλῷ διορισμῷ τὸ γιγνῶσκον πρὸς τὸ γιγνωσκόμενον, καὶ ὅσος οὐκ ἂν γένοιτό τις ἐν τῷ

ἡνωμένῳ. Ὁ γοῦν νοῦς ἀποστὰς τῆς οὐσίας ἀγαπᾷ διὰ γνώσεως ἐπανελθεῖν εἰς οὐσίαν· ἀλλὰ δὴ τὸ ἡνωμένον εἰ γιγνώσκοιτο, οὐκ ἔσται μόνον ἡνωμένον, ἀλλὰ καὶ γνωστόν· οὐκ ἄρα ἡνωμένον εἴη, καὶ τὸ γνωστὸν ἐν αὐτῷ εἴη διωρισμένον· εἰ δὲ μὴ εἴη γνωστὸν αὐτόθεν, ἀλλὰ καὶ τὸ γνωστὸν ἔχοι μετὰ τῶν ἄλλων ἀδιάκριτον, οὐ γνωσθήσεται αὐτόθεν, ἀλλ' ἕνωσις ἔσται μόνη ἡ πρὸς αὐτὸ συναφή τε καὶ ἐπιστροφή. Ἔτι πολλαί εἰσιν αἱ ἐπιστροφαί, καὶ τρεῖς γε αἱ πρῶται, κατ' οὐσίαν, κατὰ ζωήν, κατὰ γνῶσιν· καὶ αὕτη μὲν ποιεῖ τὸ γιγνῶσκον, ἡ δὲ μέση τὸ ζῶν, ἡ δὲ πρώτη τὸ οὐσιωμένον καὶ ὃ γνωστὸν εἶναι ὑπομένει· τὸ δὲ ἡνωμένον πρὸ πάντων τούτων. Οὔτε ἄρα γνωστικὴν ἕξει ἐπιστροφήν, οὔτε γνωστήν, οὔτε τὴν μέσην. Καὶ μήποτε οὐδὲ πέφυκεν τὸ ἡνωμένον ἐπιστρέφεσθαι, οὐδὲ γὰρ προϊέναι· πᾶσα δὲ ἐπιστροφὴ τοῦ προϊόντος ἐστὶ καὶ μετὰ πρόοδον· τὸ δὲ οὕτως ἔχει ἀδιακρίτως, ὥστε καὶ πρὸ οὐσίας εἶναι καὶ πρὸ ἑνός, τοῦ γε πρὸ οὐσίας ἑνός.

1.153 Ἐπὶ πᾶσι δὲ τούτοις ἡ γνῶσις περιγράφειν ἐθέλει καὶ περιλαμβάνειν τὸ γνωστόν, εἶδος δὲ πᾶν τὸ περιγραφόμενον· τὸ δὲ ἡνωμένον ἀπερίγραφον, ἄγνωστον ἄρα τελέως. Ἀλλὰ μὴν καὶ εἴ τις ὑποθοῖτο τὸ ἄγνωστον ἐκεῖνο, χαλεπὸς ὁ λόγος· ἤδη μὲν γάρ πως καὶ ἡμεῖς δοκοῦμεν τὸ ἡνωμένον ὑπονοεῖν, ὅτι πρὸ οὐσίας ἐστὶ καὶ ἑνὸς τοῦ πρὸ οὐσίας, πρὸ ἀμφοῖν γε τὸ συναμφότερον. Εἰ δὲ μήπω καὶ ἡμεῖς, ἀλλ' ὅγε θεῖος νοῦς πάντως ἐπίσταται τὸ ἡνωμένον ὅτι ποτὲ εἶναι βούλεται κατὰ μίαν φύσιν τὴν πρὸ οὐσίας τε καὶ ἑνός. Ἔπειτα μέντοι ὡς ἔστι πρὸ οὐσίας τε καὶ ἑνὸς τὸ ἡνωμένον, οὕτω καὶ πρὸ τῆς ἑνιαίας γνώσεως καὶ τῆς οὐσιώδους εἴη ἂν ἡ ἁπλῶς γνῶσις ῥηθεῖσα, ἂν πρὸ ἀμφοῖν οὖσα κατὰ μίαν φύσιν τὴν ἡνωμένην. Καὶ γὰρ διττῆς οὔσης τῆς ζωῆς, οὐσιώδους τε καὶ ἑνιαίας, εἴη ἂν καὶ ἡ πρὸ ἀμφοῖν ἁπλῶς οὖσα ζωή, ὥσπερ ἡ ἁπλῶς ὑπόστασις, οὐδὲν δὲ κωλύει καὶ οὐσίαν φάναι κατ' ἄλλο τὸ συναμφότερον σημαινόμενον· ἢ ἁπλῶς ἐστιν ὑπόστασις, οὐσία δὲ ὁμοίως ἡ κατὰ τὸ ἄκρον τοῦ ἡνωμένου, ὡς κατὰ τὸ μέσον ἡ ἡνωμένη ζωή· καὶ κατὰ τὸ τρίτον ἡ ἡνωμένη γνῶσις ῥηθεῖσα· καὶ αὕτη ἐστὶν ἡ νοητὴ γνῶσις ὡς ἀληθῶς, καὶ ἡ νοητὴ ζωὴ καὶ ἡ νοητὴ οὐσία, τὸ νοητὸν ἔχουσα κοινὸν ἑκάστη· τοῦτο δὲ ἦν τὸ ἡνωμένον· "πάντα ἐστὶ γάρ, ἀλλὰ νοητῶς," φησὶ τὸ λόγιον, τοῦτο δ' ἔστιν ἀδιακρίτως τε καὶ ἡνωμένως. Ἔστιν ἄρα καὶ γνῶσις νοητή, καὶ αὕτη ἐστὶν ἡ ἁπλῶς γνῶσις· οὔτε γὰρ ἑνιαία οὔτε οὐσιώδης, ἀλλὰ πρὸ ἀμφοῖν, ταὐτὸν δὲ εἰπεῖν, πρὸ πασῶν. Πρῶτος γὰρ ὁ τοῦ ἑνὸς καὶ τῆς οὐσίας διορισμός· διὸ καὶ ζωὴ ἁπλῶς ἐκείνη καὶ οὐσία ὁμοίως κατὰ κοινὸν τῆς ἑνιαίας καὶ τῆς οὐσιώδους. Αὕτη δὴ οὖν ἡ γνῶσις ἡ νοητὴ τοῦ ἁπλῶς ἐστι νοητοῦ· ἁπλῶς δὲ νοητὸν τὸ πρὸ τοῦ διωρισμένου νοητοῦ ἑνιαίου πρὸς τὸ οὐσιῶδες· ὥστε καὶ τὸ ἡνωμένον ὑπὸ τῆς ἡνωμένης γιγνώσκεται γνώσεως.

1.154 Ἔτι δὲ εἰ τὸ ἡνωμένον πάντη ἄγνωστον, τόγε πρὸ τοῦ ἡνωμένου ἓν ἔτι μειζόνως ἄγνωστον· οὕτω δὲ τὴν ἀπόρρητον ἐκείνην ἀρχὴν τίνι διαφέρειν φήσομεν τοῦ ἑνὸς τούτου ἢ τοῦ ἡνωμένου; ἢ καὶ ταῦτα πάντη ἀπόρρητα· καίτοι καὶ ἐννοοῦμεν ὡς διαφέρει τοῦ ἑνὸς τὸ ἡνωμένον οὕτως ὡς πρόσθεν ἐλέγομεν. Χωρὶς δὲ τούτων καὶ οἱ θεοὶ γιγνώσκεσθαι τὸ νοητὸν ἀποφαίνονται σαφῶς, οὐ μόνον λέγοντες νοεῖσθαι καὶ νοεῖν· ἤδη μὲν γὰρ ταῦτα καὶ ἄλλως ἐξηγοῦνται οἱ φιλόσοφοι, τὸ νοητὸν προκεῖσθαι τῷ νῷ λέγοντες, οὐχ ὡς γνωστόν, ἀλλ' ὡς ἐφετόν, καὶ ἀπὸ τούτου πληροῦσθαι τὸν νοῦν λέγοντες οὐ γνώσεως, ἀλλ' οὐσίας καὶ τῆς ὅλης καὶ νοητῆς τελειότητος. Οὕτω γὰρ πολλαχοῦ καὶ ὁ Ἰάμβλιχος καὶ οἱ μετ' αὐτὸν ἀξιοῦσιν· οὐκ ἀεὶ δὲ οὕτως, ἀλλ' ἐν ἄλλοις καὶ τὴν γνῶσιν ἐν τῷ νοητῷ καὶ περὶ αὐτὸ καταλείπουσιν, ὡς ἐν τοῖς Χαλδαϊκοῖς ὁμολογουμένως ὁ Ἰάμβλιχο ς. Μαρτύρονται δὲ οὖν καὶ οἱ αὐτοὶ τοὺς θεούς, ἐν οἷς ἔπεσι λέγουσι πρὸς τὸν θεουργόν· Ἔστιν γάρ τι νοητόν, ὃ χρή σε νοεῖν νόου ἄνθει· ἢν γὰρ ἐπεγκλίνῃ ὡς [ἂν] νοῦν κἀκεῖνο νοήσῃ, ὥς τι νοῶν, οὐ κεῖνο νοήσεις· ἔστι γὰρ ἀλκῆς ἀμφιφαοῦς δύναμις νοεραῖς στράπτουσα τομαῖσιν. Οὐ δὴ χρὴ σφοδρότητι νοεῖν τὸ νοητὸν ἐκεῖνο, ἀλλὰ νόου ταναοῦ ταναῇ φλογὶ πάντα μετρούσῃ. Πλὴν τὸ νοητὸν ἐκεῖνο, χρεὼ δὴ

τοῦτο νοῆσαι. Ἢν γὰρ ἐπεγκλίνῃς σὸν νοῦν, κἀκεῖνο νοήσεις οὐκ ἀτενῶς, ἀλλ' ἁγνὸν ἀπόστροφον ὄμμα φέροντα, σῆς ψυχῆς τεῖναι κενεὸν νόον ἐς τὸ νοητόν, ὄφρα μάθῃς τὸ νοητόν, ἐπεὶ νόου ἔξω ὑπάρχει. Καὶ γὰρ περὶ τοῦ νοητοῦ σαφῶς ταῦτα εἴρηται καὶ περὶ γνώσεως τῆς ἐκεῖνο γνῶναι δυνησομένης· ὑφηγεῖται γὰρ ἥτις ἂν γένοιτο γνῶσις ἡ ἀντιληψομένη τοῦ νοητοῦ, ὅτι οὐχ ἡ σφοδρὰ καὶ ἀντερείδουσα πρός τι γνωστόν, οὐδὲ ἡ σπεύδουσα ἑαυτῆς ποιῆσαι τὸ νοητόν, ἀλλ' ἡ ἀφιεῖσα ἑαυτὴν ἐκείνῳ πρὸς τὴν εἰς αὐτὸ ἀνάπλωσιν, καὶ νοητὸν μᾶλλον ἢ νοερὸν εἶναι προθυμουμένη· μηδὲ γὰρ εἶναι διάκρισιν ἐν μέσῳ διείργουσαν, ἀλλ' ἡνωμένη πρὸς ἡνωμένον ἀναχεῖσθαι ἐπείγεται πάντα ἀρνησαμένη διορισμόν, καὶ τὸν ἑαυτῆς, καὶ τὸν τοῦ νοουμένου οὐχ ὡς ὄντα παραιτουμένη, ἀλλ' ὡς οὐκ ὄντα· μηδὲ ἐπιζητοῦσα γνῶσις μὲν οὖσα ἡ ἁπλῶς καὶ πρώτη καὶ μάλιστα δὴ καὶ κυριώτατα, διότι μάλιστα τῷ γνωστῷ συμπέφυκεν, οὐ τοιαύτη δὲ οἵα ἡ νοερά, ἀλλ' ἣν ἄν τις ὡς ἀληθῶς νοητὴν ἀνυμνήσειεν, καὶ εἰς τὸ ἀδιάκριτον τοῦ νοητοῦ συνῃρημένην.

1.155 Ἑσσάμενον πάντευχον ἀκμὴν φωτὸς κελάδοντος, ἀλκῇ τριγλώχινι νόον ψυχήν θ' ὁπλίσαντα, παντοιάδος σύνθημα βαλεῖν φρενί, μηδ' ἐπιφοιτᾶν ἐμπυρίοις σποράδην ὀχετοῖς, ἀλλὰ στιβαρηδόν. Φησὶ καὶ τὰ τοιαῦτα περὶ αὐτῆς ὁ χρησμῳδῶν θεό ς· ὅθεν οὐκ εὐλαβητέον τὴν περιγραφὴν τῆς γνώσεως ὡς εἰδητικὴν προσάγειν τῷ ἡνωμένῳ· οὐ γάρ ἐστιν ἡ τοιάδε γνῶσις οἵα περιγράφειν τὸ νοητόν, ἀλλὰ περιγράφεσθαι μᾶλλον ὑπ' ἐκείνου καὶ ὁρίζεσθαι, μέχρις ὅσου ἑαυτὸ ἐπιδῶσιν εἰς τὴν θέαν. Τί οὖν; ἡ γνῶσις οὐ περίληψίς ἐστι τοῦ γνωστοῦ καὶ περιγραφή τις; ἅπασα μὲν οὖν γνῶσις ὑπὸ τοῦ γνωστοῦ μᾶλλον εἰδοποιεῖ τὸ γνωστόν, ἡ δὲ ἡνωμένη καὶ τοῦ ἡνωμένου οὐδὲ συνίσταται ἄλλως, εἰ μὴ τῇ ἐκείνου ἑνώσει συναναπλώσειεν ἑαυτήν, δικαιότερον δὲ εἰπεῖν, ἑαυτὴν ἀφεῖσα καὶ ἀναχυθεῖσα ὅλη εἰς ἐκεῖνο, τῷ ἑαυτῆς ἀπεριγράφῳ τὸ ἐκείνου ἀπερίγραφον ἑλεῖν πειραθεῖσα, καὶ ταύτῃ ποιησαμένη τὸ νοητὸν ἑαυτῆς, ᾗ τοῦ νοητοῦ αὐτὴ γεγένηται. Καὶ μὴν οὐδὲ τὸ τῆς ἐπιστροφῆς ἀνοίκειόν ἐστιν ἰδίωμα πρὸς τὸ νοητόν. Εἰ γὰρ καὶ ἡνωμένον ἐστίν, ἀλλ' ἔστι καὶ τούτου ἐν ἑαυτῷ πρόοδος ἡνωμένη, οἷον ὠδὶς οὖσα προόδου τῆς κάτω· καὶ γὰρ καὶ μονὴ τῆς μονῆς, καὶ ἡ ἐπιστροφὴ ἄρα τῆς ἐπιστροφῆς ἔσται ὥσπερ αἰτία, καὶ αὕτη κρύφιος.

1.156 Ὅλως γὰρ εἰπεῖν, τὸ ἡνωμένον πρὸς μὲν τὸ πρὸ αὐτοῦ καλούμενον ἓν τόκος ἐστὶ καὶ προῆλθεν ὅπως θέμις λέγειν καὶ ὡς οἵαν τε ἀφ' ἑνὸς γενέσθαι πρόοδον, πρὸς δὲ τὰς ὁπωσοῦν διορισθείσας ἀρχὰς ἔτι μένει περὶ τὸ ἓν καὶ ἐκείνῳ συμπέφυκεν. Τοσοῦτον γὰρ μόνον καὶ προῆλθεν ὅσον ἐν αὐτῷ μένειν καὶ μηδαμῶς προελθεῖν. Εἰ δ' οὖν καὶ κατὰ τὴν ἐν τῷ ἑνὶ μονὴν οὐσίωται τὸ ἡνωμένον, ὡς κατὰ τὴν ἀπ' ἐκείνου πρόοδον τὸ μέσον τῶν θεῶν γένος, κατὰ δὲ τὴν ἐπιστροφὴν τὸ τῶν νοερῶν, ἀλλ' ὡς ἐν τῇ μονῇ καὶ ταῦτα θεωρεῖν, ἔστι τι καὶ ἐκείνου πρῶτον καὶ μέσον καὶ τελευταῖον οἷον κατ' αἰτίαν καὶ κρυφίως παντάπασι, καὶ αὐτὸ τοῦτο ὅν φαμεν ἡνωμένω ς. Καὶ ἐπιστροφὴ ἄρα φανεῖταί τις ἐκείνου κατὰ ἀλήθειαν τήν γε νοητήν, ἀλλ' ἴσως οὔτι γε τὴν νοοῦσαν ἐπιστροφήν· οὐ γάρ ἐστι γνωστὸν ὅτι καὶ τὸ γνωστὸν ἐν αὐτῷ συνῄρηται καὶ οἷον καταπέπωται μετὰ τῶν ἄλλων ὑπὸ τῆς ἑνώσεως; πολλῷ ἄρα μᾶλλον οὐδὲ γνῶσίς ἐστιν ἐν τῷ ἡνωμένῳ· πολλοστὴ γὰρ ἀπὸ τοῦ γνωστοῦ ἡ γνῶσις· ἀπὸ μὲν οὖν τούτου τρίτη τις ἔοικεν εἶναι. Ἔστι δὲ καὶ τρίτη τῶν ἐπιστροφῶν, εἴπερ ἐστὶ πρὸ αὐτῆς ἡ ζωτική, καὶ πρὸ ταύτης ἡ οὐσιώδης, καὶ λέγομεν κατὰ μὲν ταύτην τὸ αὐθυπόστατον, κατὰ δὲ τὴν πρὸ αὐτῆς τὸ αὐτοζῶν, κατὰ δὲ τὴν ἐσχάτην τὸ γιγνῶσκον ἑαυτὸ καὶ τὸ γνῶθι σαυτό ν· καὶ ἔχουσι πρὸς ἀλλήλας αἱ τρεῖς ἐπιστροφαὶ ἀνάλογον ὡς ἔχει νοῦς πρὸς ζωὴν καὶ ζωὴ πρὸς οὐσίαν. Ἐνάτη ἄρα ἡ γνῶσίς ἐστι τῆς πρώτης οὐσίας, ἣν τὸ γνωστὸν εἶναί φαμεν. Τοσαύτην δὲ διάκρισιν ἐν τῷ ἡνωμένῳ ὑποτίθεσθαι τίς ἂν ἐπιστρέψειεν λόγος; Ἢ καὶ πρὸς τὰ τοιάδε τῶν ἐπιχειρημάτων ἐκεῖνο ῥητέον ὅτι ἡμεῖς περὶ αὐτὸ μεριζόμεθα, πᾶν μὲν ὅσον καὶ οἷόν ἐστιν ἀφιέμενοι εἰδέναι, νοητὴν δὲ νόησιν οὔπω προβαλλόμενοι, οἵ γε οὐδὲ τὴν νοεράν, οὐδὲ τὴν ἐσχάτην, ἐπεὶ οὐδὲ

τὴν λογικὴν καθαράν τε καὶ ἀραρυῖαν, εἴπερ δὲ ἄρα, πόρρωθεν διόψεσθαί τι τῶν ἀληθῶν ἐλπίζουσαν καὶ ἐν ἐλπίσιν ἀτεχνῶς προλαμβάνουσαν τὸ τέλος τῆς ὅλης προθυμίας. Τὸ δὲ νοητόν ἐστι πάντα μέν, ἀλλὰ νοητῶς, κατὰ τὸ λόγιο ν.

1.157 Ἔστι τοίνυν αὐτοῦ τὸ μὲν ἄκρον οἷον οὐσία τὸ ἡνωμένον οὖσα τοῦ ἑνὸς καὶ τῆς οὐσίας, ἀλλὰ πρὸ ἀμφοῖν, τὸ δὲ μέσον, ὃ πρὸ ζωῆς ἐστι καὶ ἑνὸς τοῦ κατὰ τὴν ζωὴν διωρισμένου· ζωή τις ἡνωμένη αὕτη γε ὁμωνύμως ἑκατέρᾳ τῶν κάτω, ὅτι μηδετέρα, προϋπάρχουσα δέ. Οὕτως οὖν τὸ τρίτον ὁ νοητὸς νοῦς ἕνωμα ὢν τοῦ τε νοῦ καὶ τοῦ νοεροῦ ἑνὸς πρὸ ἑκατέρου συναμφότερος, οὗ ἡ γνῶσις οὔτε ἑνιαία οὔτε τοῦ ἐξημμένου νοῦ, ἀλλὰ καὶ αὕτη πρὸ ἀμφοῖν μία καὶ ἡνωμένη· οὐδὲ γὰρ ἄλλως ἔχουσα τῷ ἡνωμένῳ καὶ ὁπωσοῦν ἂν ἐφήρμοσεν. Οὕτω δὴ καὶ τὸ γνωστὸν οὔτε τῇ ἑνιαίᾳ γνώσει γνωστόν ἐστιν, οὔτε τῇ τοῦ νοῦ τοῦ κατ’ οὐσίαν, ἀλλὰ τῇ ἡνωμένῃ, καθάπερ εἴρηται. Οὔκουν ἐστὶ τὸ γνωστὸν τῆς κάτω οὐσίας, οὔτε τοῦ ταύτης ἡγουμένου ἑνός, ἀλλὰ τὸ πρὸ ἀμφοῖν γνωστὸν καὶ τῷ ὄντι ἁπλῶς γνωστόν· καὶ γὰρ τοῦ ἁπλῶς ὄντος τοῦτό ἐστι· τοιοῦτον δὲ τὸ ἡνωμένον, εἴπερ οὔτε ἑνιαῖόν γε ὂν τοῦτό ἐστιν, οὔτε ὡς ὄχημα τοῦδε τοῦ ἑνός. Ἆρ’ οὖν ταὐτόν ἐστι τῷ ἡνωμένῳ καὶ γνωστῷ εἶναι; ἀλλ’ οὕτω γε οὐκ ἂν αὐτόθεν εἴη γνωστόν· εἰ δέ ἐστιν, πῶς οὐ διοριεῖσθαι τὸ γνωστὸν ἐκεῖ; ἢ διωρίσθαι μὲν οὐ δεῖ, πάντα γὰρ ἥνωται, ἓν εἶναι δὲ ὅμως καὶ τοῦτο μετὰ τῶν ἄλλων, οὐ δυνάμει, ἀλλ’ ἐνεργείᾳ, κατὰ συναίρεσιν δὲ τὴν πρὸ πάσης διαιρέσεως. Τὸ οὖν οὕτως ἓν ὄντι γνωστῷ, τὸ ὅλον οὕτω γνωστόν· καὶ γὰρ πᾶν εἶδος γνωστὸν ὅλον τῇ τοῦ γνωστοῦ ἰδιότητι· καὶ γὰρ ὅλον τῇ τοῦ ὅλου, καὶ καλὸν καὶ ἀγαθὸν τῷ καλῷ τε καὶ ἀγαθῷ. Ἆρα οὖν καὶ ἄγνωστον τῇ τοῦ ἀγνώστου; ἥκιστα γὰρ ἂν εἴη γνωστὸν καὶ μάλιστα ἄγνωστον τὸ πάντων ἐπέκεινα τῶν διωρισμένων καὶ ὅλως ἀεὶ τὰ γεννῶντα τοῖς γεννωμένοις ἀπερίληπτά ἐστι καὶ ὑπερηπλωμένα αὐτῶν τῆς οὐσίας, οὔτι γε μόνης τῆς γνώσεως. Ἔνεστιν ἄρα τι καὶ ἄγνωστον ἐν ἐκείνῳ καὶ τοῦτο μᾶλλον ἢ τὸ γνωστόν, καὶ μὴν ἐκεῖνο τὸ πρῶτον, ὥς φαμεν, νοητόν. Ὥστε καὶ μάλιστα νοητὸν ἢ τῇ μὲν γνώσει ᾗ πέφυκε γιγνώσκεσθαι μάλιστα γνωστόν· πολὺ δὲ καὶ τῆς γνώσεως ἐκείνης τὸ ἄγνωστον, ἥτις ποτέ ἐστι καὶ ὁποῖα τυγχάνει οὖσα. Ἀλλὰ γὰρ τὸ γνωστὸν καὶ ἄγνωστον ἔνεστι μὲν καὶ ἐν τῷ ὄντι, ἔνεστι δὲ καὶ τῷ ἑνί, πρὸ ἀμφοῖν δέ ἐστι κατὰ τὸ συναμφότερον ἐν τῷ ἡνωμένῳ· οὕτως ἄρα καὶ τὸ γνωστικὸν ἐκεῖ κατὰ τὸ ἡνωμένον τῆς ἑνιαίας καὶ οὐσιώδους γνώσεως προϋπάρχον ἀμφοῖν.

1.158 Ὡς γὰρ τὸ γνωστὸν ἡνωμένον, οὕτω καὶ ἡ σύστοιχος γνῶσις ἡ νοητὴ τοῦ νοητοῦ, καὶ εἰ μετὰ διακρίσεώς τινος ἡ γνῶσις, ἀλλ’ ἡνωμένη καὶ ἡνωμένου καὶ ἡ διάκρισις· ἔστι γὰρ καὶ ἐκεῖ νοητῶς πρῶτον καὶ δεύτερον καὶ τρίτον. Τὸ δὴ τρίτον εἰ ἐπιστρέφοιτο καὶ εἰ γιγνώσκοι, τὶ θαυμαστόν; οὐ μὴν ἀνάγκη τὴν οὐσίαν εἶναι γνωστικὴν ὅτι καὶ τὸ ἡνωμένον πρὸ αὐτῆς ἄν· οὐ γάρ, ἐπειδὴ πάντα ἐκεῖ νοητῶς, κατὰ τὸ λόγιον, ἤδη πάντα καὶ ἐν ἑκάστῳ τῶν διωρισμένων· ἐκμηρύεται γὰρ ἐκ τοῦ ἡνωμένου πάντα κατὰ διορισμὸν οἰκεῖον, τὸ ἕν, ἡ οὐσία, ἡ ζωή, τὸ τῆς ζωῆς ἕν, ὁ νοῦς, τὸ νοερὸν ἕν· καὶ οὐ διὰ τοῦτο ἡ οὐσία ζωή. Ἔστι καὶ ἐν τῷ ἡνωμένῳ ἡ ζωὴ κατὰ τὴν πρὸ ἀμφοῖν τοῦ ἡνωμένου ἀναλογίαν· οὐδὲ ἄρα νοῦς ἡ οὐσία οὐδὲ γνωστική, ὅτι ἐν τῷ ἡνωμένῳ τὸ τρίτον γνωστικόν· ἐμφαίνεται γὰρ ἀπὸ μὲν τοῦ ἄνω γνωστοῦ τὸ κάτω γνωστόν, ἀπὸ δὲ τοῦ γνωστικοῦ τὸ γνωστικόν, ἀπὸ δὲ τοῦ μέσου τὸ μέσον. Πρὸς μὲν οὖν τὰς ἀπορίας οὕτως ἄν τις ἀπαντήσειε κατὰ τὸ ἐνδεχόμενον. Πάλιν δὲ ἀπ’ ἄλλης ἀρχῆς ἀρξάμενοι λέγομεν περὶ γνωστοῦ τε καὶ γνώσεως, καὶ ἔτι πρότερον περὶ μονῆς καὶ προόδου καὶ ἐπιστροφῆς· ἀπὸ γὰρ τούτων τῶν λόγων φανεῖται καὶ τίς ἡ χρεία τῆς γνώσεως καὶ τί τὸ γνωστόν· ἔτι δὲ ἀπὸ τούτων ἀπορήσομεν καὶ εἴ τίς ἐστι μονὴ καὶ πρόοδος καὶ ἐπιστροφὴ ἐν τῷ ἡνωμένῳ· καὶ πρό γε πάντων ζητητέον πῶς τὸ πρῶτον ἀφ’ ἑτέρου ἕτερον διεκρίθη· τὸ γὰρ δὴ πρῶτον διακρινόμενον ἢ διακεκριμένον (ἔστω γὰρ ἐπὶ τούτου ὁ λόγος), τὸ δ’ οὖν διακεκριμένον, ἀλλὰ πρὸ αὐτοῦ ἐκεῖνο ἀφ’ οὗ διακέκριται, ὅτι καὶ αὐτὸ διακεκριμένον. Ἀλλὰ μήπω γε τοῦτό ἐστι τὸ πρῶτον διακεκριμένον, ἀλλὰ τὸ πρῶτον διακεκριμένον τρίτον ἐστὶν ἀπὸ

τοῦ ἡνωμένου, ἅτε τοῦ διακεκριμένου μέσου ὄντος. Πῶς οὖν ἂν εἴη πρῶτον διακεκριμένον τὸ πρῶτον ἡνωμένον; ἀπὸ γὰρ τούτου διεκρίθη τὸ πρῶτον διακριθέν. Μήποτε οὖν ἐπὶ τῶν ὁμοταγῶν ἀληθὲς ἀντιστρέφειν τὰ πρός τι· ἐπὶ γὰρ τούτων καὶ ἡ ἀνθυπόστασις ἀληθής· ἐπὶ δὲ αἰτίου καὶ αἰτιατοῦ οὐ κατὰ πάντα ἀληθὲς ἀντιστρέψαι.

1.159 Οὐ γὰρ τὸ αἰτιατὸν ποιεῖ τὸ αἴτιον ᾗ αἴτιον· τὸ δ' ἐναντίον τὸ αἴτιον καὶ τὸ αἰτιατὸν ποιεῖ αἰτιατὸν καὶ ἑαυτό γε ἐκείνου αἴτιον. Ἀλλ' εἰ μὴ καὶ ἀνθυφίστησιν, ἔστω ὅμως πρός τι κατὰ τὴν συνώνυμον σχέσιν, ὡς τὸ ἴσον ἴσως ἴσον, ἢ τὸ διακριθὲν ἑαυτὸ διέκρινεν ἀπὸ τοῦ πρώτου ἐν ἑαυτῷ, καὶ οὐκ ἐν ἐκείνῳ τὴν διάκρισιν τῇ ὑποβάσει ποιησάμενον, ὥσπερ τὸ ἔνυλον σῶμα διεκρίθη τοῦ ἀΰλου τῇ εἴδους ῥοπῇ πρὸς τὴν ὕλην· τὸ δὲ ἄϋλον ὅμως χωρεῖ καὶ διὰ τοῦ ἐνύλου οὐκ ἀνεχόμενον τῆς διακρίσεως. Οὕτω δ' οὖν καὶ τὸ μὲν σῶμα διέστη τῇ ψυχῇ τοῦ νοῦ· νοῦς μέντοι διὰ πάντων χωρεῖ τῶν δευτέρων, καὶ ψυχὴ ὁμοίως; ἢ τοῦτο μὲν ἀληθές, διεκρίθη δὲ ὅμως καὶ ὁ νοῦς τῆς ψυχῆς καὶ ἡ ψυχὴ τοῦ σώματος τῇ ἐξαλλαγῇ τῶν ὑποστάσεων, ὥστε πάλιν τὸ διακεκριμένον διακεκριμένου διακέκριται, εἰ καὶ ἄλλος ἑκατέρου ὁ τῆς διακρίσεως τρόπος. Καὶ γὰρ τὸ καλὸν τοῦ δικαίου ἕτερον, ἑτέρου καὶ τούτου ὄντος· ἀλλ' ἡ ἑτερότης οὐχ ἡ αὐτή, πλὴν τῷ γένει τῆς ἰδιότητος· ᾗ γὰρ διαφέρει τὰ εἴδη ἀλλήλων, ταύτῃ καὶ τὰ συμπληροῦντα γένη. Ἀλλὰ μὴν οὐκ ἀεὶ τὸ ἕτερον ἑτέρου ἕτερον, ἀλλ' ὅταν εἶδος ἑκάτερον ᾖ· τὸ γοῦν εἶδος ἕτερον τῆς ὕλης, οὐ μὴν ἡ ὕλη ἑτέρα τοῦ εἴδους, ὅτι μηδὲ ἑτερότης αὐτὴν συμπληροῖ· εἶδος γάρ τι καὶ ἡ ἑτερότης, ἡ δὲ ἀνείδεος· ὥστε καὶ τὸ μὲν εἶδος διεκρίθη τῆς ὕλης, οὐ μέντοι καὶ ἡ ὕλη τοῦ εἴδους, ὅτι καὶ ἡ διάκρισις εἶδος ἦν καὶ μόνοις ἐγγιγνόμενον τοῖς εἴδεσι. Καὶ ἄνω τοίνυν ὡσαύτως ἡ πρώτη διάκρισις τοῦ εἴδους ἀπὸ τοῦ ὑπερειδέου, ὃ μένει ἀδιάκριτον· ὑπερείδεον γὰρ ὂν οὐκ ἄν τι πάθοι εἰδητικόν, τοιοῦτον δὲ καὶ τὸ διακριθῆναι. Οὐκ ἄρα τὸ διακεκριμένον διακεκριμένου διακέκριται πάντως, ἀλλὰ τὸ πρῶτον διακριθὲν ἢ τὸ ὕστατον οὐκ ἂν οὕτως ἔχοι. Τί οὖν; οὐκ ἀφ' αὑτοῦ ἑκάτερον ἕστηκε, τὸ μὲν ὕλη μόνον, τὸ δὲ εἶδος μόνον; καὶ τὸ μέν, εἰ τύχοι, ὂν μόνον, τὸ δὲ νοῦς μόνον; καὶ οὐδέτερόν ἐστι τὸ ἕτερον· ἀλλὰ καὶ ὅσον ὑπέβη τὸ δεύτερον εἰς διάκρισιν τῆς φύσεως, τοσοῦτον ἐξῄρηται τὸ πρῶτον εἰς ὑπεροχὴν ἀσύγχυτον τὴν πρὸς τὸ δεύτερον· οὐδὲ γὰρ διοισόμεθα, εἰ μὴ ὁ αὐτὸς τῆς διακρίσεως τρόπος· καὶ γὰρ τὸ ἀθάνατον διακέκριται τοῦ θνητοῦ καὶ τὸ θνητὸν τοῦ ἀθανάτου, ἀλλ' ὅμως οὐχ ἡ αὐτὴ διάκρισις ἐν ἑκατέρῳ, εἴ γε ἐν μὲν τῷ, ἀθάνατος, ἐν δὲ τῷ, θνητή, καὶ ἐν μὲν τῷ αἰωνίῳ καὶ ἡ διάκρισις καὶ ἡ ἑτερότης αἰώνιος, ἐν δὲ τῷ χρονικῷ χρονικὴ καὶ τούτων ἑκατέρα.

1.160 Οὕτω δὲ ἔχει καὶ τὸ ἀγένητον πρὸς τὸ γενητὸν καὶ τὸ παραδειγματικὸν πρὸς τὸ εἰκονικόν, καὶ τὸ λογικὸν πρὸς τὸ ἄλογον· πάντα γὰρ ἐν ἑκάστῳ κατὰ τὴν ἑαυτοῦ ἰδιότροπον φύσιν. Οὕτως ἄρα καὶ ἡ διάκρισις ἔχει πανταχοῦ καὶ ἡ ἑτερότης, ἤδη καὶ ἡ ταυτότης, εἰ καὶ δοκεῖ αὕτη σύμφυσιν ἀπεργάζεσθαι. Εἰ γὰρ ταὐτὸν ἄνθρωπος καὶ ἵππος ᾗ ζῷα, ἀλλὰ τὸ ζῷον ἕτερον ἐν ἑκατέρῳ, ὥστε καὶ τὸ τῆς ταυτότητος εἶδος, ὅτι ποτέ ἐστιν, ἄλλο καὶ ἄλλο ἐν ἵππῳ τε καὶ ἀνθρώπῳ· καὶ δὴ ἐν μὲν τῷ εἴδει εἰδητική, ἐν δὲ τῇ ὕλῃ ὑλική, τουτέστιν δυνάμει, καὶ ἐν τῷ ὑπερειδέῳ ὑπερείδεος, τοῦτο δέ ἐστι κατ' αἰτίαν, ἀλλὰ τῶν πρός τι, εἰ θάτερον δυνάμει, καὶ θάτερον, καὶ κατά τι ἀνομοίως ἑκάτερον· καὶ γὰρ ἐνεργείᾳ ὁμοῦ καὶ καθ' ὕπαρξιν, συνυφέστηκεν γάρ· καὶ γὰρ οὕτως ἅμα τὸ αἴτιον καὶ τὸ αἰτιατὸν ἢ καὶ τὸ τῆς ὕλης ἐνεργείᾳ· τὸ γὰρ δυνάμει πρὸς εἶδος αὐτῆς ἦν τῆς ὕλης τὸ ἐνεργείᾳ, καὶ τὸ κατ' αἰτίαν ἐκεῖ πρὸς εἶδος ὕπαρξις ἦν τῆς αἰτίας συνῃρηκυίας ἐν ἑαυτῇ καὶ τὴν διάκρισιν. Ἀλλ' εἰ συνῄρηται ἡ διάκρισις, καὶ τὸ κατ' αὐτὴν διακεκρίσθαι λεγόμενον· εἰ γὰρ διώρισται ὡς πρῶτον καὶ δεύτερον, ἤδη ἂν εἴη καὶ ἡ διάκρισις ἐν ἑαυτῷ κεχωρισμένη, ὥστε καὶ ἐν ἑαυτῷ διακέκριται ὅ γέ φαμεν ἔτι ἡνωμένον εἶναι· ἡ γὰρ ἐν αὐτῷ διορισθεῖσα διάκρισις συνδιέκρινεν ἑαυτῇ καὶ τὰ ἄλλα. Τίς γὰρ ἡ ἀποκλήρωσις μόνην διορισθῆναι τῶν ἐν αὐτῷ γενῶν ἢ εἰδῶν τὴν διάκρισιν, ἄτοπον δὲ εἶναί τι καὶ ὁτιοῦν ἐν τῷ ἡνωμένῳ; Ὅλως δὲ κατὰ τοῦτο διωρίσθαι ὁμολογοῦμεν, ὅτι τὸ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡνωμένον εἶναι τιθέμεθα, τὸ δὲ διακεκριμένον. Πῶς οὖν τόγε ἡνωμένον διακέκριται; ἀντιφάσει γὰρ ἔοικε τὸ λεγόμενον· ἔτι δὲ μείζων ἡ ἀπορία, εἰ τὸ ἡνωμένον πρὸς τὸ ἓν παραβάλοιμεν ὡς προεληλυθὸς ἀπὸ τοῦ προάγοντος. Ἢ τοῦτο μὲν τῆς ἡνωμένης φύσεως ἐξαίρετόν ἐστι, τὸ μὴ ἀνασχέσθαι τῆς πρὸς τὸ ἓν διακρίσεως, οὐδὲ τῆς ἀπ' ἐκείνου προόδου, ἀλλὰ περὶ αὐτὸ πεφυκέναι καὶ ἐν τούτῳ ἐκεῖνο τὸ ἡνωμένον εἶναι, ἐν τῷ μὴ ἑαυτοῦ εἶναι, ἀλλὰ τοῦ ἑνός.

1.161 Ἐφ' ὧν δὲ τοῦ ἑτέρου τὸ διακεκρίσθαι τιθέμεθα σαφῶς, ἐπὶ τοῦ ἑτέρου τούτων ἡ ἀντωνυμία τῆς διακρίσεως ἀπαιτουμένη πολλὴν ἀπορίαν παρέχεται τοῖς ζητητικοῖς. Μήποτε οὖν, πολλῆς οὔσης καὶ παντοδαπῆς τῆς τῶν πρός τι φύσεως, ἔστι τις αὐτῶν καὶ τοιαύτη σχέσις, οἵα τῇ μὲν ἀντιστροφῇ ἐξισάζειν, τῇ δὲ φύσει τῶν ἀντιστρεφόντων μὴ παρέχεσθαι τὸ ὅμοιον, οἷον τὸ διάφορον διαφέροντος διαφέρει. Ἀλλὰ τὸ μὲν τὴν διαφορὰν ἔχει κατὰ τὸ εἶδος, ἡ δὲ ὕλη ἀνείδεον καὶ τὴν διαφοράν, ὡς εἶναι τὴν διαφορὰν αὐτοῖν ἀνειδέου καὶ εἴδους. Οὕτω γὰρ καὶ εἰκὼν πρὸς παράδειγμα ποιεῖται ὡς πρὸς ὅμοιον τὴν ἀντιπαραβολήν· ἡ γὰρ ὁμοιότης κοινὴ μὲν κατὰ τὸ ὁλοσχερὲς τῆς ἰδιότητος, οὐχ ἡ αὐτὴ δὲ ὅμως, ἀλλ' ἡ μὲν παραδειγματική, ἡ δὲ εἰκονική. Οὕτω καὶ τὸ ἡνωμένον τινὶ ἡνωμένῳ ἥνωται, ὥστε εἰ τῷ ἑνὶ ἥνωται, καὶ τὸ ἓν ἔσται ἡνωμένον. Οὐκ ἄρα ἕν, ᾗ καθὸ συνέζευκται μόνον, τὸ ἡνῶσθαι ῥητέον κατ' αὐτὴν μόνην τὴν σχέσιν, ἐπεὶ τόγε ἓν ὑπὲρ τὸ ἡνωμένον. Οὕτω γὰρ καὶ τῷ αἰτίῳ συνέζευκται τὸ αἰτιατὸν οὐ κατὰ κοινὴν φύσιν τῆς σχέσεως, ἀλλὰ κατὰ διάφορον τῇ ἀληθείᾳ. Ἡ γοῦν ἐν τῷ αἰτίῳ τῆς ἐν τῷ αἰτιατῷ σχέσεως αἰτία, ὡς ἡ φύσις ἡ ἄλλη τῆς φύσεως τῆς ἄλλης. Ἁπλῶς δὲ οὖν καὶ τὸ ἓν τῷ ἡνωμένῳ καὶ τὸ ἡνωμένον ἡνῶσθαι, ὡς ἐν μὲν τῷ ἡνωμένῳ καὶ τὸ ἡνωμένον διακεκρίσθαι τοῦ διακεκριμένου, ὡς μέντοι ἡνωμένον. Ἔστι γὰρ ἡ διαφορὰ ἡνωμένου πρὸς διακεκριμένον, τοῦτο δέ ἐστιν ἀδιάκριτον πρὸς τὸ διακεκριμένον· καὶ γὰρ τὸ ἀδιάκριτον τοῦ διακεκριμένου διέστηκεν, τοσοῦτον μόνον διακριθέν, ὅσον μεῖναι ἀδιάκριτον καὶ ὅσον ἀντιδιαστῆναι πρὸς τὸ διακεκριμένον. Τοσοῦτον οὖν συναπέχει τοῦ διακρῖναι τὸ ἡνωμένον ἡ τοιαύτη διάκρισις, ὥστε καὶ φυλάττει αὐτὸ ἀδιάκριτον, ἢ μᾶλλον διακεκριμένον ἀπὸ τοῦ διακεκριμένου· τοῦτο δέ ἐστι πάλιν αὖ ἀδιάκριτον· ὥστε κοινὴ μὲν ἡ διάκρισις, κατὰ γοῦν τὸ ὄνομα καὶ τὸ πρᾶγμα τῆς σχέσεως ὁλοσχερῶς τῆς αὐτῆς φανταζομένης, οὐκ οὔσης δὲ τῆς αὐτῆς, ἀλλ' ὅπου μὲν κατὰ τὸ διακεκριμένον ἱσταμένης, ὅπου δὲ κατὰ τὸ ἀδιάκριτον, καὶ ὅπου μὲν διακεκριμένης, ὅπου δὲ ἀδιακρίτου, καὶ αὐτῆς ἀδιακρίτου μενούσης. Εἰ δὲ ὅλως καὶ διάκρισιν αὐτὴν ὀνομάζομεν ὡς τῶν ἄλλων τι οὖσαν, συγγνῶναι δεῖ· τὰ γὰρ ὀνόματα τῶν διωρισμένων ἐστὶ καὶ εἰδητικῶν· διὸ καὶ τὴν ὕλην διακεκρίσθαι λέγοντες τοῦ εἴδους, ἀληθὲς μέν τι συλλογιζόμεθα, οὐ μὴν ἀληθῶς γε ὀνομάζομεν.

1.162 Τοσαῦτα μὲν περὶ τούτων. Ἐπειδὴ δὲ τὸ διακεκριμένον προῆλθεν ἀπὸ τοῦ ἀδιακρίτου, πᾶν δὲ προϊὸν μένον ποιεῖσθαι τὴν πρόοδόν φαμεν, καὶ αὖ πάλιν ἐπιστρέφεσθαι πρὸς τὸ ἀφ' οὗ γέγονεν ἡ πρόοδος, καὶ ὅλως ἐπειδὴ τρία ταῦτα λέγομεν εἶναι ἐφεξῆς ἀλλήλοις, μονὴν καὶ πρόοδον καὶ ἐπιστροφήν, φέρε καὶ περὶ τούτων αὐτὰ διαπορήσωμεν, καὶ πρῶτόν γε εἰ ἀναγκαῖον τὸ προϊὸν μένον ἐν τῷ παράγοντι προϊέναι, καὶ ἔτι πρὸ τούτου, τί τὸ μένειν λέγομεν τῇ αἰτίᾳ· οὐ γὰρ δὴ ὡς ἐν τόπῳ, οὐδὲ ὡς ἐν τάξει, οὐδὲ ἐν τῷ πρώτῳ· πῶς γὰρ ἂν ἔτι προεληλυθὸς εἴη καὶ ὁπωσοῦν; νῦν γὰρ ἡμῖν γιγνέσθω ὁ λόγος περὶ τῆς τοῦ προεληλυθότος προόδου· ἐξέσται γὰρ καὶ ἐπὶ μέσου τὰ αὐτὰ κατὰ τὸ διακρίνεσθαι συνορᾶν. Ἆρα οὖν πρῶτον αἴτιον, καὶ ταύτῃ μένον, τρίτον γέγονεν ἤδη; καὶ ταύτῃ προῆλθεν; ἀλλ' ἀδύνατον, ἢ γὰρ πρῶτον ἢ τρίτον ἐστίν. Ἆρα οὖν τὸ μένειν ἐκεῖνο σημαίνει ὅτι οὐκ ἐξίσταται τῆς τοῦ παράγοντος ἰδιότητος, ἀλλ' ἔχον ταύτην ἐν αὐτῇ, τὸ ἴδιον ἐγκεντρίζει, καθὸ πρόεισιν, οἷον ὁ ἄνθρωπος ἐν τῷ ζῴῳ, καὶ ἡ ζωὴ ἐν τῇ οὐσίᾳ; τοιάδε γὰρ ἡ ζωὴ οὐσία, καὶ ὁ νοῦς τοιάδε οὐσία ἅμα καὶ ζωή· προσφύεται γὰρ ἀεὶ τῷ κοινῷ τὸ ἴδιον, ᾗ ἀπ' αὐτοῦ προβάλλεται, μένει δὲ οὖν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προελθὸν ἐν τῇ ἰδιότητι τοῦ γεννῶντος. Ἀλλ' εἰ τοῦτο, πρῶτον μὲν οὐ τὸ προελθὸν μένειν ἐν ἐκείνῳ λεκτέον, ἀλλ' ἐκείνῳ τῷ προελθόντι συμπροελθεῖν· εἶτα μέντοι τοῦτο προεληλυθός, ὃ κοινὸν λέγομεν πρὸς τὸ γεννῆσαν ἢ καὶ αὐτὸ μένον προελήλυθεν, καὶ τοῦτο ἐπ' ἄπειρον ἥξει. Ἢ οὐκ ἀνάγκη τὸ προϊὸν μένον προϊέναι, ὥστε οὐδὲ τὸ ἴδιον ἀναγκαῖον μεῖναι· εἰ δὲ καὶ μένει τὸ κοινόν, ἀλλ' ὃ προεληλυθέναι φαμέν, τοῦτο οὐ μένει· τὸ δὲ ζητούμενον ἦν εἰ μένει τὸ προϊόν· ἀλλ' οὐ τὸ μένον ἐῶ λέγειν ὅτι οὐδὲ πάντως ἀπὸ τοῦ παράγοντος πρόεισι τι ὁμοφυές, καὶ τοῦτο μικρὸν ὕστερον ἐπιδείξομεν πολλῆς ἀπορίας ἐχόμενον καὶ ἴσως οὐχ οὕτως ἔχον ἁπλῶς δειχθήσεται, οὐδὲ ἐπὶ πάντων, εἴπερ καὶ ἐπὶ ἐνίων. Μήποτε οὖν τὸ προϊὸν ἢ προεληλυθὸς αἰτίαν ἔχει ἐν τῷ παράγοντι· καὶ τοῦτό ἐστι τὸ μένειν ἐν ἐκείνῳ τὸ ῥίζαν ἔχειν ἐν αὐτῷ τὴν αἰτίαν ἀφ' ἧς ἀποφύεται; καὶ γὰρ τὸ φυτὸν ἀπὸ γῆς ἀναβλαστάνει μόνον ἐν αὐτῇ κατὰ τὴν ῥίζαν· ἢ καὶ τοῦτο φανεῖται ἄλογον, εἴ τις ἀκριβῶς αὐτὸ βασανίσειεν· ἡ γὰρ αἰτία οὐκ ἔστιν αὐτὸ ἀπὸ τῆς αἰτίας παραγόμενον, ἀλλὰ τὸ μὲν δεύτερον, τὸ δὲ πρῶτον· ἐν γὰρ τῷ πρώτῳ ἵδρυται τοῦ δευτέρου ἡ αἰτία· καὶ γὰρ οὐσία τις τοῦ παράγοντος ἡ τοῦ παραγομένου αἰτία καὶ οὐ τούτου μέρος, ἀλλ' ἐκείνου, οὐδὲ ἀναλογεῖ τῇ ῥίζῃ, ἀλλὰ τῷ λόγῳ τοῦ ὅλου φυτοῦ ὅλῳ γε ὄντι καὶ ἐνουσιωμένῳ τῇ φύσει τῆς γῆς.

1.163 Εἰ δὴ ταῦτα οὕτως ἔχοντα φαίνεται, οἱ αὐτοὶ ἥξουσιν ἔλεγχοι· οὔτε γὰρ τὸ μένον πρόεισιν, οὔτε τὸ προϊὸν μένει· οὔτε γὰρ τὸ προαγόμενον ἐν τῷ προάγοντι ἔτι, οὔτε ἡ αἰτία πρόεισιν ἀπ' ἐκείνου εἰς τὸ προαγόμενον· οὐ γὰρ ἔτι αἰτία ἐστίν, ἀλλ' ἀπ' αἰτίας. Οὐ τοίνυν οὐ δὴ ῥητέον μένειν τὸ προϊόν, ἀλλὰ τὸ αἴτιον τοῦ προϊόντος. Ἴσως οὖν τοῦτό ἐστι τὸ λεγόμενον, ὅτι μένοντος ἐκείνου τοῦτο πρόεισιν; ἢ οὐκ ἐκείνου ἁπλῶς, ἀλλὰ τοῦ ἐν αὐτῷ αἰτίου μένοντος. Καὶ ἐπειδὴ ὁμοιοειδὲς τῇ αἰτίᾳ τὸ ἀπ' αἰτίας, αὐτό πως λέγεται τὸ μένον εἶναι καὶ προϊόν, ἔστι δὲ ὁλοσχερῶς μὲν ταὐτὸν τῇ γε ἰδιότητι καὶ τῷ εἴδει, κατὰ ἀλήθειαν δὲ οὐ ταὐτόν, οὐδὲ τῇ ὑποστάσει. Ἀλλ' εἰ οὕτω τις ὑποτιθοῖτο, πρῶτον διασπάσει τὸ παραγόμενον ἀπὸ τοῦ παράγοντος, εἰ μηδὲν αὐτοῖς ἐστι κοινὸν καθ' ὑπόστασιν, μηδὲ συνεχῆ τὰ προϊόντα τοῖς προάγουσιν, ἀλλὰ γεννᾶται ταῦτα ἀπ' ἐκείνων, ὡς ἄνθρωπος ἐξ ἀνθρώπου, διακοπτόμενα. Δεύτερον δέ, εἰ ὁλοσχερεῖ λόγῳ καὶ οὐκ ἀληθεῖ τὸ προϊὸν ἀνάγκη μένειν, οὐδ' ἂν ἀληθὲς εἴη τὸ ἀξίωμα, φαινόμενον δὲ μόνον, ὅτι φαινομένη καὶ ἡ ταυτότης, ἤγουν ἡ κοινωνία τῆς σχέσεως. Ἐκ δὲ τρίτων οὐδὲν ἐρεῖ σεμνὸν οὗτος ὁ λόγος, εἰ τοῦτο ἐρεῖ, ὅτι τὸ πρῶτον οὐκ ἔστι δεύτερον, οὐδὲ τὸ δεύτερον πρῶτον, ἢ τὸ γεννῶν οὐκ ἔστι τὸ γεννώμενον, καὶ ἀνάπαλιν, ἐκεῖνο μὲν μένειν, τοῦτο δὲ προϊέναι, καὶ οὐδέτερον ἅμα καὶ προϊέναι καὶ μένειν. Μήποτε οὖν τὸ προϊὸν τοιοῦτόν ἐστιν οἷον μηδετέρῳ κρατεῖσθαι μήτε μονῇ, μήτε προόδῳ μόνον, ἀλλὰ ἔχειν τι καὶ μένον καὶ προϊὸν ὁμοῦ, ὅπερ αἰτιατὸν εἶναι φαμεν· τῆς γὰρ τοῦ γεννωμένου φύσεώς ἐστι τὸ συναμφότερον.

1.164 Οὕτω γὰρ ἂν λέγοιτο καλῶς μένειν τὸ προϊόν, εἰ προΐοι ἅμα καὶ μένοι ταὐτόν. Ἀλλ' εἰ μὲν τοῦτο λέγοιμεν ἐπὶ τοῦ μέσου, ὅπερ ἐν τῷ προϊέναι τὸ εἶναι ἔχει, ἀλλ' οὐκ ἐν τῷ προεληλυθέναι, τὸ δὲ προεληλυθὸς καὶ διαστὰν ἤδη καὶ ἀφειμένον ἀπὸ τοῦ πρώτου ὡς τρίτον, πῶς ἂν ἔτι λέγοιτο μένειν ἐν ἐκείνῳ; ἀντίφρασις γὰρ εἰ προεληλυθὸς οὐ προελήλυθεν· ἢ τὸ μὲν ἔχει μένον, τὸ δὲ προεληλυθός· κάρα γὰρ ἄνω στηρίξαν ἔπειτα διατείνεται πρὸς τὸ κάτω. Ἀλλ' οὕτως οἵ τε πρότεροι λόγοι ἥξουσιν ἡμῖν, ὡς οὔτε μένει τὸ προεληλυθός, οὔτε τὸ μένον προελήλυθεν, καὶ πρὸς τούτοις οὐχ ὅλον ἔσται προεληλυθὸς ὅ γε ἐν τῷ προεληλυθέναι λέγομεν ὑφεστάναι, οὔτε ὅλον μένει ὅ γε μένον προεληλυθέναι φαμέν, οὐδέν τε διοίσει τοῦ ἐν τῷ προϊέναι ὑφεστῶτος, εἴπερ ὅλον ἑκατέρως. Εἰ δὲ μέρει ἄλλῳ καὶ ἄλλῳ μένει καὶ πρόεισι, μεριστὸν ἔσται πρὸς τοῖς εἰρημένοις, εἴπερ εἰς τὸ κάτω ἄνωθεν ἐκμηρύεται; Ἢ μερίζει μὲν ἡ ἡμετέρα ἔννοια καὶ τὰ ἀμέριστα· νοητέον δὲ ὅμως αὐτὰ ὡς ἔχειν ὀφείλει ἐκεῖνα καὶ οὐχ ὡς ἡμεῖς ἐννοοῦμεν, ἐπαγκαστέον τε τὰς ἀνθρωπίνας νοήσεις καὶ προσεθιστέον ἀναπλοῦσθαι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνευρύνεσθαι ὡς δυνατὸν εἰς τὴν ἐκείνοις προσήκουσαν ἀλήθειαν. Ὅλον οὖν λέγω τὸ προεληλυθὸς καὶ μένον εἶναι ἐν τῷ γεγεννηκότι κατ' αὐτό γε που ὃ προελήλυθεν, ὅτι αὐτὸ τὸ προεληλυθὸς κατὰ τὴν ἑαυτοῦ φύσιν ἰδιότροπον ὁμοιότατόν ἐστι καὶ συγγενέστατον τῷ παράγοντι καὶ οἷον αὐτὸ κατὰ τὸ τρίτον μέτρον, ὡς ἔπος εἰπεῖν, τῆς ὑποβάσεως. Καὶ γὰρ εἰ ἄλλο εἶδος ἐξ ἄλλου, ἀλλὰ σύνορός γε καὶ ὁμοφυὴς ἡ ἐξαλλαγή, καὶ οὐ τοσαύτη ἡ διάστασις, ἣν ἡμεῖς ἀναφέρομεν ἀπὸ τῶν τῇδε διασπασμῶν ἐπ' ἐκεῖνα· τοιοῦτος γὰρ ὁ νοῦς πρὸς ζωήν, ἡ ψυχὴ πρὸς νοῦν, ἡ ζωὴ πρὸς οὐσίαν, ὡς τῷ ἰδόντι κατὰ τὴν πρώτην προσβολὴν τὸ δεύτερον δόξαι ἂν εἶναι, τὸ πρὸ αὐτοῦ, μάλιστα μὲν τὸ προσεχέστατον, ἤδη δὲ καὶ τὸ πορρωτέρω, κἂν ἔσχατον ᾖ τῶν ἀφ' ἑνὸς προϊόντων. Οὐδὲν γὰρ οὐδὲ ὁπωστιοῦν πρὸς τὸ παράγον ἑτερόφυλόν ἐστι τῶν παραγομένων, οὐδὲ ἀνοίκειον, οὐδὲ ὃ μὴ περιείληπται ὑπὸ τοῦ γεννῶντος ὡς ἑαυτοῦ ὂν ἴδιον.

1.165 Εἰ δὲ ἡ τῶν ὀνομάτων διαφορὰ καὶ ἡ τῶν μεριστῶν φαντασμάτων διάκρισις ἀπατᾷ καὶ ἐν ἐκείνοις ὑποτίθεσθαι τὴν παντελῆ διάστασιν, οὐδὲν τοῦτο πρὸς τὴν ἐκείνων ἀλήθειαν. Πᾶν γὰρ ἁπλῶς ἐκεῖ τὸ γεννώμενον ἀπὸ τοῦ γεννῶντος ᾗ μὲν αὐτό, προελήλυθεν, ᾗ δὲ ἀπ' ἐκείνου, μένει· τὸ γὰρ ἀπ' ἐκείνου οὐκ ἔστι συμβεβηκός, ἀλλ' οὐσία τοῦ προελθόντος, καὶ ἐκεῖνο, τὸ δὲ αὐτὸ ὅ ἐστιν οὐδὲν ἧττον μετ' ἐκεῖνο· γνήσιον γὰρ τοῦτο ἐκείνου ἔκγονον, ὡς εἰ ὁ παῖς ὁμοιότατος εἴη τῷ οἰκείῳ πατρί, παῖς μὲν πάντως, ὁ δὲ πατήρ, τὸ δὲ εἶδος ταὐτὸν σχεδόν. Εἰ δὲ ἐκεῖ δοκεῖ ἑτεροειδὴς ἡ γέννησις, ἀλλ' εὖ εἰδέναι χρὴ ὅτι συμπέφυκεν μᾶλλον ἀλλήλοις ἐκεῖ τὰ ἕτερα κατ' εἶδος ἢ ἐνταῦθα τὰ αὐτά. Ὁ ἄρα νοῦς καθὸ νοῦς καὶ προελήλυθεν ἀπὸ τοῦ ὄντος, ἀπὸ πρώτου τρίτον, καὶ ὅν ἐστιν ἐγγύς τι τὸ πρῶτον, ἀλλὰ τρίτην τάξιν προσείληφεν· αὐτὸ γὰρ τὸ τρίτον καὶ ἡ τριὰς ἡ τοῦ νοῦ φύσις ἐστί, καὶ ὅσα καὶ οἷα τὸ πρῶτον, τοσαῦτα καὶ τοιαῦτα τὸ δεύτερόν ἐστι τρόπον τινά· πλὴν ὅτι ἐκεῖ μὲν ἡ ἕνωσις ἐπικρατεῖ, ἐνταῦθα δὲ ἡ διάκρισις. Ὅλως δὲ εἰπεῖν, εἰ ἐπὶ τῶν ὁμοταγῶν καὶ ἀντιδιῃρημένων ἕνωσιν ὁμοῦ καὶ διάκρισιν λέγομεν, ταυτότητά τε καὶ ἑτερότητα, πολλῷ μᾶλλον ἐπὶ τῶν γεννώντων καὶ γεννωμένων ἐροῦμεν ὡς ἕτερα καὶ τὰ αὐτὰ καὶ ὡς διακεκριμένα ἀπ' αὐτῶν, καὶ ὁμοῦ πρὸς αὐτὰ ἡνωμένα. Οὐκοῦν ᾗ μὲν τὰ αὐτὰ καὶ ἡνωμένα, μένειν λέγεται δικαίως, ᾗ δὲ αὖ πάλιν ἕτερα καὶ διακεκριμένα, προεληλυθέναι. Καθ' ὅλον ἄρα καὶ μένει καὶ προελήλυθεν ἕκαστον, ἕως μὲν τῶν ἐπ' ἔσχατον προελθόντων ἀπὸ τῶν πρώτων ἀρξαμένων, ἀλλ' ἤδη μᾶλλον καὶ ἧττον, ὅπου μὲν τῆς μονῆς ἐπικρατούσης, ἐν οἷς ἄπορος ἡ διάκρισις, ὅπου δὲ τῆς προόδου, ἐν οἷς ἀσυμφανὴς ἡ ἕνωσις. Ἀπὸ γὰρ τούτων καὶ ἡμεῖς ὁρμωμένοι καὶ ταῖς πρώταις τῶν προόδων ἐπιψευδόμεθα τὸν παντελῆ διασπασμόν, καίτοι οὐδὲ ἐν ταῖς ἐσχάταις ὄντα παντελῆ. Πᾶν μὲν οὖν τὸ προεληλυθὸς καὶ ἐν τῇ φύσει καὶ ἐν τοῖς ὅροις μένει τῶν οἰκείων αἰτίων· ὃ δὲ μὴ μένει, τοῦτο δέ ἐστι τὸ μηδαμῇ μηδαμῶς ὂν τοῦτο ἀφ' οὗ λέγεται προελθεῖν· τοῦτο οὖν οὐδὲ προελήλυθεν· τίς γὰρ ἂν εἴποι τὸ μηδαμῇ μηδαμῶς ὂν ἀπὸ τοῦ ὄντος προεληλυθέναι; Ἔστω τοίνυν αὐτὴ μὲν πρόοδος, αὐτὴ δὲ ἡ μονή, καὶ συμπεφυκέτω ἀεὶ ἑκατέρα τῇ ἑτέρᾳ, καθάπερ εἴρηται.

1.166 —Τί δ' ἐπὶ ταύταις ἡ ἐπιστροφὴ προστίθεται; τίς οὖσα καὶ τίνα χρείαν παρεχομένη τῷ προελθόντι; ὅτι μὲν τοῦτο προσήκει, φανερόν, δοκεῖ γὰρ ἐπάνοδος εἶναι· πᾶσα δὲ ἐπάνοδός ἐστι τοῦ προελθόντος, οὐ γὰρ οὔπω προῆλθεν· ἔτι δὲ μένει ἐν τῷ πρώτῳ, τί ἂν δέοιτό τινος ἐπιστροφῆς εἰς τὸ πρῶτον; καὶ γὰρ ἡ μονὴ κρείττων τῆς ἐπιστροφῆς· ὃ δὲ ἔχει τὸ κρεῖττον, τί ἂν δέοιτο τοῦ χείρονος; τοῦ μὲν δὴ προελθόντος ἐστί. Τί δέ ἐστιν ἡ ἐπιστροφή; τί δὲ ἄλλο φαίη τις ἂν ἢ τοῦ προελθόντος ἐπάνοδος εἰς τὸ γεννῆσαν; ἀντίθετος γὰρ τῇ προόδῳ καὶ οἷον ἐκείνης ἐπανόρθωσίς τίς ἐστι καὶ ἀνάλυσις. Τοιγαροῦν ψυχὴ τὴν ἑαυτῆς πρόοδον ἀναλύει διὰ τῆς ἐπιστροφῆς· ἀλλ' εἰ τοῦτο, οὐκ ἔτι ἔσται προεληλυθός, ἀπολεῖ γὰρ τοῦτο, εἰ ἐπιστρέψειεν. Ἢ ἐπὶ μὲν ψυχῆς ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο συμβαίνει, ἐπὶ δὲ τῶν ἀϊδίων ἑκάτερον ὁμοῦ καὶ κατὰ ταὐτόν. Ἆρα οὖν οὐ πάσης ἐπιστροφῆς ἴδιον τὸ ἀφομοιοῦν τῷ γεννῶντι τὸ γεννώμενον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς τῆς προόδου τὸ ἑτεροιοῦν; διακριτικὴ μὲν γὰρ ἡ πρόοδος, συναιρετικὴ δὲ ἡ ἐπιστροφὴ καὶ ἀναγωγὸς τοῦ τρίτου εἰς τὸ πρῶτον, ὡς ἐκείνη προαγωγὸς τοῦ πρώτου εἰς τὸ τρίτον. Φέρε οὖν ἴδωμεν τί ποτε καὶ λέγομεν· τὸ προεληλυθὸς ἐπιστρέφειν λέγομεν μένον γε ἐν τῷ προεληλυθὸς εἶναι· πλασιαίτερον ἄρα τῷ παράγοντι γίγνεται τὸ ἐπιστρέφον ἐν αὐτῷ τοῦ προεληλυθότος, προσλαμβάνει δὲ τὸ ἐπιστρεπτικὸν μετὰ τὸ προοδικόν· ὑποκείσθω γὰρ ἑκάτερον κατ᾽ οὐσίαν, κρεῖττον δὲ τὸ ἀεὶ προϋφιστάμενον τοῦ ἐπιγιγνομένου, ὥστε καὶ τὸ προοδικὸν τοῦ ἐπιστρεπτικοῦ· οὐκ ἄρα πλησιάζει τῷ γεννῶντι μᾶλλον καθὸ ἐπιστρέφει ἢ καθὸ προελήλυθεν. Εἰ δὲ καὶ μένει τὸ προεληλυθός, ὡς δέδεικται, τί δεῖται τῆς ἐπιστροφῆς, ἤδη κατὰ τὸ μένειν ἀφωμοιωμένον; Εἰ δὲ ἀνάκτησίς ἐστι τῆς μονῆς ἡ ἐπιστροφή, μονὴ ἂν εἴη καὶ αὕτη, ἀλλὰ μετὰ τὴν πρόοδον, καὶ οὐκ ἄλλο τι σημαίνει τρίτον ἡ ἐπιστροφή, εἰ μηδὲν ἄλλο παρὰ τὸ μένειν ἐργάζεται.

1.167 Καίτοι ἄλλο κατὰ τὴν ἔννοιαν τὸ ἐπιστρέφεσθαι παρὰ τὸ μένειν· κατὰ μὲν γὰρ τὸ μένειν αὐτὸ βούλεται εἶναι τὸ γεννηθὲν ὅπερ τὸ γεννῆσαν, ὥσπερ κατὰ τὴν πρόοδον αὐτὸ ὅπερ ἐστὶ τὸ γεννηθὲν μετὰ τὸ γεννῆσαν· κατὰ μέντοι τὴν ἐπιστροφὴν ὀρέγεται τὸ γεννηθὲν τοῦ γεννήσαντος, μένον αὐτὸ καὶ μένοντος ἐκείνου ἐν οἰκείοις ὅροις. Τὸ ὀρεκτικὸν γὰρ τοῦ ὀρεκτοῦ ἀντέχεται, ὡς ἄλλο ἄλλου, ἀεὶ δὲ τὸ ἄλλο μετὰ τὸ προελθεῖν. Τάχα οὖν ἡ ἐπιστροφὴ ὄρεξίς ἐστι τοῦ τρίτου ἐπιποθοῦντος· ἐν γὰρ τῷ μένειν οὔπω ὄρεξις, οὔπω γὰρ διέστη τὸ ὀρεκτικὸν τοῦ ὀρεκτοῦ· ἀλλὰ μὴν οὐδὲ ἐν τῷ προεληλυθέναι, διάστασις γὰρ αὕτη καὶ διάκρισίς ἐστι τοῖν δυεῖν, ἵνα τὸ μὲν ᾖ ὀρεκτικόν, τὸ δὲ ὀρεκτόν, μᾶλλον δὲ ἵνα τὸ τρίτον ἀποστὰν τοῦ πρώτου ὕστερον ὀρεχθῇ ἐκείνου πόθῳ τῆς ἀρχαίας φύσεως. Διόπερ οὐ τὸ μένειν ἐργάζεται ἡ ἐπιστροφή, ἀλλὰ τὸ πόρρωθεν ἀπολαύειν τοῦ γεννήσαντος ὀρεκτοῦ φανέντος· ὅθεν καὶ τὸ προελθεῖν κάλλιον τοῦ ἐπιστρέφεσθαι· οὐσιοποιὸν γὰρ τοῦ τρίτου τὸ προεληλυθέναι, τὸ δὲ ἐπιστρέφεσθαι τελειοποιόν. Ἀλλὰ τὸ ὀρεγόμενον ἐκεῖνο σπεύδει γενέσθαι ὅπερ τὸ ὀρεκτόν, ὥστε καὶ τὸ τρίτον ἐφίεται γενέσθαι τὸ πρῶτον, καὶ γίνεται διὰ τῆς ἐπιστροφῆς, ἀλλὰ πρῶτον γίνεται διὰ τῆς μονῆς αὐτῷ τῷ μένειν ἐν τῷ πρώτῳ; Ἢ τοῦτο μὲν ἔχει πρὸ τῆς προόδου, τὸ δὲ διὰ τῆς ἐπιστροφῆς μετὰ τὴν πρόοδον; ἀλλ᾽ ἄτοπον, ὡς εἴρηται πρότερον, ὃ ἤδη ἔχει, τοῦτο πάλιν λαμβάνειν, καὶ τὸ ἀτοπώτερον, ὅτι διὰ τῆς χείρονος ἐνεργείας. Ἀλλ᾽ ἴσως οὐκ αὐτὸ διὰ τῆς ἐπιστροφῆς· ἀλλὰ τί αὐτοῦ οἷον εἴδωλον, ὃ καὶ τῆς προόδου χεῖρον φανεῖται; ἀλλ᾽ οὐδὲν ὀρέγεται τοῦ εἰδώλου, οὐδὲ τοῦ χείρονος ὅλως ἐκείνου, οὗ ἔχει τὴν κρείττω καὶ πρεσβυτέραν ὑπόστασίν τε καὶ ἀπόλαυσιν. Ὅμοιον γὰρ ὡς εἴ τις ἔχων τελειοτάτην ὑγίειαν ἔπειτα ὀρέγοιτο τῆς ὑφειμένης, καὶ τὴν θεωρητικὴν ἀρετὴν κεκτημένος εὔχοιτο κτήσασθαι τὴν πολιτικήν.

1.168 Οὐκ ἄρα ταὐτὸν κατ᾽ εἶδος, ὅ τε ἡ μονὴ παρέχεται καὶ ὅπερ ἡ ἐπιστροφή· οὐδὲ γὰρ ταὐτὸν κατ᾽ εἶδος μονή τε καὶ ἐπιστροφή. Τί οὖν προσλαμβάνει διὰ τῆς ἐπιστροφῆς ὃ μήτε διὰ τοῦ μένειν ἐκέκτητο, μήτε διὰ τοῦ προελθεῖν; Ἐμφύεται δὲ ταῖσδε ταῖς ἀπορίαις καὶ ἐκείνη ζήτησις εἰκότως, διττὴν ὑποτιθεμένη τὴν μονήν· οὐ γὰρ τὸ προϊὸν μόνον, ἀλλὰ καὶ τὸ ἐπιστρεφόμενον διὰ μονῆς ποιεῖται, τοῦτο μὲν τὴν ἐπιστροφήν, ἐκεῖνο δὲ τὴν πρόοδον. Δύο γὰρ κινήσεις, ἥ τε ἄνωθεν κάτω, καὶ ἡ κάτωθεν ἄνω· μεταξὺ δὲ δύο κινήσεων τῶν ἀντικειμένων δύο στάσεις εἶναι λέγουσιν παῖδες φυσιολόγω ν. Καὶ γὰρ νῦν δὴ ἔφαμεν οὐκ εἶναι τὴν ἐπιστροφὴν ἀνάλυσιν τῆς προόδου καὶ ἀπώλειαν, ἀλλὰ μένον ἐν τῷ προεληλυθέναι ποιεῖται τὴν ἐπιστροφήν. Ἢ οὖν δύο μόνα τῷ γένει ποιητέον, στάσιν καὶ κίνησιν, ἤ, εἰ βούλει λέγω, μονὴν καὶ ὁδόν· ἢ τέτταρα τῷ εἴδει πρόοδόν τε καὶ ἐπάνοδον, καὶ μονὴν αὖ διττήν, τὴν ἄνω καὶ κάτω κατέχουσαν, ταύτην μὲν τὸ μέλλον ἐπιστρέφειν, ἐκείνην δὲ τὸ μέλλον προϊέναι. Τίς οὖν ἡ πολυθρύλητος αὕτη τῶν τριῶν ἀντιδιαίρεσις, μονῆς, προόδου, ἐπιστροφῆς; ἴσως φήσει τις ὅτι πρὸς ἓν τὸ πρῶτον αἱ τρεῖς διῃρέθησαν κατὰ τὰς τρεῖς πρὸς ἐκεῖνο σχέσεις, ἐν ᾧ τε καὶ ἀφ᾽ οὗ καὶ πρὸς ὅ· δῆλον δὲ καθότι ἑκάστη ἰδιοποιεῖται. Ἀλλὰ φήσω τὸ ἓν διττὸν εἶναι, τὸ μὲν ἄνω, τὸ

δὲ κάτω· καὶ γὰρ ἐν τῷ κάτω εἴδει μένει καὶ ἀπ’ αὐτοῦ ἐγείρεται κατὰ τὴν ἐπιστροφὴν καὶ πρὸς αὐτὸ πρότερον ἀποτείνεται κατὰ τὴν πρόοδον· ἑκατέρωθι μὲν γὰρ ἡ μονὴ τὸ μέσον, ἀλλ’ ὅπου μὲν προβαλλομένη τὴν πρόοδον, προβαλλομένη δὲ τὴν ἐπιστροφήν. Ἔχεται δὲ τῶν τοιούτων ζητημάτων καὶ ἐκεῖνο δικαίως, εἰ διττὴ ἡ ἐπιστροφή, ἡ μὲν πρὸς ἑαυτό τινος, ἡ δὲ πρὸς τὸ πρὸ ἑαυτοῦ, τί ἑκατέρα δίδωσι τῇ οὐσίᾳ τοῦ ἐπιστρέφοντος, καὶ τί διαφέρετον· καὶ εἰ ὅπου ἡ δευτέρα, καὶ ἡ ἑτέρα· ἔτι δὲ διὰ τί μὴ καὶ ἡ πρόοδος διττὴ καὶ ἡ μονὴ ὁμοίως, ἡ μὲν ἐν τῷ κρείττονι, ἡ δὲ ἐν ἑαυτῷ, καὶ αὖ πάλιν ἡ μὲν ἀπὸ τοῦ κρείττονος, ἡ δὲ ἀφ’ ἑαυτοῦ· εἰ γὰρ ἀεὶ ὁμοταγεῖς εἰσιν αἱ τρεῖς αὗται ἐνέργειαι, ὡς ἔχει μία, καὶ αἱ ἄλλαι ὡσαύτως ἔχουσιν.

1.169 Καὶ δὴ καὶ τοῦτο ζητείσθω εἰ ὅπου ἡ μία ἀναφαίνεται, καὶ αἱ ἄλλαι ἐκφαίνονται· καὶ εἰ τοῦ τρίτου πᾶσαί εἰσιν ἢ τοῦ μὲν τρίτου αἱ τρεῖς, [ἢ] τοῦ δὲ δευτέρου αἱ δύο, μονὴ καὶ πρόοδος, τοῦ δὲ πρώτου μία ἡ μονή· δοκεῖ γὰρ ἰδίως εἶναι τοῦ μὲν πρώτου ἡ μονή, τοῦ δὲ δευτέρου ἡ πρόοδος, τοῦ δὲ τρίτου ἡ ἐπιστροφὴ ἅτε ἤδη προεληλυθότος. Ἄνωθεν οὖν τὰς ἰδιότητας αὐτῶν ἀφορισάμενοι λέγωμεν τὰ φαινόμεν, θεὸς δὲ ἄγοι πρὸς τὴν ἀλήθειαν. Οὐκοῦν μονὴ μέν ἐστιν ἡ τοῦ πρώτου φύσις ἐγκεκραμένη τῷ τρίτῳ, πρόοδος δὲ ἡ τοῦ τρίτου ἀπόστασις ἀπὸ τοῦ πρώτου· οὐδετέρα δὲ ἀκραιφνής, οὔτε ἡ ἀπόστασις ἔρημος οὖσα καὶ διεσπασμένη τῆς οἰκείας αἰτίας, οὔτε ἡ τοῦ πρώτου φύσις ἐν τῷ τρίτῳ καταπεπωκυῖα τὴν πρόοδον, οὐδὲ ἐῶσα παραλλάξαι τὸ προελθὸν καὶ αὐτὸ ὃ λέγεται προελθεῖν εἰς ἄλλο γένος· ἀλλ’ ἐξ ἀμφοῖν οἷον στοιχείων τὸ τρίτον ἀπετελέσθη γέννημα τοῦ πρώτου γνήσιον, καὶ ὃ φέρει τὴν φύσιν ἐκείνην ἐν τῇ ἑαυτοῦ παραλλάξει. Ἡ δὲ ἐπιστροφὴ σύστασίς ἐστι καὶ περιγραφὴ τοῦ τρίτου καθ’ αὑτὸ Θεωρουμένου, οὔτε ὡς μένοντος οὔτε ὡς προϊόντος, μᾶλλον δὲ ἕνωσίς ἐστι τῶν δυεῖν στοιχείων εἰς ἄλληλα καὶ ἐπιστροφὴ τοῦ προοδικοῦ εἰς τὸ μόνιμον, καθ’ ἣν ἡ κρᾶσις τῶν δύο στοιχείων, καθ’ ἣν κρᾶσιν ὁ χαρακτὴρ ἐπιγίνεται καὶ τὸ εἶδος τοῦ τρίτου. Διόπερ ἡ ἐπιστροφὴ καὶ τοῦ τρίτου ἐστὶ μόνου· καὶ τοῦτο μέντοι ἰδιοποιὸς λέγεται καὶ τοῦ προελθόντος ἀνάτασις εἰς τὸ μένον ὅτι τοῦ προοδικοῦ ἐν τῷ τρίτῳ εἰς τὸ ἐν αὐτῷ μόνιμον καὶ τοῦ τρίτου εἰς τὸ πρῶτον, ὅτι τὸ προελθὸν κατὰ τὸ μένον ἐν τῷ πρώτῳ ἐστι. Καὶ ὁρᾷς ὅτι κατ’ οὐσίαν ἐν τῷ τρίτῳ τὰ τρία οἷα στοιχεῖα συγκέκραται ἀλλήλοις, καὶ τὸ ὅλον τὰ τρία ἔχει, καὶ πρός γε αὐτὸ τριχῇ ἐνεργεῖ, μένον ἐν ἑαυτῷ καὶ προϊὸν ἀφ’ ἑαυτοῦ καὶ ἐπιστρεφόμενον πρὸς ἑαυτό. Στοιχεῖα γὰρ αὐτοῦ τῆς οὐσίας τὰ τρία καὶ εἰς τὸ ὅλον ἕκαστον δρέψαι εἰς ἄλληλα ἅπαντα. Μένει οὖν διὰ τὸ μόνιμον τὸ ὅλον καὶ τὰ μέρη, καὶ αὖ πρόεισι διὰ τὸ προοδικὸν καὶ ἐπιστρέφει διὰ τὸ ἐπιστρεπτικόν.

1.170 Τοιγαροῦν καὶ μένει ἐν αὐτῷ τὸ τρίτον κατὰ τὸ ἐγκεκραμένον τῆς μονῆς ἰδίωμα, καὶ προϊὸν ἀφ’ ἑαυτοῦ καὶ ἐπιστρέφει πρὸς ἑαυτό. Ἀλλὰ δὴ τὰ τρία καὶ πρὸς τὸ πρῶτον ἐνεργεῖν λέγεται. Τίς οὖν ἡ διαφορά; ἢ ὅτι διττὴ ἡ διάκρισις, ἡ μὲν ἀπὸ τοῦ πρώτου, ὡς τρίτου, ἡ δὲ ἀφ’ ἑαυτοῦ ὡς πληθυομένου ἐν ἑαυτῷ καὶ οὐ τρίτου ἁπλῶς γινομένου, ἀλλὰ τριαδικοῦ κατὰ τὴν ἐν αὐτῷ φανεῖσαν τριάδα. Ἀλλὰ πᾶσα τριὰς καὶ μονάς ἐστι, ἡ πρὸ αὐτῆς πάντως μονάς· ὥστε κατὰ μὲν τὴν τριάδα πρόεισιν ἀφ’ ἑαυτοῦ, κατὰ δὲ τὴν μονάδα, μένει ἐν ἑαυτῷ, ἐπιστρέφει δὲ κατὰ τὴν ἕνωσιν τῆς τριάδος πρὸς τὴν μονάδα. Εἰ δὲ καὶ οὕτω λέγοι τις, οὐκ ἂν πόρρω βάλοι τοῦ ἀληθοῦς, ὡς τὸ μὲν τριαδικὸν ἐν αὐτῷ τῆς ἐπιστροφῆς αἴτιον· τρίτη γὰρ καὶ ἡ ἐπιστροφή· τὸ δὲ δυαδικὸν τῆς προόδου· δευτέρα γὰρ ἡ πρόοδος· τὸ δὲ μοναδικὸν τῆς μονῆς, ὅτι πρώτη ἡ μονὴ τῶν τριῶν. Ταῦτα μὲν οὖν ἕτερος λόγος. Πρὸς δ’ οὖν τὸ πρῶτον, μένει μὲν ἐν αὐτῷ, ὅτι οὐ πάντη διέστη καὶ ὁπωσοῦν, ἐπιστρέφει δέ, ὅτι τὸ διαστὰν τῷ μὴ διαστάντι συνῆψεν κατὰ τὴν εἰρημένην ἐπιστροφήν. Μία οὖν ἐπιστροφὴ ἢ διττή, ἡ μὲν πρὸς ἑαυτό, ἡ δὲ πρὸς τὸ πρὸ ἑαυτοῦ; ἢ τῷ μὲν ὑποκειμένῳ μία, τῇ δὲ σχέσει διττή. Καθόσον μὲν γὰρ ἑαυτὸ περιέγραψεν, ὡς εἴρηται, δι’ ἐπιστροφῆς, ἐπέτρεψε πρὸς ἑαυτό· καθόσον δὲ ὅλον ἔστη καθ’ ἑαυτὸ περιγεγραμμένον καὶ τέλειον, ὡμοιώθη τῷ πρὸ αὐτοῦ, ὅτι καὶ ἐκεῖνο πρὸ τούτου καθ’ ἑαυτὸ τέλειον, ἑαυτοῦ τινα

φύσιν ἴδιον εἰληχός, καὶ ὅτι μὲν τὸ τρίτον ὑπέστησεν ἑαυτὸ πρὸς ἐκεῖνο πρῶτον (ἐπιστροφὴ γὰρ καὶ αὕτη τις), καὶ ἔτι πρὸ τούτων ὅτι οἷον τὸ γεννῶν ἠβουλήθη, τοιοῦτον ἀπετελέσθη τὸ γεννώμενον. Τῷ ἄρα αὐτὸ ὅπερ ἐστι γενέσθαι ἐπέστραπται ἅμα καὶ πρὸς ἑαυτὸ καὶ πρὸς τὸ πρὸ αὐτοῦ. Ὡς δὲ ἔχει ἡ ἐπιστροφή, οὕτω καὶ ἡ πρόοδος· αὐτὸ γὰρ ὅ ἐστι καὶ ἀφ' ἑαυτοῦ πρόεισι κατὰ τὸ ἐν ἑαυτῷ διακεκριμένον καὶ τοῦ πρὸ αὐτοῦ· καθ' ἑκάτερον γάρ ἐστιν ὅ ἐστι· καὶ γὰρ καθ' ἑκάτερον προελήλυθε· καὶ μέντοι καὶ ἀπὸ τοῦ αἰτίου κατὰ τὸ συναμφότερον· καὶ γὰρ αὐτὸ τὸ προεληλυθὸς ὅλον ὅ ἐστι, κατὰ τὸ συναμφότερον· τὸ γὰρ ἀπὸ τοῦ πρώτου διακριθῆναι κατὰ τὴν τρίτην διάκρισιν, καὶ αὐτὸ ἐν ἑαυτῷ διακεκριμένον ἀπέδειξεν.

1.171 Ὁμοίως ἄρα καὶ ἡ μονὴ τῷ ὑποκειμένῳ ἐστὶν ἡ αὐτή, σχέσει διαφέρουσα μόνον. Τὸ γὰρ μὴ πάντη διαστῆναι τοῦ αἰτίου, τοῦτο ἐποίησεν αὐτὸ μηδὲ ἑαυτοῦ πάντη διαστῆναι. Τῷ αὐτῷ ἄρα μονίμῳ καὶ ἐν ἑαυτῷ μένει, καὶ ἐν τῷ πρὸ αὐτοῦ, καὶ τῷ προοδικῷ ἀφ' ἑαυτοῦ γε πρόεισι καὶ ἀπ' ἐκείνου· καὶ δὴ καὶ τῷ ἐπιστρεπτικῷ πρὸς ἑαυτό τε ἐπέστραπται καὶ πρὸς ἐκεῖνο. Τοῦτο δέ ἐστι τὸ τρίτον στοιχεῖον, καθὸ τὸ προοδικὸν τῷ μονίμῳ συνδέδεται. Ἐκ τριῶν ἄρα τούτων ἐστὶ τὸ προεληλυθός, οὐ καθὸ προῆλθεν, ἀλλὰ καθὸ τόδε οἷον νοῦς. Ἔστι δὲ καὶ ἐν τῷ προϊόντι τὰ τρία, ἀλλ' οὐκ ἐν μόνῳ τῷ προεληλυθότι· ἔστι καὶ ἐν τῷ μένοντι πρὸ τοῦ προϊόντος, ἀλλ' ἐν τούτῳ μὲν συνῃρημένα καὶ ἀδιάκριτα, ἐν δὲ τῷ τρίτῳ διῃρημένα, ἐν δὲ τῷ μέσῳ μέσως, καὶ διακρινόμενα μόνον. Ἀλλ' εἰ ἀδιάκριτα ἐν τῷ πρώτῳ, οὐδ' ἂν μένειν λέγοιτο δικαίως τὸ πρῶτον; ἢ ὡς μὲν ἔχον τὸ μόνιμον στοιχεῖον, οὐκ ἂν λέγοιτο· οὐ γὰρ ἔχει κατ' ἀλήθειαν ἀφωρισμένον· ὡς δὲ μὴ προϊὸν λέγοιτο ἂν κατὰ ἀναλογίαν ὡς πρὸς τὸ τρίτον, ἤ τόγε δεύτερον. Καὶ δὴ τὸ προϊὸν πρὸς τὸ ἐληλυθὸς καὶ προϊὸν μένον λέγοιτο ἄν· κατὰ ἀλήθειαν δὲ οὐδέτερον· οὔπω γὰρ οὐδὲ ἐν τούτῳ διώρισται τὰ στοιχεῖα· ἐν ἄρα τῷ τρίτῳ τὰ τρία διώρισται ἀπ' ἀλλήλων· πρῶτον ἄρα τὸ τρίτον κυρίως καὶ μένει καὶ πρόεισι καὶ ἐπιστρέφει πρὸς τὸ πρὸ ἑαυτοῦ· ἀλλὰ πρὸς μὲν τὸ προσεχές, ὅπερ ἦν τὸ δεύτερον κατὰ τὴν ὑπὸ τοῦ δευτέρου παραλλαγήν τε καὶ ὑπόστασιν, οἷον τὴν ἀπὸ τοῦ διακρινομένου· κατὰ δὲ τὴν ἀπὸ τοῦ ἀδιακρίτου καὶ πρώτου πρὸς αὐτὸ τὸ ὑπέρτερον. Ὁ γὰρ νοῦς φέρε εἰπεῖν καὶ πρὸς ζωὴν ἔχει τὴν τριπλῆν σχέσιν καὶ πρὸς τὸ ὂν κατὰ τὴν ἀπ' ἐκείνου γένεσιν. Ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις. Ἐν δὲ τῷ πρώτῳ, τρίτῳ γεγονότι, τὰ τρία φανέντα προέρχεται καὶ διὰ πάντων τῶν ἐφεξῆς. Τρίτον λέγω δὲ οἷον εἰ ἐν τῷ πρώτῳ ἐφάνη νῷ, καὶ ἐν παντὶ νῷ τὰ τρία ἐστι· ἐπικρατεῖ δὲ ὁμῶς ἐν μὲν τῷ ἄκρῳ ἡ μονή, τὰ ἄλλα εἰδοποιοῦσα, ἐν δὲ τῷ ἐσχάτῳ ἡ ἐπιστροφή, ἐν δὲ τῷ μέσῳ ἡ πρόοδος. Διόπερ ἐν ἑκάστῃ νοερᾷ τριάδι τὸ μὲν πρῶτον μονιμώτερον, τὸ δὲ δεύτερον προοδικώτερον, τὸ δὲ τρίτον ἐπιστρεπτικώτερον. Οὐκοῦν ἐπὶ τούτοις ἡ διττὴ μονὴ οὐκ ἄλλως ὑπετίθετο, εἴπερ μένειν ἐστὶ τὸ μὴ διαστῆναι πάντη τοῦ γεννῶντος αἰτίου μηδὲ τῆς ἐκείνου φύσεως, τὸ δὲ ἐπιστρέφειν ἐστὶ τὸ τὴν ἑαυτοῦ περιγράφειν ὑπόστασιν ἐν τῷ προεληλυθέναι μετὰ τοῦ μένειν, ἵνα ᾖ τὸ αὐτὸ προεληλυθὸς καὶ οὐ προεληλυθός, οὐ διεσπασμένον ἑκάτερον, ἀλλὰ συναμφότερόν τι γιγνόμενον διὰ τῆς ἐπιστρεπτικῆς ἰδιότητος.

1.172 Τοιοῦτον γὰρ ὂν τὸ τρίτον ὅλον τίνα ἂν ἔχοι μονὴν ἄλλην πρὸς τήνδε τὴν ἐπιστροφήν, ἢ τήνδε τὴν πρόοδον; εἰ μὴ ἄρα πρὸς τὰ μετὰ ταῦτα καὶ ἀπ' αὐτοῦ παραγόμενα; τὸ γὰρ ἐν τῷ οἰκείῳ εἴδει καὶ τῇ οἰκείᾳ τάξει παράγον ἀφ' ἑαυτοῦ τὰ ἀπ' αὐτοῦ τὸ μόνιμον ἔχοι ἂν ἀπὸ τῆς συνουσιωμένης μονῆς. Εἰ μὴ ἄρα, οὐδὲ ῥητέον τὰ παράγοντα μένειν, ἀλλὰ τὰ παραγόμενα ἐν τοῖς προάγουσι καὶ ἐν ἑαυτοῖς· ἢ τὸ μένειν τῶν παραγόντων κατὰ τὸ μὴ συμπροϊέναι τοῖς παραγομένοις θεωρητέον. Τί οὖν; ὅλον τὸ τοιοῦτον οὐκ ἐπιστρέφει πρὸς τὸ πρῶτον; ἢ ἐπιστροφὴν ποιήσεται· ἢ πρῶτον εἰ ἐπιστρέφοι πρὸς τὸ γεννῶν, δεῖ αὐτὸ προεληλυθὸς εἶναι, καὶ οὐ μένειν, ὡς ἡ ἀπορία. Εἰ δὲ ἐν τῷ προεληλυθέναι μένειν λέγοι τις, ἐπίτασιν λέγοι ἂν καὶ οἷον βεβαίωσιν τοῦ προεληλυθέναι τὴν αὐτὴν μονήν, ἀλλ' οὐχὶ τὴν ἀντιδιῃρημένην τῇ προόδῳ τε καὶ ἐπιστροφῇ, ἐπεὶ καὶ τὸ ἐπιστρέφειν προϊέναι ἐστί· προκοπὴ γάρ τις, ἀλλ' οὐχὶ

ἀπὸ τοῦ αἰτίου. Εἰ δὲ καὶ μέθεξιν ἐν ἑκάστῃ θεωροῖ τις ἑκάστης, ἐπεὶ καὶ τὸ μόνιμον τοῦτο πρόεισιν εἰς τὸ τρίτον· εἰ δὲ καὶ πρόεισι, καὶ ἐπιστρέφει· οὕτω γὰρ καὶ ἡ πρόοδος ἕξει τι ἐπιστρεπτικόν, εἴπερ καὶ αὕτη προῆλθε· καὶ ἡ ἐπιστροφὴ ἕξει τι μόνιμον, εἴ γε καὶ προοδικόν. Οὕτω δ' οὖν ὑποτιθέμενοι καλῶς ὁμολογήσομεν· ὁμοταγῆ γὰρ ὄντα τὰ τρία ἀντιμεθέξει ἀλλήλων· ἡ δὲ ἀπορία οὐχ ἕξει χώραν, ἡ γὰρ διαίρεσις οὐκ ἐγένετο τῶν καθ' ὕπαρξιν ἰδιοτήτων· ἡ ἄρα κάτω μονὴ μέθεξίς ἐστι τῆς ἄνω ῥηθείσης. Τίς οὖν ἡ τῶν τριῶν ἀντιδιαίρεσις; τὸ μὲν γὰρ προϊέναι καὶ μένειν ἀντιφατικόν, προϊέναι γὰρ καὶ μὴ προϊέναι λέγεται. Τὸ δὲ ἀντιστρέφειν τί πρὸς ταῦτα; ἢ ὅτι τὸ προελθεῖν διάστασιν μόνην δηλοῖ καὶ παράλλαξιν, οὔπω δὲ συστροφήν τινα καὶ σύστασιν τοῦ χαρακτῆρος ἐν τῷ τὸ προελθεῖν ἔστη καὶ περιεγράφη· τοῦτο οὖν ἡ ἐπιστροφὴ προστεθεῖσα συνεισήγαγεν, ὡς τὸ μὲν εἶναι δηλωτικὸν τῆς ἀπ' ἄλλου εἰς ἄλλο διαστάσεως ἢ παραλλάξεως, τὸ προοδικὸν ἰδίωμα, τὸ δὲ μόνιμον τοῦ γεννῶντος εἴδους, τὸ δὲ ἐπιστρεπτικὸν τοῦ γεννωμένου παραστατικόν. Εἰ δὲ μετέχει τὰ γεννώμενα τῶν γεννώντων, καὶ ὅπως μετέχει ἢ οὐ μετέχει, μετὰ ταῦτα ζητήσομεν.

1.173 Νῦν δὲ μόνον ἡ ἀνάγκη τῆς διαιρέσεως ἀποδέδοται τῶν τριῶν, ὡς τὰ μὲν κατὰ τὰ πέρατα θεωρεῖται, τὸ δὲ κατὰ τὸ μέσον· μένει μὲν γὰρ ἐν τῷ παράγοντι, ἐπιστρέφεται δὲ κατὰ τὸ παρηγμένον, ὅ ἐστιν· πρόεισι δὲ εἰς τοῦτο ἀπ' ἐκείνου. Ἀλλ' ἐπεὶ ταῦτα καθόλου διώρισται, φέρε νῦν ἐπὶ τῶν πραγμάτων αὐτὰ παραλάβωμεν. Τριχῇ γὰρ ἑκάστη διαιρεῖται, ἥ τε μονὴ καὶ πρόοδος καὶ ἐπιστροφή, ἑκάστη γὰρ ἢ οὐσιώδης ἐστὶν ἢ ζωτικὴ ἢ γνωστική. Ὅτι μὲν γάρ ἐστιν ἐπιστρέφεσθαι κατὰ γνῶσιν, φανερόν· ἔστι γὰρ τὸ γιγνῶσκον καὶ ἑαυτὸ καὶ τὰ πρὸ αὐτοῦ· ὅτι δὲ καὶ κατ' οὐσίαν, δηλοῖ τὸ δεῖν εἶναί τι αὐθυπόστατον, ἀλλὰ μὴ μόνον ἑτέρωθεν ὑφιστάμενον. Ἢ γὰρ ἐπ' ἄπειρον, εἰ μηδὲν αὐθυπόστατον, ἢ μετὰ τὸ πάντη τὴν ὑπόστασιν ἐκβεβηκὸς ὡς μηδαμῶς ὑφεστάναι μήτε ἀπ' ἄλλου μήτε ἀφ' ἑαυτοῦ, τὸ ἑτέρωθεν ὑφιστάμενον θήσομεν· καὶ τὸ ἀφ' ἑαυτοῦ ὑποβλέψομεν μέσον γε ὂν τῇ ἑαυτοῦ φύσει, καθάπερ τὸ αὐτοκίνητον τοῦ ἀκινήτου τε καὶ ἑτεροκινήτου μέσον ὁμολογοῦμεν. Εἰ γάρ τι καὶ ἑτέρωθεν ὑφιστάμενον κρεῖττον τοῦ ἀφ' ἑαυτοῦ, ἀλλ' ἔστι τι, ὃ καὶ χεῖρον, ὅπερ ἐπὶ τῶν σωματοειδῶν ἀληθὲς εἰπεῖν. Δεῖ δὲ εἶναι τὸ φύσει κρεῖττον, εἴπερ καὶ τὸ χεῖρον. Ἀλλ' ὅτι μέν ἐστι τὸ αὐθυπόστατον, καὶ αὖθις ἐπιζητήσομεν τοῦτό τε καὶ ὅ τε τυγχάνει ὄν, καὶ καθ' ἣν ἐκφαίνεται τάξιν. Τοῦτο δὴ οὖν τὸ ἑαυτὸ ὑφιστάνειν, ἐπιστρέφεσθαί ἐστιν αὐτὸ πρὸς ἑαυτὸ κατ' οὐσίαν· ἔσται ἄρα καὶ αὐτόζων κατὰ τὰς αὐτὰς αἰτίας, ὅπερ ἑαυτὸ ζωοποιεῖ. Καὶ οὐχ ἑτέρωθεν μόνον δέχεται τὴν ζωήν, ἀλλὰ πρὸς μὲν ἑαυτὸ τοιαῦτα ἐπιδείκνυται τὰς τρεῖς ἐπιστροφάς· πρὸς δὲ τὸ πρῶτον πῶς; γνωστικὴ μὲν γὰρ εἰς ἐκεῖνο ἐπιστροφὴ τοῦ τρίτου γίγνεται, ὅτι γιγνώσκει ἐκεῖνο· ζωτικὴ δέ τινα τρόπον, ἣ οὐσιώδης τάχα σαφεστέρα προφαίνεται. Καὶ γὰρ ἐλέγομεν ἐν τοῖς πρόσθεν ὅτι τὸ τρίτον, ἐπειδὴ προῆλθεν καὶ καθ' ἑαυτὸ γέγονεν καὶ ὅρον ἔσχεν ἀφ' ἑαυτοῦ τὸν οἰκεῖον, οὕτω τούτῳ ἐπεστράφη πρὸς τὸ πρῶτον, ἄλλο τοιοῦτο γεγονὸς ἐν τῇ τρίτῃ τάξει οἷον ἐν τῇ πρώτῃ ἐκεῖνο, οἷον ὡς ἐκεῖνο τὸ ὂν ἁπλῶς, τοῦτο νοῦς ἁπλῶς· καὶ ὡς ἐκεῖνό γε οὐσία ἡνωμένη, οὕτως τοῦτο νοῦς συνῃρημένος, οἷα προσήκει τῷ νῷ συναίρεσις, οὐχ οἷα τῷ ὄντι.

1.174 Διόπερ εἰς ὅρον ἐμβὰς τὸν οἰκεῖον ὁ νοῦς ᾠκειώθη τῷ πρώτῳ πάντων ὅρῳ φανέντι· αὕτη μὲν οὖν ἡ κατ' οὐσίαν ἐπιστροφὴ τοῦ νοῦ πρὸς τὸ ὄν· ἡ δὲ κατὰ ζωὴν τίς ἂν εἴη; ἢ ἐπειδὴ μετὰ τὸ ὂν ἡ ζωὴ καὶ ἄμεσος ἡ πρὸς τὸ ὂν τῆς ζωῆς συναφή, τὸ ζωτικῶς ἐπιστρεφόμενον πρὸς τὸ ὂν εἰς τὴν πρὸς αὐτὸ συναφὴν ἐκείνην ἐπείγεται ἣν πρὸς αὐτὸ συνῆπται πρὸ τῶν ἄλλων ἁπάντων αὕτη ἡ ζωή. Ὥστε ἡ μὲν οὐσιώδης ἐπιστροφὴ πρὸς ἐκεῖνο ποιεῖ τὸ ἐπιστρεφόμενον, οἷον ἐκεῖνο, ἡ δὲ ζωτικὴ συνημμένον αὐτῷ μόνον ἀμέσως κατὰ τὴν ζωήν, ἡ δὲ γνωστικὴ πόρρωθεν αὐτὸ καὶ ἀπὸ τῆς τρίτης ἐπανάγει τάξεως ἐπὶ τὸ πρῶτον· καὶ ἀΐδιος αὕτη τοῦ τρίτου ᾗ τρίτον ἐπιστροφή, καὶ τοῦ νοῦ ᾗ νοῦς· πολλὴ γὰρ ἡ πρὸς τὸ ὂν διάστασις τοῦ νοῦ, καὶ πρὸς τὸ γιγνωσκόμενον τοῦ γιγνώσκοντος· ἐν διακρίσει γὰρ ἀξιολόγῳ τὸ ὁρῶν πρὸς τὸ ὁρώμενον· ἡ δὲ

ζωὴ σχεδὸν οὐσία ἐστὶ καὶ εὐθὺς μετ’ ἐκείνην, καὶ τὸ ζῶν τοῦ οὐσιωμένου οὐ πόρρω. Περὶ δὲ τούτων καὶ αὖθις ἐροῦμεν, αὐτίκα δὴ μάλα. Νῦν δὲ τὰς ἐπιστροφὰς ἀποδεδώκαμεν τοῦ νοῦ πρὸς τὸ ὄν, καὶ τοῦ τρίτου πρὸς τὸ πρῶτον· ὁμοίας δὲ ἀποδώσωμεν καὶ τὰς πρὸς τὸ δεύτερον τοῦ τρίτου καὶ τοῦ νοῦ πρὸς ζωήν. Γιγνώσκει τε γὰρ ὁ νοῦς τὴν ζωήν, εἴπερ καὶ τὸ ὄν, καὶ κατὰ τὸν ὅμοιον τρόπον, καὶ μέντοι καὶ εἰς τὸν ὅρον αὐτῆς ἐμβήσεται, ὅς ἐστιν αὐτῆς οὐσία, καθ’ ὃν ζωὴ γίγνεται νοερὰ ὁ νοῦς, ὥσπερ οὐσία νοερὰ κατὰ τὴν πρὸς τὸ ὂν ἀφομοίωσιν, ὥσπερ νοῦς κατὰ τὴν ἑαυτοῦ τρίτην ἰδιότητα· νόει γάρ μοι τὸν νοῦν ὡς τρίτον ὄντα τρίμορφον γεγονότα καθ’ ὅλον ἑαυτόν, καὶ ὄντα καὶ ζῶντα καὶ νοοῦντα, συνῃρημένον τε καὶ διακρινόμενον καὶ διακεκριμένον· ᾗ οὖν ζωῇ καὶ πῶς διακρίνεται ὡς ἐν διακεκριμένῳ τὸ διακρινόμενον εἶναι δυνατὸν ἀφομοιοῦται πρὸς τὴν ζωὴν καὶ οἷον εἰς ζωὴν καθίσταται· καὶ αὕτη ἐστὶν ἡ πρὸς ζωὴν οὐσιώδης ἐπιστροφή· τίς δὲ ἂν εἴη ἡ ζωτικὴ πρὸς ζωήν; ἢ ἄλλο ἐστὶν ἑστάναι κατὰ τὸν ὅρον τῆς ζωῆς, καὶ γενέσθαι ζωήν. Ἄλλον οὖν ὄντα καὶ καθ’ ἑαυτὸν ἑστῶτα, ὅς ἐστι συνῆφθαι ζωῇ, ὡς τρίτον δευτέρῳ, καὶ ζῆν μᾶλλον ἢ ζωὴν εἶναι, καὶ ὀρέγεσθαι ζωῆς, ἀλλ’ οὐχὶ καὶ ἤδη ζωὴν γενέσθαι.

1.175 Ὁ δὲ αὐτὸς ἡμῖν ἁρμοζέτω πανταχοῦ τύπος τῶν τριῶν ἐπιστροφῶν, ὁπούποτε ἂν ὦσι καὶ ὁπόσων ἢ πρὸς ὁπόσα τῶν προϋπαρχόντων· πρὸς γὰρ ἕκαστα ἐπιστρέφεται τῶν πρὸ ἑαυτοῦ τὸ ἐπιστρεφόμενον, εἴτε ἔγγυθεν, εἴτε πόρρωθεν, ἀφομοιοῦταί τε πρὸς ἐκεῖνο πᾶν πρὸς ὃ ἐπιστρέφεται, εἴτε δὴ κατὰ τὰς εἰς αὐτὸ συρρεούσας ἀπὸ τῶν πρὸς ἃ ἐπιστρέφεται ἰδιότητας οἰκείας ἤτοι πληρωμάτων ἢ στοιχείων, ἤτοι συνουσιωμένας τῷ δεχομένῳ, ἢ ἐπεισάκτους ἄλλως γιγνομένας, εἴτε κατὰ τὰς ἐν αὐτῷ τῷ ἐπιστρεφομένῳ διαφόρους ὑπάρξεις, αὐτοῦ οὔσας ἰδίας καὶ οὐκ ἄνωθεν ἡκούσας, ἄλλως δὲ ἐκείναις ἀναλογούσαις ταῖς τῶν προγενεστέρων φύσεσι, πρὸς ἃ καὶ ἡ ἐπιστροφὴ κατὰ ἀναλογίαν ἐπιτελεῖται. Ὁ μὲν γὰρ ἤδη προάγων λόγος ἑκάτερον ἐδόκει λέγειν, ποτὲ μὲν τῷ προεληλυθότι καὶ τρίτῳ ὅρῳ τὸν νοῦν ἀφομοιῶν πρὸς τὸ ὄν, ποτὲ δὲ τῷ ἐνόντι αὐτῷ ἑνουμένῳ ἀνάγων αὐτὸ πρὸς τὸ πρὸ αὐτοῦ ἡνωμένον, τὸ τοῦ ὄντος λέγω συνῃρημένον. Εἰ δὲ ἑκάτερον ἀληθές, ἢ οὐδέτερον ἢ τὸ ἕτερον ὁποτερονοῦν, ἢ πάντα ταῦτα πῇ τε καὶ πῶς, εἰσαῦθις ἀναβάλλομαι εἰς τὸν περὶ τῶν μεθέξεων λόγον. Νῦν δὲ τοσοῦτον διορίζομαι συντομώτερον ὡς ἄλλο μὲν εἶναι αὐτὸ ὅ ἐστιν, ἄλλο δὲ τὸ ὁμοιοῦσθαι πρὸς ἄλλο κατ’ αὐτό γε ὅ ἐστιν· οἷον νοῦς ἐστιν ἀφ’ ἑαυτοῦ μένων, ὅς ἐστι, κατὰ τὴν εἰς ἑαυτὸ ἐπιστροφήν, ἑαυτὸν περιγράψας καὶ οὐσιωδῶς καὶ ζωτικῶς καὶ γνωστικῶς· ἀλλὰ καὶ ἀπὸ τῆς ζωῆς προῆλθεν τοῦτο ὅ ἐστιν ὁ νοῦς, πάντα καὶ ἐκεῖθεν ὅσα ἀφ’ ἑαυτοῦ κεκτημένος. Πᾶς οὖν καὶ ὅλος ἐπέστραπται πρὸς τὴν αἰτίαν, οὐ καθοσονοῦν ἑαυτοῦ ἐστιν, ἀλλὰ καθόσον ἐκείνης· ὀρέγεται οὖν συνῆφθαι τῇ παραγούσῃ αἰτίᾳ καὶ εἶναί πως ἐκείνη ὡς δύναται καὶ ὁρᾶν αὐτὴν ὡς πρὸ αὐτοῦ τεταγμένην καὶ κεχωρισμένην. Οὕτω δὲ ἔχει καὶ πρὸς τὸ ὂν καὶ ἕκαστον τῶν παραγόντων, κἂν ᾖ πολλὰ παρακτικὰ πρὸς ἕκαστον ὁμοίως. Ἀπαιτεῖ δὲ ὁ λόγος μετὰ ταῦτα διαπορούμενος πρῶτον μὲν διὰ τί μόνον τριχῇ διειλόμεθα τῶν τριῶν τούτων ἑκάστην, ἐπιστροφὴν λέγω καὶ πρόοδον καὶ μονήν, οὐσιώδη φαμὲν καὶ ζωτικὴν καὶ γνωστικήν. Ἐνῆν μὲν γὰρ εἰπεῖν καὶ τριαδικῶς, ἀδιάκριτον, διακρινομένην, διακεκριμένην, ἢ ἑνιαίαν καὶ πεπληθυσμένην, καὶ μέσην τινά, ἣν καλεῖν τις ἀξιώσει ἡνωμένη ν.

1.176 Ἔξεστι δὲ καὶ πολλαχῶς θεωρεῖν· καθ’ ἕκαστον γὰρ κόσμον ἐστὶν ἑκάστη μονή τε καὶ πρόοδος καὶ ἐπιστροφὴ ἰδιότροπος· ἀλλὰ καὶ καθ’ ἕκαστον εἶδος οἰκεία τῷ εἴδει καὶ παρώνυμος ἐκείνῳ, ἀλλ’ οὐ μόνοις τοῖς τρισὶ τούτοις, νῷ τε καὶ ζωῇ καὶ ὄντι. Τάχα γὰρ ἄν τις καὶ ἀπορήσειε τίς ἡ τριὰς αὕτη καὶ πόθεν λαβοῦσα τὴν ἀντιδιαίρεσιν· ἡ μὲν γὰρ γνῶσις ἀντιδιαιρεῖται πρὸς τὸ γνωστόν· καὶ ἔστω τι μέσον, εἰ βούλει, γιγνῶσκον καὶ γιγνωσκόμενον· ἀλλ’ οὔπω τοῦτο ζωή, οὐδὲ τὸ γνωστὸν πάντως ὄν. Πολλὰ γὰρ καὶ ἄλλα γνωστὰ καὶ πᾶν εἶδος γνωστόν, ὥστε καὶ ὁ νοῦς γνωστόν. Διὰ τί οὖν ὡς γνωστικός, ἀντιδιαιρεῖται τῷ ὄντι ὡς γνωστῷ; πόθεν δὲ ἡ οὐσία

πρὸς νοῦν ἀντίκειται, ἵνα καὶ τὴν ζωὴν ἐν μέσῳ τάξωμεν; εἰ μὲν γὰρ κίνησις ἡ ζωή, τίς ἡ ἀντίθετος τῇ κινήσει στάσις; ἢ γὰρ ὁ νοῦς καὶ ἐκτὸς φαίνεται τῆς ἀντιδιαιρέσεως, ἢ οὐσία ἡ αὐτὴ κατὰ τὴν στάσιν· ὁ δὲ νοῦς ἔξω τῆς ἀντιθέσεως. Πρῶτον μὲν οὖν, ὅπερ ἔφην, περὶ αὐτῆς ἀπορητέον τῆς τριαδικῆς ἀντιδιαιρέσεως. Δεύτερον δὲ εἰ τὸ ἐπιστρεφόμενον πάντως τὸ τρίτον ἐστίν, ὡς ἀρχόμενος ἐδόκει λέγειν ὁ λόγος. Τοῦ γὰρ τρίτου πρὸς τὸ πρῶτον ἔλεγεν εἶναι· ἢ καὶ τὸ δεύτερον ἐπιστρέψει πρὸς τὸ πρὸ ἑαυτοῦ, ὡς τὸν νοῦν ἐτίθετο πρὸς ζωὴν ἐπιστρέφοντα τὴν προσεχῶς ὑπερκειμένην, ὥστε καὶ τὴν ζωὴν ἀξιώσει τις ἐπιστρέφεσθαι πρὸς τὸ ὄν, καίτοι ὃ μὴ προελήλυθεν οὐδὲ ἐπιστροφῆς δεῖσθαί φαμεν. Τρίτον ἐπὶ τούτοις ἀπορητέον εἰ μὴ μόνη ἡ ἐπιστροφὴ θεωρεῖται τριχῶς, ἀλλὰ καὶ ἡ μονὴ καὶ ἡ πρόοδος, οὐσιώδης τε καὶ γνωστικὴ καὶ ζωτική, ἡ μὲν ἀφ᾽ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ ἑκάστη, ἡ δὲ ἀπὸ τοῦ πρὸ αὐτοῦ καὶ ἐν τῷ πρὸ αὐτοῦ. Τέταρτον δὲ πῶς ἐπὶ μὲν τῆς γνωστικῆς ἐστι τρία ταῦτα, γιγνῶσκον, γιγνωσκόμενον, γνῶσις, ἐπὶ δὲ τῶν οὐσιωδῶν ἐπιστροφῶν οὐκέτι, οὐδὲ ἐπὶ τῶν ζωτικῶν. Εἰ δέ ἐστίν πως, ποῖα ταῦτα ἂν εἴη; Πέμπτον διὰ τί τὸ μὲν αὐτόγνωστόν ἐστιν ὅπερ ἑαυτὸ γιγνώσκει, τὸ δὲ αὐτόζων καὶ αὐθυπόστατον ὅπερ ἑαυτὸ ποιεῖ ζῆν τε καὶ εἶναι.

1.177 Τῆς γὰρ ἐπιστροφῆς ἑκάστης ἴδιον εἶναι ῥητέον τὸ συννεύειν αὐτὸ πρὸς ἑαυτὸ μόνον, οὐ μέντοι καὶ ζωοποιεῖν· τοῦτο γὰρ ζωῆς ἢ ζωοποιοῦ τινὸς ἴδιον, ἀλλ᾽ οὐκ ἐπιστροφῆς αὐτὸ μόνον βουλομένης ἐπιστρέψαι πρὸς ἑαυτό. Ὁμοίως δὲ καὶ τὸ οὐσιοποιὸν τῆς ἐπιστροφῆς ἀλλότριον· ἡ γὰρ ἑαυτοῦ γνῶσις οὐκ ἔστι γνωστοποιὸς ἢ γιγνώσκοντος ἀπεργαστική, καίτοι ἐδόκει καὶ ταύτην κατὰ τὸ ποιεῖν ἐνδέχεσθαι, εἴπερ καὶ ἐκείνας. Ἕκτον δὴ οὖν ἐστι πρὸς τοῖς εἰρημένοις διὰ τί τῶν πρὸς τὰ προγενέστερα ἐπιστροφῶν ἡ μὲν γνωστικὴ ὁμοίως ἔχει τῇ πρὸς ἑαυτό· γιγνώσκει γὰρ καὶ ἐκεῖνο μόνον, ὥσπερ καὶ ἑαυτὸ κατὰ τὴν ἐπιστροφήν, ἡ δὲ ζωτική τε καὶ οὐσιώδης οὐ τὸν αὐτὸν τρόπον· ἑαυτὸ μὲν γὰρ οὐσιοῖ καὶ ζωοῖ τὸ κατ᾽ αὐτὰς ἐπιστρεφόμενον πρὸς ἑαυτό, οὐ μέντοι δρᾷ τι καὶ εἰς τὰ πρὸ ἑαυτοῦ κατ᾽ οὐδοτιοῦν. Ἕβδομον τοίνυν ζητητέον πῶς γιγνώσκει τὸ πρὸ ἑαυτοῦ. Ἆρα τῷ γιγνώσκειν ἑαυτὸν ὁ νοῦς καὶ τὸ πρὸ αὐτοῦ γιγνώσκει, ὥσπερ τῷ ἑαυτὸν κατὰ τὸν ἑαυτοῦ ὅρον ἱστάνειν ἀφομοιοῖ τὴν ἑαυτοῦ οὐσίαν τῇ τοῦ παράγοντος, ὡς ἐλέγομεν, καὶ ὡς ἐπιστρέφει τῇ οὐσίᾳ κατὰ τὸ προεληλυθὸς εἰς τὸ παράγον, οὕτω καὶ τῇ γνώσει τοῦ προεληλυθότος, ὅ ἐστιν τῆς ἑαυτοῦ φύσεως, γνωρίζει τὴν φύσιν τοῦ παραγαγόντος; ἢ ἀφεὶς τὴν ἑαυτοῦ ἐκείνης ἀντιλαμβάνεται καὶ λέγει μέντοι ὡς ὑπερέχει ἐκείνη ταύτης, ἅτε καὶ τὴν διαφορὰν ἐπιλογιζόμενος. Εἰ δὲ τοῦτο, κρείττων ἡ γνωστικὴ τῆς οὐσιώδους ἐπιστροφῆς, εἴπερ αὕτη μὲν κατὰ τὸν τοῦ προελθόντος ὅρον ἐπιτελεῖται, ἐκείνη δὲ κατὰ τὸν τοῦ παραγαγόντος. Ὄγδοον τί τέλος ἐστὶ τῆς γνώσεως, καὶ τί τῷ γιγνώσκοντι παραγίγνεται ἀπὸ τοῦ γνωστοῦ· πότερον τὸ τοῦ γνωστοῦ εἶδος ἐγγιγνόμενον τῷ γιγνώσκοντι, ἢ τὸ τοῦ γνωστικοῦ δυνάμει γιγνόμενον ἐνεργείᾳ κατὰ τὴν γνῶσιν· καὶ τί σεμνὸν ὁποτερονοῦν, ἢ τί ὠφέλιμον. Ἔνατον ζητήσεως ἄξιον εἰ δρᾷ τι τὸ γιγνῶσκον εἰς τὸ γιγνωσκόμενον ἢ τὸ γιγνωσκόμενον εἰς τὸ γιγνῶσκον. Ὅ τι γὰρ ἂν εἴποι τις τὸ χεῖρον τῇ φύσει καὶ αἰτιατόν, δράσει τι εἰς τὸ κρεῖττον ἑαυτοῦ καὶ τὸ αἴτιον· τὸ γὰρ γιγνωσκόμενον τῶν μέν ἐστι κρεῖττον γιγνωσκόντων αὐτό, τῶν δὲ χεῖρον.

1.178 Οὐκοῦν δέκατον ἐπὶ πᾶσι ζητητέον τίς ἡ γνῶσις, τί τὸ γνωστόν, τί τὸ γνωστικόν, καὶ εἰ τῷ τρίτῳ σύνεστι πανταχοῦ, ἢ καὶ τῷ δευτέρῳ, ἢ καὶ τῷ πρώτῳ, καθὸ πρῶτον· καὶ γὰρ ὁ πρῶτος νοῦς γνωστικός, ὅτι καὶ πᾶς. Ὅσον δὲ ἐπιβάλλει τοῖς προκειμένοις, καὶ περὶ ζωῆς τε καὶ οὐσίας ἀπορητέον τί ἑκάτερον καὶ τί τῆς γνώσεως διαφέρετον. Φέρε οὖν ἐξ ὑπτίας ἀπὸ τῶν ἐσχάτων ἐπὶ τὰ πρῶτα τῶν προβεβλημένων ἐπανιόντες ἐπισκεψώμεθα ἃ δεῖ πρὸς ἕκαστον λέγειν. Οὐκοῦν τὴν οὐσίαν, ἣν νῦν ἀντιτίθεμεν ζωῇ τε καὶ γνώσει, οὔτε ζωὴν φήσομεν εἶναι οὔτε γνῶσιν. Εἰ μὲν δὴ ὁμοταγεῖς εἶεν αἱ τρεῖς ἢ ὡς εἴδη ἢ ὡς γένη ἢ ὡς μέρη ἢ ὅπως λέγοι τις, οὐδὲν ἂν ἐκώλυσεν αὐτὰς μετέχειν ἀλλήλων· νῦν δὲ τὸ πρῶτον οὐσίαν βουλόμεθα λέγειν, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δεύτερον ζωήν, καὶ τὸ τρίτον γνῶσιν, καὶ εἶναι τὸ μὲν αἴτιον αὐτῶν, τὸ δὲ αἰτιατόν, τὸ δὲ συναμφότερον πρὸς ἄλλο καὶ ἄλλο. Οὐκ ἄρα μεθέξει τὰ πρότερα τῶν δευτέρων· ὑπὲρ μὲν ἄρα τὸ γνῶσιν ἔχον ἡ ζωή, ὑπὲρ δὲ ζωὴν τὸ ὂν καὶ οὐσία. Ἔτι γὰρ καὶ ὧδε οὐ γένη ταῦτά φαμεν, οὐδὲ εἴδη ἄττα οὐδὲ μερικωτέρας τινὰς ὑποστάσεις, οὐδὲ ὅσαι μετὰ τὰς πρώτας ἀρχάς, ἃς βούλεται σημαίνειν τάδε τὰ ὀνόματα, ἀλλὰ κόσμους ὅλους καὶ τούτους πρώτους ἁπάντων τῶν συνωνύμων ἢ ὁμωνύμων εἶναι δοκούντων, οἷον πρόκειται νῦν ἡμῖν ὁ πρῶτος νοῦς, καὶ ὡς περιέχει πάντας τοὺς νοεροὺς διακόσμους· καὶ ζωὴν ἄρα τὴν πρὸ τούτου κόσμον εἶναι ὁλοτελῆ καὶ πλήρη πάντων κατὰ ζωήν, ὧν ὁ νοῦς κατὰ νοῦν· ὥστε καὶ ἡ οὐσία περὶ ἧς ὁ λόγος κόσμος ὅλος ἐστὶ πάντων κόσμων πρεσβύτατος καὶ περιληπτικώτατος τῶν δηλουμένων τοῖς προκειμένοις ὀνόμασιν. Ὁ μὲν ἄρα νοῦς οὐδὲν θαυμαστὸν εἰ ζωῆς καὶ οὐσίας μετείληφεν, ὅποι ποτὲ ἂν οὖσα φανείη πρόσω ἰοῦσιν ἡ μέθεξις. Ἡ δὲ ζωὴ γνώσεως μὲν οὐκ ἂν μετέχοι, εἴπερ ἐστὶ τοῦ τρίτου καὶ τοῦ νοῦ ἡ γνῶσις ἐξαίρετος, ἤ, κοινότερον φάναι, τοῦ προελθόντος· ἡ δὲ οὐσία οὔτε γνῶσιν ἔχοι ἄν, οὔτε ζωήν, οὔτε προεληλυθυῖα, οὔτε προϊοῦσα, εἴπερ ἐστὶ καὶ ἡ ζωὴ τοῦ μέσου καὶ προϊόντος. Οὐσία μὲν ἄρα ἐστὶ κόσμος ὁλοτελὴς ἐν τῷ ἀδιακρίτῳ πάντα συνῃρηκώς, νοῦς δὲ κόσμος ὁλοτελὴς ἐν τῷ διακεκριμένῳ τῆς φύσεως ὑφεστηκώς, ἡ δὲ ζωὴ κόσμος ὁλοτελὴς ἐν τῷ διακρινομένῳ τῆς μεσότητος πάντα ὠδίνων.

1.179 Ὁ μὲν δὴ πρῶτος αὐτός τε ἀπερίγραφός ἐστι καὶ πάντα περιέχων ἀπεριγράφως, ὁ δὲ τρίτος αὐτός τε περιγραφείς, ἅτε προεληλυθώς, καὶ τὰ ἐν ἑαυτῷ περιγράψας, ὅσα ἐν αὐτῷ προελθόντα ἐστὶ καὶ διακεκριμένα, ὁ δὲ μέσος ὁ κατὰ τὴν ζωὴν οὔτε ἐν τῷ ἀπεριγράφῳ πέπηγεν, οὔτε ἐν τῷ περιγεγραμμένῳ συνέστη, ἀλλ' ἔστιν οἷον ἀμφίβιον καὶ οἷον ἐν κινήσει τῇ ἀπὸ τοῦδε ἐπὶ τόνδε, ὅθεν τοῦτον μὲν ζωὴν ὀνομάζουσι, ὡς παρακεκινημένον καὶ οἷον ζέουσαν οὐσίαν. Καὶ γὰρ ἡ εἰδητικὴ ζωὴ τῷ εἴδει ἑκάστῳ προστιθεμένη τὸ ζέον τοῦτο καὶ κεκινημένον ἐπάγει. Οὕτω γὰρ καὶ ἡ τοῦ ὄντος ἀκίνητος φύσις ὑποβᾶσα μικρὸν παρέλυσε μὲν τὸ πεπηγὸς ἐκεῖνο καὶ ἀδιάκριτον, προὐβάλετο δέ τινα πρόοδον καὶ διακρίσεως ἔμφασιν. Ἤδη δὲ προελθοῦσα καὶ διακριθεῖσα καὶ στᾶσα ἐν εἴδει τῷ ἑαυτῆς περιεγράφη κατὰ τὴν διάκρισιν, καὶ τὰ ἐν ἑαυτῇ ὁλικώτατα καὶ πρεσβύτατα τῶν πάντων διέκρινέν τε καὶ περιέγραψεν. Οὐ γὰρ διεκρίθη τὴν εἰς πάντα διάκρισιν, ἀλλὰ τὴν ἐγγυτάτω τοῦ ἑνός, καί, ὅλως εἰπεῖν, τὴν πρώτην καὶ πρώτων διάκρισιν· ὅθεν ἐπειδὴ διάστασις αὐτῷ γέγονεν ἀπό τε τῶν πρὸ αὐτοῦ καὶ ἀφ' ἑαυτοῦ (διεκρίθη γὰρ καὶ αὐτὸ ἐν ἑαυτῷ), διὰ δὴ τοῦτο προεχειρίσατο τῆς διαστάσεως ἐπανόρθωσίν τινα καὶ οἷον παραμυθίαν τὴν γνῶσιν· ἔστι γὰρ ἡ γνῶσις ἐν τοῖς διεστῶσιν ἀπ' ἀλλήλων, ἢ ἀφ' ἑαυτῶν καὶ ἑτερότητι διειλημμένοις· ἄνευ γὰρ ἑτερότητος οὐκ ἂν εἴη τὸ μὲν γιγνῶσκον, τὸ δὲ γιγνωσκόμενον, τὸ δὲ μέσον ἡ γνῶσις. Εἰκότως ἄρα ἐν τῷ προελθόντι καὶ διακριθέντι ταῦτα ὑφέστηκεν, ὥσπερ καὶ οἱ ἄλλοι διορισμοὶ ἐντεῦθεν ἄρχονται, καὶ αἱ ἄλλαι σχέσεις ὅσαι διακεκριμέναι εἰσίν. Ἔχουσι μὲν οὖν καὶ αἱ ἄλλαι συνδετικόν τι τῶν ἐν σχέσει ὄντων, μάλιστα δὲ ἡ γνῶσις τὸ γιγνῶσκον τῷ γιγνωσκομένῳ συνάπτει· καὶ γὰρ ἐκτείνει τὸ γιγνῶσκον εἰς τὸ γιγνωσκόμενον δι' ἔρωτος τοῦ ἀληθοῦς, καὶ τὸ γνωστὸν ἐντίθησι τῷ γιγνώσκοντι διὰ τὴν εἰς αὐτὸ ἀπ' ἐκείνου διαθρώσκουσαν ἀστραπήν. Καὶ αὕτη ἦν ἡ γνωστικὴ ἐπιστροφὴ τοῦ προελθόντος εἰς τὸ παραγαγόν, καὶ καθὸ τὸ ἕτερον τοῦ ἑτέρου διακέκριται· ἑτερότητος γὰρ μὴ οὔσης οὐδὲ γνῶσις, ὥστε ἡ οὐσία οὐκ ἂν ἑαυτὴν γιγνώσκοι, εἴπερ ἥνωται πάντη, οὐδ' ἂν ἄλλο, εἴπερ οὐδαμῇ ἔστι διακεκριμένη, ὡς ἔχειν τὸ γνωστικὸν ἄλλο καὶ τὸ γνωστὸν καὶ δὴ καὶ τὴν γνῶσιν.

1.180 Ἡ δὲ ζωὴ λέγεται μὲν νοητὴ καὶ νοερὰ ἀπὸ τῶν ἄκρων, ἔστι δὲ οὐδέτερον ἀκραιφνῶς, ἀλλ' ᾗ διακρίνεται μόνον, ταύτῃ καὶ γνῶσιν ἔχει καὶ γνωστὸν καὶ γνωστικόν, οὐ διακεκριμένον, ἀλλ' ἔτι διακρινόμενον· τοῦτο δέ ἐστιν ὑποφαινόμενον. Ἐν ἄρα τῷ νῷ πρώτῳ ἡ πρώτη γνῶσις, ἐπειδὴ καὶ ἡ πρώτη περιγραφὴ ἐν αὐτῷ αὐτοῦ τε πρὸς ἑαυτὸν καὶ πρὸς τὰ πρὸ ἑαυτοῦ. Ἧι μὲν

οὖν πρὸς ἐκεῖνα διεκρίθη, ἔγνω ἐκεῖνα, τοῦτο δέ ἐστι πόρρωθεν, ἐκείνοις συνήφθη διὰ τῆς γνώσεως· ᾗ δὲ πρὸς ἑαυτὸν καὶ ἀφ' ἑαυτοῦ, ταύτῃ ἑαυτῷ συνάπτεται διὰ γνώσεως ἔν τινι διαστάσει τῇ πρὸς ἑαυτόν, καὶ τὰ ἐν αὐτῷ δὴ πρὸς ἄλληλα καὶ πρὸς τὸν ὅλον αὐτὸν ἕκαστον διέστη καὶ περιεγράφη· διὰ τοῦτο καὶ ἄλληλα γιγνώσκει καὶ τὸν ὅλον· ὅλος δὲ καὶ πᾶς ἐν διακρίσει γεγονὼς καὶ περιγραφῇ εἰκότως ὅλως καὶ πᾶς, γνώσεώς τε περιεπλήσθη καὶ νοῦς ἐγένετο κατὰ τὴν νόησιν καὶ ἐγανώθη τῷ τῆς νοερᾶς ἀληθείας φωτί, πρῶτος ἐν ἑαυτῷ τὸ τῆς γνώσεως ὄμμα προβαλλόμενος, ἵνα τῇ θέᾳ τοῦ ἀφ' οὗ προῆλθεν ἐπανίοι πάλιν εἰς ἐκεῖνο καὶ ἐπανάγοι ἐκεῖνο πρὸς ἑαυτόν, ὡς οἷόν τε ἐν τῇ διαστάσει. Συνῆπτε μὲν γὰρ αὐτὸν καὶ ἡ οὐσιώδης ἐπιστροφή, ἀλλὰ κατὰ τὴν πρώτην διάστασιν, ἣν διέστη καὶ ὡρίσθη κατὰ τὴν ὑπόστασιν· συνῆπτε δὲ αὐτὸν καὶ ἡ ζωτική, ἀλλὰ κατὰ τὴν δευτέραν διάκρισιν, καθ' ἣν ἀπὸ τῆς οὐσιώδους ὑποστάσεως εἰς τὴν γνωστικὴν διεκρίνετο· συνάπτει δὲ καὶ ἡ γνωστικὴ κατὰ τὴν πορρωτάτω καὶ ἐνάτην μὲν οὖσαν ἀπὸ τοῦ ἀδιακρίτου, τρίτην δὲ ἀπὸ τοῦ διακεκριμένου· τρίτης γὰρ οὔσης τῆς ἐπιστροφῆς μετὰ μονὴν καὶ πρόοδον, τρίτη ἐστὶν ἐπιστροφὴ ἡ διὰ γνώσεως γιγνομένη. Διὸ τὴν πλείστην ἀπόστασιν εἰς τὸ ἔσχατον ἑαυτοῦ καὶ οἷον τοῦ τρίτου τὸ τρίτον ἀποστὰς ὁ νοῦς ἀγαπᾷ τὴν τῶν διεστώτων οὕτω συνάπτεσθαι συναφήν· αὕτη δέ ἐστιν ἡ γνῶσις, ἢ ὅτι μὲν ἐπιστροφή τις εἴρηται, καὶ ὅτι ἐσχάτη ἐπιστροφὴ καὶ τοῦτο εἴρηται. Τί δέ ἐστιν ὅμως ἡ γνῶσις; ἢ ἀντίληψις τοῦ γνωστοῦ ἐν τῷ γνωστικῷ. Ἀλλ' οὔπω τι ἴσμεν ὧν λέγομεν.

1.181 Τί γὰρ ἂν εἴη τὸ γνωστὸν ἢ τὸ γνωστικόν, οὐ ῥᾴδιον γνῶναι, ἀγνοουμένης τῆς γνώσεως. Ἡ γνῶσίς ἐστιν, ὡς τὸ ὄνομα παραδηλοῖ, γιγνομένη γνῶσις, ὅ ἐστιν νόησις· ἡ δὲ νόησις, ὅτι ἐπὶ τὸ εἶναι καὶ τὸ ἔστι νεῖται καὶ ἐπάνεισι, νεόεσις ἐν δίκῃ ἂν κληθεῖσα· νῦν δὲ σεμνολογούμενοί τε διὰ τοῦ η καὶ εὐστομοῦντες κατὰ τὴν συναίρεσιν, νόησιν καλοῦμεν· ὥστε ὁ νοῦς, ὅτι νεῖται ἐπὶ τὸ ὄν. Νεῖται δὲ καὶ τὴν οὐσιώδη ἐπάνοδον καὶ τὴν ζωτικήν, ἀλλ' ἐν τρίτῃ τάξει καὶ οἷον πόρρωθεν διὰ τῆς γνωστικῆς νοήσεως, καὶ ᾗ νοῦς γνωστικὸς καί τινα τρόπον δι' ἐνεργείας, ἀλλ' οὔτε οὐσίας οὔτε ζωτικῆς δυνάμεως. Διὸ γιγνομένη μᾶλλον ἥδε ἡ νόησις, ἐναργεστέρα δὲ αὕτη μᾶλλον ἡμῖν, ὅτι μάλιστα διακέκριται. Διὸ κατὰ ταύτην οἱ πλεῖστοι εἰδοποιοῦσι τὸν νοῦν· ἔδει δὲ πρὸ τῆσδε κατὰ τὴν διακεκριμένην καὶ περιγεγραμμένην ὑπόστασιν καὶ νόησιν ταύτην πρὸ τῆς γνωστικῆς ὀνομάζειν ὡς πρώτην εἰς τὸ ὂν τοῦ προελθόντος ἀπ' αὐτοῦ ἐπάνοδον, ἀφ' ἧς καὶ ὁ νοῦς ἐπικέκληται καὶ πρὸ τῆς γνώσεως εἰς τὸ ὂν ἤδη νεόμενός τε καὶ ἐπανιών. Ἴσως δὲ καὶ γένεσις ὄντος καὶ οὐσίας ἡ γνῶσις εἶναι βούλεται· οὐσίωται γὰρ τῇ εἰς τὸ ὂν ἐπανόδῳ τὸ γιγνῶσκον κατὰ τὴν γνῶσιν, οὐ τὴν πρώτην, ἀλλ' οἷον γιγνομένην οὐσίωσιν· διόπερ ὁ νοῦς τὰ πράγματα, φησὶ καὶ Ἀριστοτέλη ς. Ἀλλὰ τὰ μὲν ὀνόματα ὅπως ἄν τις εὐφυέστερον ἔχοι, προσαρμοζέτω τοῖς πράγμασιν. Ὅτι δ' οὖν κατὰ τὴν εἰς τὸ ὂν ἐπάνοδον ὅ τε νοῦς ὑφέστηκε καὶ ἡ γνῶσις προβέβληται, πᾶσα δὲ ἐπάνοδος τοῦ προελθόντος ἐστὶ καὶ διαστάντος ἤδη, καὶ διὰ τοῦτο δεομένου τῆς ἐπανόδου, οὐκ ἀναλυούσης τὴν διάστασιν, ἀλλ' αὐτὸ τὸ διεστὼς ᾗ διέστηκεν καὶ ᾗ διεστὼς ἐπαναγούσης εἰς ἐκεῖνο, ἀφ' οὗ διέστη καὶ προελήλυθεν, φανερὸν καὶ ἀπὸ τοῦ τῆς γνώσεως ὀνόματος. Τί δὲ οὖν ἡ γνῶσις; ἆρα περιαυγασμὸς καὶ οἷον προπομπεία φωτὸς ἐν τῷ γνωστικῷ τοῦ γνωστοῦ; καὶ γὰρ ἡ αἴσθησις κατὰ τὸ αἴσθημα, καὶ ἡ φαντασία κατὰ τὸν τύπον ὑφίσταται, καὶ ἡ δόξασις καὶ ἡ διανόησις ἡ μὲν κατὰ τὸ διανόημα, ἡ δὲ κατὰ τὸ δόξασμα· καθόλου τοίνυν ἡ γνῶσις κατὰ τὸ γνῶσμα, εἰ οἷόν τε φάναι.

1.182 Τὸ δὲ γνῶσμά ἐστιν αὐτὸ τὸ γνωστόν, ἀλλ' ἤδη τῷ γιγνώσκοντι ἐνουσιωμένον; ἢ κατὰ μὲν τοῦτο πάντως ἡ γνῶσις, οὐ τοῦτο δὲ ἡ γνῶσις. Τί οὖν πάσχει τὸ γνωστικόν, ὅτε μήπω γιγνώσκει ἢ ὀρέγεται τοῦ γνωστοῦ; Οὐκοῦν ἡ γνῶσις τεῦξίς ἐστι τοῦ γνωστοῦ ᾗ γνωστόν· καὶ γὰρ εἰ τοῦ ὄντος, ἀλλ' ᾗ γνωστὸν τὸ ὄν. Τί οὖν τὸ γνωστόν, καὶ πῇ διαφέρον τοῦ ὄντος; ἢ ὅτι γνωστὸν μὲν πρὸς ἄλλο, καθ' αὑτὸ δέ, ὅ ἐστιν, ὄν· ἢ καὶ τοῦτο μὲν πρόσεστιν, οὔπω δέ τις

ἑκατέρου διώρισται φύσις· ἢ τὸ μέν ἐστιν ἡ ὑπόστασις, τὸ δὲ γνωστὸν οἷον τὸ φανὸν τῆς ὑποστάσεως· καὶ γὰρ ἄλλο τῷ ἐνύλῳ εἴδει φέρε εἰπεῖν ἡ ὑπόστασις, ἄλλο τῷ αἰσθητῷ εἶναι· καὶ ἔστιν αὐτοῦ τὸ αἰσθητὸν τὸ προπίπτον αὐτοῦ καὶ προλάμπον αὐτοῦ, καὶ προλάμπον ἕως αἰσθήσεως, καὶ ταύτῃ σύμμετρον πρὸς αὐτὴν γιγνόμενον. Οὕτω δὲ καὶ τὸ φανὸν τοῦ ὄντος οἷον φῶς αὐτοῦ προπομπεῦον ἕως τοῦ γνωστικοῦ καὶ προαπαντῶν αὐτῷ ἱεμένῳ τὴν ἄνω πρὸς αὐτό, συμμέτρως αὐτῷ συμφύεται καὶ τελειοῖ καὶ κορέννυσιν αὐτοῦ τὴν ὄρεξιν τοῦ ὄντος τῇ πληρώσει τοῦ οἰκείου φωτός. Οὐκ ἄρα τὸ ὂν γιγνώσκει ὁ νοῦς, ἀλλὰ τὸ φανὸν τοῦ ὄντος; ἢ τὸ ὂν κατὰ τὸ φανόν, καὶ τὸ ὂν κατὰ τὸ γνωστόν· καὶ γὰρ εἰ τὸ ὂν γιγνώσκοι, ὥσπερ γιγνώσκειν, ἀλλὰ πᾶν γιγνωσκόμενον πάντως ἂν εἴη γνωστόν. Ὥστε τὸ μὲν ὂν γιγνώσκει ὁ νοῦς, ἀλλὰ κατὰ τὸ φανόν, ὡς φαμέν, ἀναγκαίως. Καὶ μὴν τοῦ ὄντος ὀρέγεται; ἢ ὀρέγεται μὲν ὡς ὄντος, τυγχάνει δὲ τοῦ αὐτοῦ ὡς γνωστοῦ. Τάχα δὲ καὶ ἡ ὄρεξις ῥητέα τοῦ ὄντος κατὰ τὸ γνωστόν· αἱ γὰρ κατὰ φύσιν ὀρέξεις τῶν αὐτῶν εἰσιν ὧν καὶ αἱ τεύξεις· ὁμολογουμένως δὲ ἡ τεῦξις τοῦ ὄντος τῷ γιγνώσκοντι κατὰ τὸ γιγνωσκόμενον. Τί οὖν τὸ φανὸν τοῦτο λέγομεν; ἢ τὸ φαίνεσθαι τοῖς δευτέροις ἀντεχόμενον καὶ εἰς συμμετρίαν ἑαυτὸ παρεχόμενον τοῖς ἀπολαύειν αὐτοῦ βουλομένοις, καὶ περιπτύσσεσθαι αὐτοῦ τὸ προπομπεῦον φῶς ἐφιεμένοις. Οὐκ ἄρα ὅλον γνωστόν, ἀλλὰ μόνον τὸ φῶς, οἷον τῇ ὄψει τὸ χρῶμα μόνον ὁρατόν, ἀλλ᾽ οὐ τὸ ὑποκείμενον; ἢ μάλιστα μὲν οὐδὲν θαυμαστόν, ἀλλὰ καὶ ἀναγκαῖον εἶναί τι τῶν πρώτων ἀεὶ τοῖς δευτέροις ἄληπτον καὶ ἀπόρρητον· οὕτω γὰρ καὶ τὸ πάντη ἐκβεβηκὸς ἀπόρρητον ἦν ἁπλῶς πρὸς πάντα, τῶν δὲ ἄλλων ἕκαστον πρὸς τὰ δεύτερα μόνον ἑαυτοῦ τε ἀπόρρητον ἔχει καὶ γίγνεται πρός τι ἀπόρρητον.

1.183 Μάλιστα μὲν οὖν, ὅπερ ἔφην, οὐδὲν τοῦτο παράλογον, ἀλλ᾽ ἐκεῖνο ἴσως ἀπορήσειεν ἄν τις εἰ τῷ ὄντι τὸ προπομπεῦον τοῦ ὄντος γιγνώσκοι ὁ νοῦς, ἀλλ᾽ οὐκ αὐτό· κατὰ μέντοι τὸ φανὸν ἢ τὸ φανὸν αὐτοῦ ἐλέγετο εἶναι. Τοῦτο δὴ τὸ προπομπεῦον, ἀλλ᾽ οὐχὶ ἀπόρροιά τις ἀπ᾽ αὐτοῦ, ὡς ἀφ᾽ ἡλίου τὸ περίγειον φῶς, ἀλλ᾽ ὡς εἴ τις ὁρῶν τὸν ἥλιον αὐτὸν κατὰ τὴν ἐν αὐτῷ λαμπρότητα τῆς φύσεως. Οὐκοῦν τὸ ἐπιπολῆς γιγνώσκει μόνον, εἴπερ ὡς χρῶμά τι γιγνώσκοι τὸ φανὸν τοῦ ὄντος, ἢ δι᾽ ὅλου τὸ φανόν, νοητέον καὶ μηδὲν εἶναι αὐτοῦ ὃ μὴ διαλάμπει καὶ σπεύδει πρὸς ἔκφανσιν, ὡς εἰ λέγοις ὕαλον ἤτοι τῶν διαφανῶν ὅλον ὁρατόν, ὅτι δι᾽ ὅλου κεχώρηκεν ἡ τοῦ ὁρατοῦ φύσις. Ἀλλ᾽ ὅμως ἕτερον τὸ σῶμα καὶ ἕτερον τὸ δι᾽ ὅλου φανόν, ὥστε κἂν ἐκεῖ τὸ φανόν, ἀλλ᾽ οὐ παρὰ τὸ ὄν· καὶ πρῶτον μὲν ἐπανήξει τὸ αὐτὸ μὴ τοῦ ὄντος εἶναι, ἀλλὰ τοῦ φανοῦ ἑτέρου ὄντος· καὶ γὰρ τοῦ πάντη διαφανοῦς οὐ τὸ σῶμα ὁρατόν, ἀλλὰ τὸ χρῶμα μόνον. Ἔπειτα διοριοῦμεν ἐν τῷ πάντη ἀδιορίστῳ ἄλλο μὲν τὸ φανόν, ἄλλο δὲ τὸ ὄν, οἷον τῷ φανῷ τὸ ὑποκείμενον, ἢ ὁπωσδήποτε διαφέρον αὐτοῦ; Ἢ ὧδε ῥητέον πρὸς ταῦτα ὡς τὸ ὂν αὐτὸ ὅ ἐστιν, ᾗ μὲν αὐτὸ μόνον γε ὄν, καὶ ἀδιάκριτον μόνον, ᾗ δὲ διέστη αὐτοῦ ὁ νοῦς διακριθεὶς ἀπ᾽ αὐτοῦ καὶ ἐγένετο οὐ μόνον ἀδιάκριτον, ἀλλὰ καὶ διακεκριμένου διακεκριμένον. Εἰ καὶ τὸ διακεκριμένον ἔσχεν ὡς ἀδιάκριτον διαστὰν τοῦ ὡς ἀληθῶς διακεκριμένου, κατὰ τοσοῦτον ὑπεφάνη τὸ γνωστὸν ἐν αὐτῷ· καὶ γὰρ τῷ νῷ κατὰ τὸ διακεκριμένον ἐνεφάνη τὸ γνωστικόν, ὥστε καὶ τῷ ὄντι ὡς διακεκριμένῳ πως ἐμφαίνεταί τι καὶ ἄλλο· οὐ μὴν τὸ γνωστικόν, διότι τοῦτο τῷ προελθόντι συνῆν, ἀλλὰ τὸ γνωστόν, ὅτι τῷ προελθόντι διὰ γνώσεως αἱρεθέν, γνωστὸν ἐκεῖνο γέγονεν, καὶ οὐκ ἔστιν ἐν αὐτῷ τὸ γνωστόν, ὥς τι ἰδίωμα διωρισμένον· οὐδὲ γὰρ τὸ διακεκριμένον ὥς τι ἰδίωμα ἐν αὐτῷ· κατὰ γὰρ τὸ ἀδιάκριτον ἦν διακεκριμένου διακεκριμένον, οὐκ ἂν οὔτε ὑποστὰν οὔτε ὀνομασθὲν διακεκριμένον, ὅσον ἀπὸ τῆς οἰκείας φύσεως, εἰ οἷόν τε εἰπεῖν, εἰ μὴ διεκρίθη ἀπ᾽ αὐτοῦ τὸ ὄντως διακεκριμένον. Οὕτως ἄρα οὐ κατά τι τῶν ἐν αὐτῷ γνωστόν, ἀλλὰ κατὰ τὴν πρὸς τὸν νοῦν ἀντιπαραβολὴν ἐφάνη καὶ ὠνομάσθη. Ὁ γὰρ νοῦς ἑαυτὸν διακεκριμένον ἀπ᾽ ἐκείνου

ἰδών, ἐκεῖνο δὲ ἀδιάκριτον μεῖναν, τὴν ἀπ’ ἐκείνου ἔκβασιν διάκρισιν ὠνόμασεν, ἐν ἑαυτῷ μὲν τῷ ὄντι οὖσαν, ἐν ἐκείνῳ δὲ κατὰ τὸ ἀδιάκριτον καὶ κατὰ τὸ μὴ συνεκβεβηκότι.

1.184 Οὕτως ἄρα διότι προελθὼν ὁ νοῦς ἐγένετο γνωστικὸς ἐκείνου ἀφ’ οὗ προῆλθε, κατ’ αὐτό γε ὃ προῆλθε τὴν γνωστικὴν ἐπιστροφὴν προβαλλόμενος, ὡς εἴρηται πρότερον, ἑλών, οὗ ὠρέχθη διὰ γνώσεως, ἐποίησεν αὐτὸ γνωστὸν ὀνομάζεσθαι, μᾶλλον δὲ ἑνὸν αὐτῷ καὶ τὸ γνωστὸν ἐξέφηνεν, οὐ μὴν διωρισμένον· οὐδὲ γὰρ τὸ διακεκριμένον ἐν διορισμῷ· οὐδὲ γὰρ αὐτὸ ὂν ὥς τι παρὰ τὴν ζωὴν καὶ τὸν νοῦν· πάντα γὰρ ταῦτα καὶ ὀνόματα καὶ πράγματα τῆς εἰδικῆς ἐστι φύσεως· ἐκείνη δὲ ἡ φύσις πάντη ἦν ἀδιάκριτος, ὥς φαμεν· ἐν δὲ τῇ μέσῃ διακρίνεταί πως· ἐν δὲ τῷ νῷ τά τε ἄλλα καὶ τὸ γνωστὸν καὶ τὸ γνωστικὸν καὶ ἡ γνῶσις διεκρίθη, καὶ τὸ κυρίως γνωστὸν ὁ νοῦς ἐστιν, ἑαυτῷ γε ὢν γνωστικός. Εἶδος γάρ, ὅτι εἰδητὸν καὶ εἰδητικόν, διὸ παντὶ εἴδει σύνεστί τις καὶ γνῶσις ὁποσηοῦν, καὶ ἔστι ζῷον πᾶν εἶδος ἢ ζῴου τι νέκρωμα τὴν στέρησιν πεπονθὸς ἅμα μὲν τοῦ ζῴου, ἅμα δὲ καὶ τοῦ εἴδους, οἷον λίθοι καὶ ξύλα καὶ τὰ νεκρὰ τῶν σωμάτων, ἐπεὶ τάγε κατὰ φύσιν ἔχοντα ζῷά τε καί τινα συναίσθησιν ἔχοντα, εἰ καὶ τὴν ἀνυδροτάτην καὶ ἡμῖν γε ἀνεπαίσθητον· ἐπεὶ καὶ τὰ φυτὰ ζῷα ἄττα φησὶν ὁ Πλάτω ν· πέτραι δὲ καὶ μέταλλα καὶ ὅλη ἡ γῆ καὶ τῶν ἄλλων στοιχείων ἕκαστον, ὅτι οὐκ ἄψυχα πάντη ἐστί, δηλοῖ μὲν καὶ ἡ ζωογονία τῶν ἐν αὐτοῖς ζῴων περιεχομένων, δηλοῖ δὲ καὶ τὸ ὁλοτελὲς αὐτῶν τῆς εἰδοποιίας. Ταῦτα μὲν οὖν ἄλλου ἂν δέοιτο λόγου. Ὁ δὲ νοῦς ἐν ἑαυτῷ διακριθεὶς ὅλος δι’ ὅλου γνωστικός τε ἐγένετο καὶ γνωστός· διακριθεὶς γὰρ ἀφ’ ἑαυτοῦ καὶ στὰς ἐν τῇ διακρίσει συνάπτεται πρὸς ἑαυτὸν διὰ γνώσεως, ὃς νόμος ἐστὶ τοῖς διεστῶσιν ἀφ’ ὧν διέστηκεν. Κυρίως μὲν τοίνυν, ὅπερ ἔφην, καὶ τὸ γνωστὸν καὶ τὸ γνωστικὸν καὶ ἡ γνῶσις ἐν τῷ νῷ διεκρίθη ἀπ’ ἀλλήλων· ἀλλ’ ᾗ μὲν τὸ διακριθέν, γνωστικῶς ἐφάνη, ᾗ δὲ τὸ ἀφ’ οὗ διεκρίθη, ταύτῃ γνωστὸν πρὸς τούτου· τὸ γὰρ ἐπανελθεῖν ὠρέχθη τὸ προελθόν· διὰ γνώσεως δὲ ἐπανελθὸν ὡς γνωστικὸν πρὸς γνωστὸν ἐποιήσατο τὴν ἐπάνοδον, αὐτὸς δὲ τό τε ἀφ’ οὗ καὶ τὸ ὅ· τὸ γνωστὸν ἄρα αὐτὸς καὶ τὸ γνωστικόν, ἐν μέσῳ δὲ τούτων ἡ γνῶσις.

1.185 Ὅπως μὲν οὖν ἔλεγον, κυρίως μὲν ἐπὶ τοῦ νοῦ ταῦτα καὶ ἐν τῷ νῷ, ἤδη δὲ καὶ ἀπὸ τοῦ ὄντος, ἄλλον δὲ τρόπον· ὅμως δὲ διεκρίθη ὁ νοῦς, ὥστε καὶ ἐπ’ ἐκεῖνο διὰ γνώσεως ὥρμησεν· αὕτη γὰρ ἦν ἐσχάτη συναφὴ τῶν προελθόντων· βουληθεὶς δὲ αὐτῷ συναφθῆναι καὶ ἐφαρμόσαι, συνήγαγεν τὴν ἑαυτοῦ γνῶσιν εἰς ἓν συναίρεμα γνώσεων ἁπασῶν, καὶ μίαν γνῶσιν ἡνωμένην ἀπεργασάμενος, πασσυδίῃ, φαίη τις ἄν, ἐστέλλετο πρὸς τὸ ἀδιάκριτον τῷ ὄντι γνωστόν, οὐδὲ ὡς ἓν πρὸς ἓν ἐν διακρίσει ποιησάμενος τὸ γνωστικὸν πρὸς τὸ γνωστόν, ἀλλὰ τρόπον τινὰ τὴν γνῶσιν οὐσίαν ἀποδείξας τῇ πολλῇ ἑνώσει, τῷ γνωστῷ ὡς οὐσίᾳ προσέβαλεν, καὶ ὠρέχθη μὲν ὡς γνωστικὸς ἄρα γνωστοῦ διὰ τὸ ἐπὶ πόρρωθεν, συναφθεὶς δὲ καὶ τυχὼν ἔγνω τὴν συναφὴν οὐ γνωστικοῦ οὖσαν οὐδὲ πρὸς γνωστόν, ἀλλ’ οὐσίας πρὸς οὐσίαν, ὥστε πρὸς μὲν ἐκεῖνο μᾶλλον οὐσιώδης ἡ ἐπάνοδος, πρὸς δὲ ἑαυτὸν γνωστικὴ μᾶλλον. Διὰ τί οὖν ὁ μὲν νοῦς ἀμφότερα, γνωστικός τε ἅμα καὶ γνωστός, ἡ δὲ οὐσία γνωστὴ μόνον, καίτοι ἔν τινι καὶ αὐτὴ διακρίσει ὁρᾶται, ὡς εἴρηται; ἢ ῥητέον ὡς τὸ μὲν γνωστὸν ὀρεκτὸν εἶναί τι βούλεται, τὸ δὲ γνωστικὸν ὀρεκτόν, ἐν διακρίσει δὲ καὶ ὁπωσοῦν, καὶ ταῦτα πρὸς ἄλληλα καθάπερ νοῦς τε καὶ οὐσία· καὶ ἡ μὲν οὐσία τὸ ὀρεκτόν, κρείττων γάρ, ὁ δὲ νοῦς τὸ ὀρεκτικόν. Ὥστε δῆλον ὅτι τὸ μὲν ὀρεκτικὸν καὶ τὸ γνωστικὸν τῷ καταδεεστέρῳ προσήκει κατὰ φύσιν, τῷ δὲ κρείττονι τὸ ὀρεκτὸν καὶ γνωστόν. Εἰ δὲ ὁ νοῦς καὶ ἑαυτῷ γνωστὸν καὶ ἑαυτῷ ὀρεκτὸν ἢ ἄλλοις τοῖς μετ’ αὐτὸν ἢ ἀπ’ αὐτοῦ προελθοῦσι, τί θαυμαστὸν τὰ μὲν καταδεέστερα μετέχειν τῶν πρὸ αὐτῶν, οὐ μέντοι ἀνάπαλιν; Τοιγαροῦν ἡ μὲν οὐσία οὐκ ἐστὶ νοῦς, ὁ δὲ νοῦς καὶ οὐσία καὶ νοῦς, ἀλλὰ τοῦτο μὲν καθ’ ὕπαρξιν, ἐκεῖνο δὲ κατὰ μέθεξιν· ᾗ μὲν ἄρα οὐσία, γνωστόν, καὶ ὁ νοῦς κατὰ μέθεξιν ἄρα γνωστόν· ᾗ δὲ νοῦς, γνωστικός, καθ’ ὕπαρξιν ἄρα τοιοῦτος. Πρὸς μὲν οὖν τὴν ἀπορίαν ἱκανὰ καὶ ταῦτα. Τάχα δ’ ἄν τις καὶ τὴν οὐσίαν ὑποθοῖτο γνωστικήν, εἴπερ πάντα ἐστὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τὴν οἰκείαν συναίρεσιν, ἀλλ’ οὐ κατὰ γνῶσιν τὴν διωρισμένην· οὕτω γὰρ καὶ γνωστόν, ὅτι καὶ γνωστόν, ἀλλ’ ἀδιορίστως καὶ ἐν τῷ πρὸς ἕτερον ἀσχέτῳ, τοῦ δὲ νοῦ προελθόντος ἀπ’ αὐτῆς καὶ σχέσεως ἐγγενομένης πρὸς αὐτοῦ τινὸς ὡς αἰτίου πρὸς αἰτιατόν, ἐπειδὴ τὸ αἰτιατὸν ἐφάνη γνωστικὸν γενόμενον, καὶ ἡ οὐσία γνωστόν τι προὐβάλλετο τοσοῦτον ὅσον τὸ τῆς σχέσεως ἰδίωμα προεφάνη τῷ νῷ ἀντιδιαιρούμενον.

1.186 Τοσαῦτα πρὸς τὸ παρὸν εἰρήσθω περὶ τούτων. Ἔνατον τοίνυν ἄνωθεν ἦν τῶν προβεβλημένων, εἰ τὰ κατὰ σχέσιν ὑφεστῶτα ἀντισυνίστησιν ἄλληλα, πῶς οὐχὶ δράσει τι καὶ τὸ αἰτιατὸν εἰς τὸ αἴτιον, καὶ τὸ ὀρεκτὸν εἰς τὸ ὀρεκτικόν, καὶ δὴ καὶ τὸ γιγνῶσκον εἰς τὸ γιγνωσκόμενον. Καὶ γὰρ εἰ ἐνεργείᾳ γίνεται ἅμα ἑκάτερον, καίτοι πῶς οἷόν τε τὸ αἰτιατὸν εἰς τὸ αἴτιον δρᾶν; ἐπὶ μὲν γὰρ τῶν ὁμοταγῶν τάχα ἂν εἴη τοῦτο ἀληθές, καίτοι καὶ ἐπὶ τούτων ἀπορήσειεν ἄν τις εἰ τὸ μὴ ἁπτόμενον δρᾷ τι εἰς ἐκεῖνο οὗ μὴ ἅπτεται, αὐτῷ μόνῳ τῷ πλησιασμῷ τῆς σχέσεως, καὶ τὸ πάσχον ὑπ’ ἐκείνου μηδὲν αὐτὸ μεταβάλλον ὅμως λέγεται πάσχειν. Ἢ τὰ μὲν πλησιάζοντα ἢ χωριζόμενα τὸν ὕλης ἐπέχει λόγον, τὸ δὲ εἶδος εὐθὺς ἐπιλάμπει τῆς σχέσεως, ἤτοι ἀμφοῖν ἢ τοῦ ἑτέρου προσιόντος ἢ ἀπιόντος. Καὶ γὰρ συνιόντες ἄνθρωποι τυγχάνουσί τινος ἀριθμοῦ ἔξωθεν ἐπιγενομένου, καὶ ἡ κοπεῖσα μία ῥάβδος εἰς δύο δυάδος μετέσχεν ἀντὶ μονάδος. Ταῦτα μὲν οὖν ἐν τῷ Φαίδωνι διδάσκει ἡμᾶς ὁ Σωκράτη ς. Εἰ δὲ καὶ τὸ αἰτιατὸν πρὸς τὸ αἴτιον ἀντιδιέστη κατὰ τὴν πρόοδον, καὶ ἢ δύο γέγονεν ἀνθ’ ἑνός, ἢ τὸ μὲν γνωστικόν, τὸ δὲ γνωστόν, τὸ μὲν ἀφ’ ἑκατέρου εἰς τὸ ἕτερον ἥκειν οὐδὲ ἐπὶ τῶν ὁμοταγῶν συγχωρεῖ ὁ Σωκράτους λόγος· τὸ δὲ ἀμφοῖν ἀφ’ ἑτέρου τοῦ πρὸ ἀμφοῖν οὐκ ἔχει λόγον, ἐφ’ ὧν οὐδέν ἐστι πρὸ ἀμφοῖν, οἷα τὸ πρῶτον γνωστόν, καὶ τὸ πρῶτον γνωστικὸν ἢ τὸ πρῶτον αἴτιον, καὶ τὸ πρῶτον αἰτιατόν. Ἀλλὰ δῆλον ὅτι πάντα ὅσα ἐστὶν ἐν τῷ αἰτιατῷ ἀπὸ τοῦ αἰτίου παραγίγνεται τῷ αἰτιατῷ μετὰ τῆς ὅλης οὐσίας. Τὸ γὰρ παράγον ἀφίστησιν ἑαυτοῦ καὶ διακρίνει ἀφ’ ἑαυτοῦ τὸ παραγόμενον· αὐτὸ ἄρα δίδωσι καὶ ἑαυτῷ καὶ ἐκείνῳ τὴν διάκρισιν, οὕτω γὰρ καὶ τὸ παράδειγμα πρὸς εἰκόνα ἀφωμοίωται, ὅτι πρὸς ἑαυτὸ τὴν εἰκόνα ἀφομοιοῖ, καὶ τὸ ὀρεκτὸν πρόκειται τῷ ὀρεκτικῷ καὶ ἀντίκειται, ὅτι τούτῳ ἀποστάντι ὄρεξιν αὐτὸ ἐνέπνευσε τῆς ἑαυτοῦ τεύξεως.

1.187 Οὕτως οὖν ἡ οὐσία γεννήσασα τὸν νοῦν γνωστὴν ἑαυτὴν ἐκείνῳ προὔφηνεν, καὶ ἐνεποίησεν αὐτῷ δύναμιν γνωστικὴν ἑαυτῆς, οὐ δυνάμει μόνον, ἀλλὰ καὶ τὸ ἐνεργείᾳ· τοιοῦτον τὰ ὑπέρτερα τοῖς καταδεεστέροις ἐνδίδωσι· καὶ γὰρ οὕτω γνωστόν, ὡς γνώσεως πληροῦν τὸ γνωστικόν· καὶ γὰρ οὕτως ὀρεκτόν, ὅτι ἀνίστησι πρὸς ἑαυτὸ τὸ ὀρεκτικὸν καὶ πληροῖ ἑαυτοῦ τὸ ὀρεγόμενον. Οὕτω καὶ τὸ νοητὸν ὁ Ἰάμβλιχος ἐκδέχεται πρὸς τὸν νοῦν, ἤτοι τὸν νοῦν ἑαυτοῦ πεπλήρωκεν τῆς νοήσεως· οὐκ ἄρα τὸ αἰτιατὸν δρᾷ ἔτι εἰς τὸ αἴτιον, ἀλλὰ τὸ αἴτιον εἴς τε ἑαυτὸ καὶ τὸ αἰτιατόν· ἅμα γὰρ τῇ οὐσίᾳ καὶ τὴν σχέσιν συμπαράγει τῆς ἀντιπαραθέσεως, καί, εἰ οἷόν τε φάναι, πρὸ τοῦ ποιῆσαι τὸ παραγόμενον καὶ τὸ αἰτιατὸν καὶ τὸ ὀρεκτικὸν καὶ τὸ γνωστικὸν ἑαυτὸ προποιεῖ γνωστόν τε καὶ ὀρεκτὸν καὶ αἴτιον καὶ παράγον. Τοῦτο μὲν οὖν οὐκ ἂν ἔχοι ἄλλως. Τὸ δὲ ὄγδοον ἀπὸ τῆς ἀρχῆς τῶν ἐζητημένων ἀπαιτεῖ τὴν χρείαν τῆς γνώσεως ἥντινα παρέχεται ὠφέλειαν τῷ γιγνώσκοντι ἢ τῷ γιγνωσκομένῳ, εἴ τις ἐθέλοι καὶ τοῦτο προσαπαιτεῖν. Λεγέσθω τοίνυν πρῶτον μὲν αὐτὸ τὸ εἶναι παρέχεται τῷ γιγνώσκοντι ἡ γνῶσις. Ἐν μὲν γὰρ τῷ γιγνώσκειν ἔχει τὸ εἶναι ὃ κατὰ τὴν γνῶσιν οὐσίωται· καὶ γὰρ ὁ νοῦς ἐν τῷ νοεῖν, ὥστε τὸ νοεῖν οὐσία τοῦ νοῦ, καὶ τὸ τὴν νόησιν ἐναπεργαζόμενον τὴν οὐσίαν παράγει τοῦ νοῦ· τοῦτο δέ ἐστι τὸ νοητὸν καὶ γνωστόν. Ἔπειτα κατὰ τὴν ἀντιπαράθεσιν ἑαυτοῦ ὁ νοῦς πρὸς τὸ νοητὸν ἐκφαίνει τὸ ἐν ἐκείνῳ νοητόν, εἰ καὶ μὴ ὑφίστησιν, ὡς προείπομεν. Τρίτην δὲ ἐπὶ τούτοις ὠφέλειαν ἡ νόησις παρέχεται τῷ νοοῦντι, ὅτι εἰδοποιεῖ κατὰ τὸ νοούμενον τὸν νοῦν καὶ ἵστησιν αὐτὸ τρίτον ἢ δεύτερον ἢ ὁποστονοῦν προεληλυθὸς ἐν τῷ εἴδει τοῦ προαγαγόντος. Τοῦτο μὲν δὴ σεμνότατον, εἰ καὶ τὰ αἴτια τοῖς τῶν αἰτίων εἴδεσι κοσμεῖ τρόπον τὸν διὰ γνώσεως. Εἰ δὲ χείρω τὰ γνωστὰ τυγχάνει ὄντα, μετὰ μὲν συμπαθείας τῆς πρὸς αὐτὰ

τοῦ γιγνώσκοντος, ἡ πρὸς τὸ χεῖρον ἀφομοίωσις κακοῖ τὸ γιγνῶσκον· εἰ δὲ ἄνευ πάθους ἡ γνῶσις τῶν δευτέρων, ἢ ὅλως τῶν χειρόνων, ἄλλον τρόπον ἐπανάγει πρὸς τὰ κρείττω τὰ χείρω καὶ ἐντίθησι ταῦτα ἐκείνοις· μᾶλλον δὲ ἐκεῖνα προάγει πρὸς κοινωνίαν τῶν χειρόνων κατὰ τὴν προβολὴν τῆς ἐν τῇ γνώσει τῶν χειρόνων εἰδοποιίας.

1.188 Εἰ δὲ καὶ τὸ ὠφέλιμον αὐτὸ καὶ τὸ ἀγαθὸν ἐπιζητοῖ τις, ἐνθυμείσθω τὴν πάντων πρὸς ἄλληλα διὰ τῆς γνώσεως οἰκειότητα γιγνομένην κατὰ τὸν γνωρισμὸν τῆς κοινῆς συγγενείας, καὶ ἔτι τὴν πάντων ὁδὸν πρὸς τὴν μίαν ἀρχὴν στελλομένων, οἷον πρὸς τἀγαθόν, ἐν ᾗ τὴν πλάνην ἐπανορθοῦται, καὶ ὁδηγὸς καθίσταται τοῖς ἄνω στελλομένοις ἡ γνῶσις. Ἔστι γὰρ οἷον ὄμμα προπομπεῦον καὶ ἡγεμονοῦν τῆς ὀρέξεως ἐπ' ἐκεῖνο σπευδούσης, φῶς ἀνάπτουσα τὸ οἰκεῖον. Διὸ τῶν πρὸς τὸ τέλος ἀγόντων ἐστὶ τὸ ἀνυσιμώτατον ἡ γνῶσις. Ἔτι δὲ εἰδοποιοῦσα τὰ χείρω κατὰ τὴν κρειττόνων γνωστικὴν εἰδοποιίαν ἐπιστρεπτικὴ γίγνεται τῶν καταδεεστέρων εἰς τὰ κρείττω καὶ εἰς τὸ κράτιστον ὁμοῦ πάντων διὰ τὴν εἰς τὸ ὂν κοινὴν ἐπαναγωγήν. Οὐ γὰρ τῷ ἀπορρήτῳ συναπτόμεθα διὰ γνώσεως, ἀλλὰ τῷ ὄντι· ἐκεῖνο δὲ τῷ ἀπορρήτῳ συνῆπται διὰ πάσης ἑνώσεως, ὥστε διὰ μέσου τούτου καὶ τὰ ἄλλα συνάπτεται. Ἀλλ' ἐπὶ τὸ ἕβδομον ἴωμεν ἤδη τῶν ἐζητημένων, καὶ πρῶτον ὑπὲρ τῆς τάξεως ἀπολογησώμεθα τῆς τε κατὰ γνῶσιν ἐπιστροφῆς καὶ τῆς κατ' οὐσίαν, ὅτι κρείττων αὕτη ἐκείνης. Ὡς γὰρ ἐν ὅρῳ τῷ ἑαυτοῦ ἑστηκὼς ὁ νοῦς μιμεῖται τὸ πρὸ ἑαυτοῦ κατὰ οἰκεῖον ὅρον ἱστάμενον, εἰ καὶ ὁ τούτου ὅρος πρὸς τὸν ἐκείνου ὡς τὸ ἀόριστόν ἐστι πρὸς τὸ ὡρισμένον, καὶ τὸ ἀδιάκριτον πρὸς τὸ διακεκριμένον, οὕτω κατὰ τὸν ἑαυτοῦ ὅρον ἐγνωκὼς ὁ νοῦς ἐμιμήσατο τὸ ἐκείνου ὑπὲρ γνῶσιν ἱδρυμένον ἐν μόνῳ τῷ γνωστῷ. Ἔστι δεύτερος οὗτος ὅρος ὁμολογουμένως οὐχ ὑποστάσεως πρὸς ὑπόστασιν, ἀλλ' ὡς γιγνώσκοντος πρὸς γιγνωσκόμενον. Οὕτω μὲν καθόλου· εἰ δέ ἐστιν οὐσία τοῦ νοῦ καὶ περιγραφὴ ὡς ἀφ' ἑαυτοῦ προϊόντος, ἀναλογήσει ταύτῃ γνωστικὴ ἐπιστροφή, καθ' ἣν ἑαυτὴν γιγνώσκει ὁ νοῦς. Εἰ δὲ προελήλυθε καὶ ἀπὸ τοῦ πρὸ αὐτοῦ, τῇδε ἀναλογήσειεν ἂν τῇ ἄνωθεν ὑποστάσῃ προόδῳ ἡ τὸ πρὸ αὐτοῦ γιγνώσκουσα γνῶσις· ἐπέστραπται γὰρ εἰς ἐκεῖνο καὶ οὐσιώδη καὶ γνωστικὴν ἐπιστροφήν. Ἔπειτα τὸ δεύτερον ἴδωμεν πῶς ἐκεῖνο γιγνώσκει· ἆρα τῷ ἑαυτὸν καὶ ἐκεῖνο, ἢ ἐκεῖνο, ἀφεὶς ἑαυτόν, ἢ οὐδέτερον μέν, τὸ συναμφότερον δέ; Οὔτε γὰρ ἐκεῖνο μόνον χωρὶς ἑαυτοῦ, οὔτε δι' ἑαυτοῦ μόνον, ὡς οὐ πρὸ ἐκείνου ἀποβλέπων, ἀλλὰ πρὸς μόνον ἑαυτόν.

1.189 Πάντα γὰρ ὁμοῦ δεῖ συνδραμεῖν· καὶ γὰρ καθ' ὑπόστασιν πᾶσαν τὴν ἑαυτοῦ ἀπ' ἐκείνου πρόεισιν, ὥστε καὶ κατὰ γνῶσιν ἑαυτοῦ πᾶσαν ἐκεῖνο γνώσεται· γιγνώσκων γὰρ ἑαυτὸν εὑρίσκει τὸ μίμημα τοῦ πρὸ αὐτοῦ ἑαυτόν, καὶ οἷον ἐκεῖνο ἑαυτόν, καὶ αὖ τὸ μίμημα, καὶ τὸ οἷον ἐκεῖνο γιγνώσκων ἑαυτὸν γιγνώσκει. Οὐκοῦν μόνην οὕτως γνώσεται τὴν ὁμοιότητα, τήνδε τὴν ἀνομοιότητα· ὅτι τὸ μὲν αὐτός, τὸ δὲ γεννητικὸν ἑαυτοῦ, καὶ τὸ μὲν ἐκείνου, τὸ δὲ ἀπ' ἐκείνου· ἢ τὸ μὲν γνωστικόν, τὸ δὲ γνωστόν. Ῥητέον τοίνυν ὅτι, καθάπερ διεκρίθη μὲν αὐτὸς ἀπὸ τοῦ ὄντος ὡς διακεκριμένος, ἀπέφηνε δὲ καὶ ἐκεῖνο χωρὶς ἑαυτοῦ ὡς ἀδιάκριτον, οὕτω γνοὺς ἑαυτὸν καὶ τῇ ἑαυτοῦ γνώσει περιγραφείσης θεότητος ἀπεριγράφου τοῦ ὄντος φύσεως· καὶ οὐ γιγνώσκειν ἀλλὰ γιγνώσκεσθαι μόνον, καὶ τοῦτο διὰ τὸ πρὸς νοῦν σύμμετρος εἶναι ὑπομενούσης οἷον φιλοστοργία τοῦ οἰκείου γεννήματος. Οὐκ ἄρα ἀποβλέπει πρὸς τὸ αἴτιον τὸ ἑαυτοῦ, ἢ ἀποστὰν αὐτοῦ ἐπεστράφη πρὸς αὐτὸ καὶ ἑλεῖν βουληθὲν ἀντὶ τούτου ἔγνω, μᾶλλον δὲ οὕτως εἷλεν αὐτό, ὡς αὐτὸ μὲν μὴ γενέσθαι, περιπτύξασθαι δὲ αὐτὸ γνωστικῶς, τοῦτο δέ ἐστι περιφωτισθῆναι τὸ ὄμμα τῷ ἐκείνου φωτί· τοιαύτη γὰρ ἡ πρὸς τὸ γιγνωσκόμενον συναφὴ τοῦ γιγνώσκοντος οὐκ ἐκεῖνο γενέσθαι, οὐδὲ ἐκείνου, οὐδὲ ἀπόρροιαν, ἀπ' ἐκείνου λαβεῖν, οὐδὲ αὐτὸ εἰς ἐκεῖνο ἀναχθῆναι. Τὰ γὰρ ἅπαξ διακριθέντα συγχέουσιν αἱ τοιαῦται πᾶσαι ἐπιβολαί, καὶ οὐδὲ τὸ τῆς γνώσεως εἶδος ἔτι συγχωροῦσιν, ὅπερ ἐν διακρίσει τῇ καθ' ὅρους ἑστώσῃ τοῦ γιγνωσκομένου καὶ τοῦ γιγνώσκοντος ὑφέστηκεν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναγνωρισμὸς οὖσα τῶν διαστάντων, καὶ δεξίωσις ἀντιπροτεινομένη μετὰ τῆς διαστάσεως. Ἀλλὰ τῷ ἐνόντι τοιούτῳ, φασί, τὸ ἔξω τοιοῦτον γιγνώσκομεν. Οὐκοῦν, φήσω, ὁ νοῦς ἔξω μὲν τοῦ ὄντος ἐγένετο κατὰ τὴν παράλλαξιν τῆς φύσεως· ἔστιν δὲ ὅμως τοιοῦτος προελθών, οἷον ὅτι μάλιστα μείνασα ἡ οὐσία· μόνη γὰρ ἐξήλλαξεν ἡ διάκρισις· ὥστε ὅλῳ ἑαυτῷ γιγνώσκοι ἂν τὴν οὐσίαν ὁ νοῦς, οὐδὲν ἧττον ἢ εἰ τῆς οὐσίας ἴχνος ἐν ἑαυτῷ περιεῖχεν. Εἰ δὲ καὶ ἐν τῷ νῷ πρὸ τοῦ διῃρημένου τὸ συνῃρημένον ἐστὶ πλήρωμα, νοερὸν ἂν εἴη τοῦτο τῆς πρὸ αὐτοῦ οὐσίας ἡνωμένης, οἷον εἰκὼν καθ’ ἣν τὸ παράδειγμα εἴσεται, ὥσπερ κατὰ τὸ παράδειγμα τὴν εἰκόνα· καίτοι πολλὴ τῆς εἰκόνος ἡ πρὸς τὸ παράδειγμα τὸ οἰκεῖον διάκρισις· εἰ δὲ καὶ τῆς ἡνωμένης φύσεως αὐτῆς γε τῆς τοῦ ὄντος ἐνείη τι καὶ τῷ νῷ ἢ ἁπλῶς ἤ τινα τρόπον, καὶ ἤτοι αὐτῷ συμφυὲς τῷ ὄντι ἢ τῷ νῷ συνουσιωμένον ἢ ὅπῃ καὶ ὅπως.

1.190 Ταῦτα μὲν γὰρ ἐπιζητήσομεν ἐν τῷ περὶ μεθέξεως λόγῳ μικρῷ ὕστερον. Εἰ δ’ οὖν τι καὶ τοιοῦτον ἐνείη τῷ νῷ, κατὰ τοῦτο γνώσεται καὶ ἐκεῖνο ὁ νοῦς· μιᾶς γάρ πως οὔσης τῆς φύσεως, μία πως καὶ ἡ γνῶσις αὐτῆς γενήσεται. Ταῦτα μὲν δὴ καὶ ἐν τοῖς περὶ νοῦ τοῦ ὡς ἀληθῶς νοῦ μετιέναι ἐλπίζομεν ἀκριβέστερον, ἅτε καὶ τὸν περὶ μεθέξεως προσθέντες λόγον. Ἀλλὰ δὴ τὸ ἕκτον ἐπὶ τούτοις ἐκεῖνο ἡμῖν περιεβέβλητο πῶς ἑαυτὸν μὲν ὑφίστησι κατὰ τὴν οὐσιώδη ἐπιστροφὴν πρὸς ἑαυτόν. Οὐ μὴν ἔτι καὶ τὸ πρὸ ἑαυτοῦ κατὰ τὴν πρὸς ἐκεῖνο τοιαύτην· τὰ δὲ αὐτὰ καὶ περὶ τῆς ζωτικῆς ἠπορεῖτο· τὴν γάρ τοι γνωστικὴν ὁρῶμεν ὁμοίως ἔχουσαν κατά τε τὸ πρὸς ἑαυτὸν καὶ κατὰ τὸ πρὸς ἐκεῖνο· δρᾷ γὰρ οὐδὲν οὐδετέρωθι, καθὸ γιγνώσκει. Εἰ γὰρ καὶ δραστήριος εἴη ἡ γνῶσις, ἀλλὰ καθὸ δρᾷ τι, καὶ ὑφίστησιν, οὐκέτι γνῶσις ὡς γνωστοῦ, ἀλλὰ ποιητική τις αἰτία τινὸς ποιήματος. Οὐ γάρ ἐστι ποιεῖν ἴδιον τοῦ γιγνώσκοντος, ἀλλὰ μόνον γιγνώσκειν ἤδη τι ὄν, τῆς δὲ οὐσίας καὶ τῆς ζωῆς τὸ ὑφιστάνειν, μᾶλλον δὲ τῆς μὲν οὐσίας τὸ οὐσιοῦν καὶ ὑπόστασίν τινα παρέχεσθαι πρώτην, τῆς δὲ ζωῆς οἷον παρακινεῖν ἐκείνην καὶ παρεγείρειν εἴς τινα πρόοδον, ἢ τὴν τούτου ποιητικὴν ἐνδιδόναι φύσιν. Διὰ τί οὖν ἡ μὲν εἰς ἑαυτὸν οὐσιώδης ἐπιστροφὴ ὑφίστησιν τὸν νοῦν αὐτὸν ἀφ’ ἑαυτοῦ, ἡ δὲ εἰς τὸ πρὸ αὐτοῦ οὐκέτι ἐκεῖνο ὑφίστησι; Καὶ πῶς γὰρ οἷόν τε ἦν τὸ αἴτιον ὑπὸ τοῦ αἰτιατοῦ ὑφίστασθαι; Οὐκ ἄρα οὐσιώδης ἡ τοιαύτη ἐπιστροφή, εἴπερ μὴ οὐσιοποιός, ἢ οὐσιοποιὸς τῆς τοῦ νοῦ οὐσίας, ἀλλ’ ὡς ἀπὸ τοῦ πρὸ αὐτοῦ γεννωμένης· κατὰ γὰρ τὴν οὐσιώδη εἰς ἐκεῖνο οὐσιώδη ἐπιστροφήν, ὡς ἀπ’ ἐκείνου προϊόντα ὁ νοῦς ἑαυτὸν περιέγραψεν τῇ πρὸς ἐκεῖνο στροφῇ, τὸ ἀπ’ ἐκείνου εἶναι δεχόμενος· οὕτω γὰρ καὶ τὴν πρὸς ἑαυτὸν οὐσιώδη ἐπιστροφὴν νοητέον, ὡς ἀφ’ ἑαυτοῦ προϊόντα αὐτὸν ὑφιστᾶσαν· οὕτω δὲ καὶ τὰ αὐτὰ περὶ τῆς ζωτικῆς ὑποτιθέμενοι τὴν ἀναλογίαν ἐν δίκῃ ἰδίᾳ σωσόμεθα. Καὶ μὴν τὸ πέμπτον ἐπιλυσόμεθα ῥᾳδίως, ἴδιον μὲν ὁμολογοῦντες εἶναι τῆς ἐπιστροφῆς τὸ συννεύειν εἰς ἕτερόν τι, πρὸς ὃ ἡ ἐπιστροφὴ τὸ ἐπιστρεφόμενον, ἢ πρὸς ἑαυτό, εἰ αὐτοῦ εἴη πρὸς ἑαυτό, τὴν δὲ σύννευσιν γίγνεσθαι κατὰ μὲν οὐσίαν μετὰ τῆς ἑαυτοῦ ὑποστατικῆς ἰδιότητος, κατὰ δὲ ζωὴν μετὰ τῆς ζωοποιοῦ.

1.191 Οὐκ ἔστι μὲν γὰρ ταὐτὸν ἐπιστρέφεσθαι καὶ ποιεῖν· ἐπιστρέφεται δὲ πάντως τὸ ποιοῦν πρὸς τὸ γιγνόμενον, καὶ ἀπὸ τοῦ συνόντος ἠβουλόμεθα γνωρίζειν τὸ τῆς ἐπιστροφῆς εἶδος ἀπὸ τοῦ οὐσιοποιοῦ ἢ ζωοποιοῦ, ἐπεὶ καὶ τῆς γνώσεως ἕτερον ἡ ἐπιστροφή, ἡ μὲν γὰρ νεῦσις, ὡς εἴρηται, πρὸς ἕτερον ἢ πρὸς ἑαυτό, ἡ δὲ γνῶσις οἷον συγκατάθεσίς ἐστι καὶ ὁμολογία τοῦ ἕκαστον εἶναι ὅ ἐστιν. Ἐπισυνακτέον δὲ τῷ πέμπτῳ τὸ τέταρτον καὶ τὰ αὐτὰ διαιρετέον ἐπὶ τῶν τριῶν ἐπιστροφῶν, ὡς ἔστιν ἄρα καὶ ἐπὶ ζωῆς τὸ μὲν ἀναλογοῦν τῷ γιγνώσκοντι, δῆλον ὅτι τὸ ζῶν, τὸ δὲ τῷ γιγνωσκομένῳ ἐκείνη ἡ ζωή, ἣν τὸ ζῶν ζῇ, τῇ δὲ γνώσει ἡ ζῆσις. Ἔστιν οὖν καὶ ἐπὶ τούτων εἰπεῖν τὸ ζωτικόν, τὸ ζωητόν, ἡ ζῆσις, καὶ δὴ καὶ ἐπὶ τῆς οὐσίας τὸ μέν ἐστιν οὐσίωσις καὶ ὑπόστασις, τὸ δὲ οὐσιούμενον, ὑφισταμένους, τὸ δὲ οὐσιωτὸν ὅπερ ἐν τῷ νῷ οὐσίωται καὶ καθ’ ὃ οὐσιοῦται ὁ νοῦς. Ὡς γὰρ φάναι σαφέστερον, ἡ μὲν ἐπιστροφὴ κατὰ τὸ μέσον ὁρᾶται, τῶν δὲ ἄκρων κατὰ μὲν τὸ ἐπιστρεφόμενον ἔσται τὸ γνωστικόν, τὸ ζωτικόν, τὸ

οὐσιωτικόν, οἷον τὸ γιγνῶσκον, τὸ ζῶν, τὸ οὐσιωμένον, κατὰ δὲ τὸ πρὸς ὃ ἐπιστρέφεται, τὸ γνωστόν, τὸ ζωητόν, τὸ οὐσιωτόν· ὀρεκτὸν γὰρ ἕκαστον τούτων ἑνός γε τοῦ ἐκείνων, τὸ μὲν τοῦ γιγνώσκοντος, τὸ δὲ τοῦ ζῶντος, τὸ δὲ τοῦ οὐσιωμένου. Τὸ μέντοι ἐπιστάσεως ἄξιον μὴ σιωπῇ παρέλθωμεν ὅτι ἐπὶ μὲν γνώσεως διακέκριται τὰ ὀνόματα, ἅτε ἐν διακρίσει τινὶ ἀξιολόγῳ τῆς γνώσεως ὑφεστώσης, ἐπὶ δὲ τῶν ἄλλων οὐ κεῖται, διότι πολλὴ τούτων ἡ ἕνωσις τοῦ ζῶντος πρὸς τὴν ζωήν, καὶ ἔτι μειζόνως τοῦ οὐσιωμένου πρὸς οὐσίαν καθ’ ἣν οὐσίωται, ἢ πρὸς ἣν ἐπιστρέφεται κατ’ οὐσίαν.

1.192 Διὸ καὶ ἡ μὲν γνῶσις ἐνέργεια τι καὶ πάθος· γιγνώσκω γάρ σε καὶ γιγνώσκομαι ὑπὸ σοῦ, φαμέν· τὸ δὲ ζῶ καὶ εἰμὶ οὐδέτερα λέγεται καὶ ὑπὸ τῶν γραμματικῶν ὡς ἐν ὑποστάσει θεωρούμενα, πλὴν εἰ μὴ προσλάβοι τὸ ποιεῖν καὶ ποιεῖσθαι· τότε δὲ κατ’ αὐτὰ γίνεται ἡ μετάβασις, οἷον ζωοποιῶ καὶ ζωοποιοῦμα ι. Πρὸς τοίνυν τὸ τρίτον ἐροῦμεν ὡς διττὸν ἡ πρόοδος, ἡ μὲν τοῦ προεληλυθότος, ἣν ἴδοι ἄν τις τριττήν, ὡς γιγνώσκοντος ἀπὸ τοῦ γνωστοῦ προϊόντος, ὡς ζῶντος ἀπὸ ζωῆς ἢ τοῦ αἰτίου τῆς ζωῆς, ὡς ὄντος ἀπὸ τοῦ πρώτου ὄντος, ἡ δέ ἐστιν ἐν τῷ προϊέναι θεωρουμένη, καθ’ ἣν μόνην τὴν ζωὴν ὑφεστάναι λέγομεν, ἐπειδὴ ταύτης οὐκ ἂν εἴη τὰ τρία διακεκριμένα, ἀλλ’ εἴπερ ἄρα διακεκριμένα, καί τινα ἔμφασιν προβαλλόμενα τῆς πρὸς ἄλληλα ἀντιδιαιρέσεως· ἐπὶ γοῦν τῆς γιγνομένης οὐσίας οὐκ ἔστι διελεῖν οὐδ’ ὁπωστιοῦν τὸ οὐσιῶδες καὶ γνωστικὸν καὶ ζωτικόν. Ἐὰν ἄρα μόνην θεωρῇ τις καὶ ὀνομάζῃ τὴν ἔρημον ἐκείνου κατάστασιν, οὐκ ἂν οὐδὲ ταύτην διέλοι τριχῇ. Εἰ δὲ μονὴν λέγοι τοῦ προελθόντος, ὄψεται καὶ ταύτην τριχῇ διαιρουμένην· μένει γὰρ ὁ νοῦς καὶ ἐν τῷ γνωστῷ κατὰ τὴν γνῶσιν, καὶ ἐν τῇ ζωῇ κατὰ τὴν ἑαυτοῦ ζωήν, ἢ ἐν τῷ αἰτίῳ τῆς ζωῆς, καὶ ἐν τῷ ὄντι κατὰ τὴν μὴ πάντη ἀπὸ τοῦ ὄντος ἔκστασιν, ὡς ἐν τοῖς πρόσθεν ἐλέγομεν. Ὥστε καὶ πρὸς τὸ δεύτερον ἀπὸ τούτων ῥᾴδιόν τι εἰπεῖν ὡς τοῦ προελθόντος ἐστὶν ἡ ἐπιστροφή· τοῦτο γὰρ καὶ δεῖται τῆς ἐπανόδου ὃ καὶ τὴν ἔφοδον ἐποιήσατο, οὔτε δὲ τὸ προϊόν, εἴπερ ἔτι πρόεισιν, οὔτε πολλῷ μᾶλλον τὸ μένον πρὸ τῆς προόδου, τοῦτο γὰρ οὐδὲ πρόεισιν. Ἆρα οὖν μόνη ἡ ἐπιστροφὴ τοῦ προελθόντος ἐστίν; ἢ καὶ τὸ προϊέναι καὶ τὸ μένειν· αὐτὸ γὰρ δὴ μένον τε προελήλυθε καὶ μέσην ἔχει τοῦ προεληλυθέναι καὶ μένειν τὴν πρόοδον· ὅλως γὰρ ἐν διορισμῷ τὰ τρία πρὸς ἄλληλα, ὡς εἴρηται πολλάκις. Ἐν ἄρα τῷ διωρισμένην ἔχοντι τὴν οὐσίαν ἐστὶ τὰ τρία, τοῦτο δέ ἐστι τὸ προεληλυθός· τὸ δὲ ὂν οὐκ ἂν λέγοιτο μένειν εἰκότως, ὅ γε μηδὲ πρόεισι καὶ ἐν ᾧ μηδὲν διώρισται, ὥστε οὐδὲ μονὴ ἐν αὐτῷ ὥς τι διωρισμένον. Ἄλλως δὲ ἀκίνητον λέγεται ὡς ἀδιάκριτον πάντη καὶ ἡνωμένον καὶ ὂν μένον ἐν τῇ καὶ πρὸ πάντων ἀπροόδῳ φύσει.

1.193 Οὕτω δὲ οὐδὲ ἡ λεγομένη ζωὴ μονὴν ἔχει ἢ πρόοδον ἢ ἐπιστροφὴν ἐν διακρίσει θεωρουμένας, ἀλλὰ τὰς ἐν τῷ διακρίνεσθαι ἔτι ὑποφαινομένας. Ἐοίκασιν ἄρα συνεῖναι ἀλλήλαις αἱ τρεῖς, ἐν μὲν τῷ ἡνωμένῳ κατὰ ἕνωσιν ἀδιάκριτον, ἐν δὲ τῷ διακεκριμένῳ κατὰ διορισμόν τινα καὶ ἀντιδιαίρεσιν ἤδη προβεβλημένην, ἐν δὲ τῷ μέσῳ δῆλον ὅτι τὸ μεταξύ, τὸ πῶς μὲν εἶναι, πῶς δὲ μὴ εἶναι, διωρισμένας ἢ ἀδιορίστους. Ἀλλ’ ὅτι μὲν ἐν τῷ προελθόντι αἱ τρεῖς οὕτως εἰσὶν ὡς διακεκριμέναι κατ’ εἶδος, ἐκ τούτων φανερόν. Τί δέ; τὸ ὂν οὐκ ἐπεστραμμένον ἐστὶ πρὸς ἑαυτὸ καὶ αὐθυπόστατον, αὐτό τε ἀφ’ ἑαυτοῦ προϊὸν καὶ ἐν ἑαυτῷ μένον; ἢ φαντάζεται μὲν εἶναι τοιοῦτον ἡμῖν τοῖς περὶ τὴν μίαν αὐτοῦ ἁπλότητα μεριζομένοις, αὐτὸ δὲ ὅλως οὐδὲν μὲν τούτων ἐστί, τὴν δὲ μίαν τῶν τριῶν εἴληχε κοινωνίαν, καὶ ταύτην μέντοι συνῃρημένην ἐν τῇ ὅλῃ κοινωνίᾳ τῶν πάντων. Καὶ γὰρ ἔδει ἄλλως τὸ κατ’ ἐπιστροφήν τινα ὂν ἢ πρόοδον ἢ μονήν, αὐτὸ μόνον εἶναι ἁπλῶς ἐστι· τούτων γὰρ ἕκαστον οὐχ ἁπλῶς ἐστιν, ἀλλὰ τοιάδε οὐσία μένουσα τυχὸν ἢ προϊοῦσα ἢ ἐπιστρέφουσα, καί, τὸ ὅλον φάναι, διωρισμένη· ᾧ δῆλον ὅτι ἐν τῷ προελθόντι ἐστὶν ἡ οὐσία καὶ ἡ ζωὴ καὶ ἡ γνῶσις, αἵ γε κατὰ διαίρεσιν ἀντιδιεσταλμέναι πρὸς ἀλλήλας· ἡ δὲ μέση φύσις οὔπω τι τούτων, οὔτε οὐσία, οὔτε ζωή, οὔτε γνῶσις, ἀλλ’ ἤδη τούτων ὠδίς τις καὶ προκοπή· ἐν δὲ τῷ καλουμένῳ ἰόντι οὐδὲ ὑπόφασις. Ἀλλὰ τί τὸ προελθόν; ἆρα τὸ

τρίτον ἀεί, καὶ ὅσον μετὰ τὸ τρίτον, ἢ καὶ τὸ δεύτερον ἐνίοτε, εἰ καὶ μὴ τὸ δεύτερον τοῦ ὄντος, ὃ ζωὴν καλοῦμεν, ἀλλ' οἷον ὁ δεύτερος νοῦς, ἢ μετὰ τὸν πρῶτον νοῦν καὶ τὴν ἐν αὐτῷ πρώτην ἐκφανεῖσαν διάκρισιν, ἐφεξῆς ἀεὶ καὶ τὰ δεύτερα τῶν πρὸ αὐτῶν διακρίνεται, μετέχοντά γε τῆς ἤδη προβεβλημένης ἄνω διακρίσεως; ἔστι δὲ ἃ καὶ ἐν τῷ διακρίνεσθαί πως ὁρᾶται πρὸς τὰ πρὸ ἑαυτῶν καὶ τὰ μεθ' ἑαυτὰ κατὰ ἀναλογίαν, ὡς ἐν ταῖς χαλδαϊκαῖς τριάσιν ἡ δύναμις. Ἐπὶ δὲ τούτοις ἅπασι τὸ πρῶτον ἡμῖν ἐζητημένον ἐξετάσωμεν τίς ἡ ἀνάγκη τῆς ἀντιθέσεως τῶν τριῶν πρὸς ἄλληλα, εἴτε μονῆς καὶ προόδου καὶ ἐπιστροφῆς, εἴτε οὐσίας καὶ ζωῆς καὶ νοῦ, εἴτε τοῦ ἡνωμένου καὶ διακρινομένου καὶ διακεκριμένου.

1.194 Τάχα μὲν οὖν κάλλιον ἀδιάκριτον, διακρινόμενον, διακεκριμένον ποιεῖν τὴν ἀντιδιαίρεσιν, ἢ πάλιν αὖ ἡνωμένον, πεπληθυσμένον, ἀπὸ διαμέτρου μὲν ταῦτα κατὰ τὴν τοῦ ἑνὸς καὶ τοῦ πλήθους ἀντίθεσιν, ἐν μέσῳ δὲ ἀμφοῖν ὁ τοῦ μὲν ἑνὸς ἐχάλασεν, ἡ τοῦ δὲ πλήθους ἔμφασις προεβάλετο. Αὕτη μὲν ἡ τριὰς ἐν εἰκότι λόγῳ διῄρηται, τὴν δὲ πρὸ ταύτης παρέσχετο μὲν καὶ τὰ αἰσθητὰ πᾶσι προκείμενα, ὧν τὰ μὲν εἶναι μόνον λέγομεν, τὰ δὲ καὶ ζῆν, τὰ δὲ καὶ γιγνώσκειν· παρέσχετο δὲ καὶ ὁ τοῦ ζῴου ὁρισμός, οὐσίαν τε καὶ γιγνώσκουσαν αὐτὸ ἀφοριζόμενος. Οὐκοῦν ζῷον μὲν ἐκ τῶν τριῶν, ἀφῃρημένης δὲ τῆς γνώσεως οὐσία ζῶσα γίγνεται μόνον, ἀπολειπομένης δὲ καὶ τῆς ζωῆς, οὐσία μόνον καθίσταται· ἐάσαντες δὲ τὰ πράγματα, εἰ βούλει, τὰς ἡμετέρας ἐννοίας ἀναθρήσωμεν ἃς ἔχομεν περὶ τῶν εἶναί φαμεν, τὸ δὲ ζῆν, τὸ δὲ γιγνώσκειν. Τοῦτο μὲν οὖν πρὸς ἕτερον ἀποτείνεται, κατὰ γὰρ τὴν πρὸς τὸ γνωστὸν ὄρεξιν ὑφίσταται τὸ γιγνώσκειν, τὸ δὲ εἶναι καθ' αὑτὸ καὶ ἑαυτοῦ καὶ μόνον αὐτὸ χωρὶς ἁπάσης διπλόης, τὸ δὲ ζῆν ἀτεχνῶς μέσον. Ἔτι μὲν γὰρ ἐν ἑαυτῷ καὶ πρὸς ἑαυτὸ καθ' ὅσον ζῇ τὸ ζῶν, ἤδη δέ πως ἐγειρόμενον ἀφ' ἑαυτοῦ καὶ πρὸς ἑαυτὸ διακρινόμενον, καὶ οἷον ὑπερζέον τῆς ἑαυτοῦ οὐσίας, οὔπω δὲ εἰς ἄλλο ἀποτεινόμενον· διὸ οὐδὲ πρὸς ἐνέργειαν φέρεται καὶ πάθος ὡς πολὺ τῆς οὐσίας ἐχόμενον. Καὶ γάρ ἐστιν ἡ ζωὴ τὸ διανιστάμενον τῆς οὐσίας· διὸ καὶ ἔδοξε κίνησις εἶναι ἢ κινήσεως αἰτία, καὶ διάκρισις, ἢ ἐν τῷ διακρίνεσθαι, ἢ τῆς τοιαύτης αἰτία διακρίσεως, ἔστι δὲ τούτων μὲν οὐδέν· οὐδὲ γὰρ ἡ οὐσία στάσις ἢ στάσεως αἰτία, οὐδὲ συναίρεσις ἢ συναιρέσεως αἰτία· οὐδὲ γὰρ ὁ νοῦς γνῶσις, οὐδὲ μόνης γνώσεως αἴτιος· εἴδη γὰρ ταῦτα καὶ διώρισται πρὸς ἄλληλα· καὶ γὰρ ἡ ζωὴ καὶ ἡ οὐσία διωρισμένα· ὁ δὲ νοῦς τὰ πάντα, ὁ πρῶτος νοῦς, καὶ κόσμος ὅλος ἤδη τῇ οἰκείᾳ περιγραφῇ καὶ τῇ οἰκείᾳ διακρίσει, τεταγμένος τε καὶ ἐσφαιρωμένος. Ἡ δὲ πρὸ τούτου φύσις ἣν καλοῦμεν ζωὴν ἀπὸ τῆς ἐοικυίας αὐτῆς τῇ μεσότητι ζωῆς εἰδητικῆς οὔπω τέτακται· οὐδὲ γάρ πω διακέκριται οὐδὲ περιγέγραπται, ὅτι καὶ ἡ περιγραφὴ διάκρισίς τις· ἀλλ' ὑποφαίνει μὲν ταῦτα ὡς ἐπ' αὐτὰ ῥέουσα ἀπὸ τοῦ ὄντος, ἔστι δὲ οὐδὲν ἕτερον ἢ μόνη ῥύσις οὔτε ἄνω μείνασα, οὔτε κάτω προελθοῦσα· πρὸ δὲ ταύτης ἡ παντελὴς τοῦ ὄντος ὑπόστασις οὕτω παντελὴς ὥστε μηδὲ τῆς ῥύσεως ἀνασχέσθαι, μηδὲ τῆς εἰς τὸ μέσον προχύσεως.

1.195 Δικαίως ἄρα καὶ αὕτη ἀντιδιῄρηται ἡ τριὰς αὐτὴ πρὸς ἑαυτὴν κατὰ τὴν τῶν διωρισμένων ἐννοιῶν ἀκολουθίαν· ἡ μὲν γὰρ οὐσία αὐτὸ μόνον δηλοῖ ὅ ἐστιν ἕκαστον, κἂν τὴν γνῶσιν ἴδοι τις ὥς τινα καὶ ταύτην ὑπόστασιν, καὶ τὴν ζωήν, κἂν τὸν νοῦν, τὸ ἀγαθὸν τοίνυν, τὸ καλόν, τὸ δίκαιον, πᾶν ὅ ἐστιν οὐσία, ἐκείνου ἐστίν· τὸ δὲ ζῆν ἑκάστου, καὶ τῆς οὐσίας ἑκάστης ἡ ζωὴ τὸ ζέον αὐτῆς ἐστι, ἑκασταχοῦ καὶ διανιστάμενον καὶ ἀφ' ἑαυτοῦ ῥωννύμενον εἰς τὴν ἐκτὸς ἐνέργειαν, εἴ τι καὶ τοῦτο δύναται πρὸς τὴν ἔνδειξιν οὗ λέγομεν. Ὅταν δὲ εἴδει ἑτέρῳ προσπλέκηται καὶ ἀποτείνηται πρὸς ἕτερον, ἄλλαι τε ἐνέργειαι καὶ ἰδιότητες ἐνορῶνται, καὶ δὴ καὶ ἡ γνῶσις. Διὸ πρὸς οὐσίαν ἡ μὲν ζωὴ δυνάμεως λόγον ἐπέχει, ἡ δὲ γνῶσις, ἐνεργείας· καίτοι καὶ γνωστικὴ δύναμίς ἐστι καὶ οὐσία, ὁμοίως δὲ καὶ ζωτική. Τῷ μὲν ἄρα καθ' αὑτὸ συνυφέστηκεν ἡ οὐσία, τῷ δὲ πρὸς ἕτερον ἡ γνῶσις, τῷ δὲ μέσῳ καὶ οὐδὲ πρὸς ἕτερον τεινομένῳ, οὔτε καθ' ἑαυτὸ ἀτρεμοῦντι, ἡ παρ' αὐτὸ τοῦτο δὴ τὸ ζητεῖν τε καὶ ζέειν εἶναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεγομένη ζωή. Πῶς δὲ ὁ νοῦς τρίτος; εἰ μὲν εἴδει κατὰ γνῶσιν οὐσίωται, καὶ τὸ νοεῖν γιγνώσκειν ἐστίν, ὅτι καὶ ἡ γνῶσις ἀντίθετος ἦν πρὸς ζωήν, ὡς εἴρηται, εἰ δὲ τὸ νοεῖν καὶ ἡ νόησις ἐπάνοδον σημαίνει πρὸς τὸ ὄν, ὡς ἐλέγετο πρόσθεν, ἡ δὲ ἐπάνοδος ἐπιστροφὴ ἢ διάκρισις, δῆλον ὅπως καὶ ὁ νοῦς τρίτος μετὰ ζωήν τε καὶ οὐσίαν· αὕτη μὲν γὰρ ἀπερίγραφος, ὁ δὲ νοῦς περιγεγραμμένος, ἡ δὲ ζωὴ μέσην ἔχει τὴν διάθεσιν. Ὁμοίως δὲ ὁ μὲν νοῦς διακεκριμένος, πολλὰ γεγονὼς ἀνθ᾽ ἑνός τε καὶ ἡνωμένου, ἡ δὲ οὐσία μονοειδὴς καὶ ἀδιάκριτος, ἡ δὲ ζωὴ τὴν μέσην καὶ τούτων ἔχει διάθεσιν. Οὐκοῦν ἐπὶ τούτοις ἐκεῖνο προσθετέον ὅπως μονὴ καὶ πρόοδος καὶ ἐπιστροφὴ ἀντιδιῄρηνται πρὸς ἀλλήλας· ἢ τὸ αὐτὸ μέν, εἰ λάβοιμεν, τρεῖς ἕξει τοῦτο ἐνεργείας· ἢ γὰρ ἡσυχίαν ἄγει, ἢ μεταβάλλεταί τινα μεταβολήν, ἢ ὀρέγεται πάλιν τῆς ἡσυχίας. Καὶ γὰρ τὸ σῶμα ἢ ὑγιαίνει κατὰ φύσιν, ἢ εἰς τὸ παρὰ φύσιν ὑπάγεται, ἢ εἰς τὸ κατὰ φύσιν ἀπανάγεται. Εἰ δὲ πρὸς τὸ αὐτὸ καὶ ἓν ἐκλάβοιμεν τὸ τριχῆ διαιρούμενον, ἐροῦμεν ἢ συνεῖναι αὐτῷ, ἢ ἀπ᾽ αὐτοῦ ἀπιέναι, ἢ πρὸς αὐτὸ ἐπανιέναι. Ἐπὶ τούτοις δὴ ζητητέον περὶ τοῦ νοητοῦ καὶ πάντη ἡνωμένου ῥηθέντος, εἴ τινα ἐν ἑαυτῷ διάκρισιν ἔχει καὶ τάξιν πρώτου καὶ μέσου καὶ τελευταίου πληρώματος, εἴτε ὡς οἱ φιλόσοφοι λέγουσιν, οὐσίας καὶ ζωῆς καὶ νοῦ, εἴτε ὡς οἱ θεόλογοι ἄλλοι ἄλλως πληθύοντες τὰς νοητὰς ἀρχάς, εἴτε ὡς οἱ Χαλδαῖοι πατρικὰς τριάδας ἀνευφημοῦντες.

1.196 Εἰ δὲ μέλλοιμεν ταῦτα διατιθέναι μετρίως πως, ἀνακρουστέον ἡμῖν αὖθις τὸν λόγον εἰς τὴν περὶ πολλῶν καὶ πλήθους ἐπίσκεψιν· οὕτω γὰρ ἴσως φανεῖται πότερον προσήκει τὸ πλῆθος τῷ νοητῷ ἐκείνῳ ἢ οὔ, καὶ πῶς μέν, πῶς δὲ οὔ, προσήκοι ἂν κατὰ τὸ δικαιότερον. Οὐκοῦν πολλὰ ταῦτα ὁρᾶται ὄντα σαφῶς καὶ λέγεται ὑπὸ πάντων, ὅσα διέστη ἀπ᾽ ἀλλήλων καὶ καθ᾽ ἑαυτὸ γέγονεν ἕκαστον οἰκείᾳ περιγραφῇ, τοῦτο μένον βουλόμενον ὅ ἐστι καὶ λέγεται, οἷα τὰ εἴδη φαμὲν εἶναι σπουδάζειν. Λέγεται δὲ αὖ πολλὰ καὶ τὰ μέρη· οὐδὲ γὰρ πέφυκεν ἓν μέρος εἶναί τινος, ἀλλὰ δύο τοὐλάχιστον· πολλὰ οὖν καὶ τὰ μέρη· διαφέρει δὲ ὅτι οὐ καθ᾽ ἑαυτὰ βούλεται εἶναι, οὐδὲ ἑαυτῶν, ἀλλὰ πάντως ἀλλήλων τε καὶ τοῦ ὅλου κατὰ τὴν μίαν ἀλληλουχίαν ἔν τε τῷ ὅλῳ ὑφέστηκεν, ἀρξάμενα μὲν τῆς διακρίσεως κατὰ τὸν μερισμόν, οὐ διαστάντα δὲ ὅμως εἰς οἰκείας περιγραφάς, ἀλλ᾽ ἔτι τῇ πρὸς ἄλληλα καὶ τὸ ὅλον συννεύσει συνουσιωμένα, οἷα μάλιστα φαίνεται τὰ ὁμοιομερῆ λεγόμενα τῶν μερῶν. Λέγεται δὲ πολλὰ κατὰ τρίτον λόγον τὰ στοιχεῖα. Καὶ γὰρ οὐδὲ στοιχεῖον ἓν μόνον δύναται συμπληροῦν τὸ στοιχειωτόν, δύο δὲ τοὐλάχιστον. Τίς οὖν ἡ διαφορὰ μερῶν καὶ στοιχείων; μία μὲν ὅτι τὰ μὲν μέρη ἐκ στοιχείων ἐστὶ τῶν αὐτῶν τῷ ὅλῳ· τοῦ γὰρ στοιχειωτοῦ τὰ μέρη ἐστὶν ὥσπερ τοῦ νεύρου τὰ τέσσαρα στοιχεῖα ταὐτά, καὶ δὴ καὶ ἑκάστου τῶν αὐτοῦ μερῶν· τὰ δὲ στοιχεῖα ἁπλούστερά ἐστι καὶ μέρους ἑκάστου ὡς τὸ πῦρ φέρε καὶ ἡ γῆ καὶ τοῦ ἐλαχίστου δοκοῦντος εἶναι, νεύρου.

1.197 Ἑτέρα δὲ ὅτι τὰ μὲν μέρη φυλάττει καὶ τὸν οἰκεῖον μερισμὸν καθ᾽ ὃν ὑπέστη· ἢ εἰ μὴ φυλάττοι, οὐδ᾽ ἂν εἴη μέρη, τὰ δὲ στοιχεῖα οὐχ ὑπομένει τὴν ὁπωσοῦν διάστασιν, ἀλλὰ συγχεῖται εἰς κρᾶσιν, καὶ εἰς ἕνωσιν ἐπείγεται, καὶ ἐν τούτῳ ἔχει τὸ εἶναι στοιχεῖα, τὸ μὴ παραφαίνειν που τὸν οἰκεῖον μερισμόν, καὶ πολλῷ μᾶλλον οὐδὲ τὴν περιγραφήν. Τρίτη δὲ αὐτῶν διαφορὰ τὸ μὴ εἶναι τῆς αὐτῆς φύσεως τὰ στοιχεῖα τῷ στοιχειωτῷ, πλὴν ὅσον τούτου λέγεσθαι στοιχεῖα, λέγω δὲ οἷον τὰ τοῦ ἡμετέρου σώματος στοιχεῖα οὐκ ἔστι κατὰ τὸ εἶδος τοῦ κράματος, ὄστεα εἰ τύχοι καὶ σάρκες, ἀλλ᾽ ὀστέων μὲν καὶ σαρκῶν, ὅταν σύμμετρα γένηται καὶ οἰκειωθῇ πρὸς τοῦτο τὸ εἶδος, καθ᾽ αὑτὰ δὲ ὅμως ἑτέρας ὑποστάσεως. Καὶ δὴ καὶ τῆς οὐσίας εἴ τινα εἴη στοιχεῖα, οὐκ ἂν εἶεν οὐσίαι τινές. Οὐσία γὰρ ἦν τὸ στοιχειωτόν, τὸ δὲ στοιχεῖον οὐκ ἂν εἴη τὸ στοιχειωτόν· ἄκρα μὲν τοίνυν τὸ περιγεγραμμένον εἰς οἰκείαν ὑπόστασιν, καὶ τὸ συγκεκραμένον εἰς μίαν τὴν κοινὴν ἁπάντων ἕνωσιν, μεσότης δὲ ἀμφοῖν τὰ μέρη καὶ ὁ τούτων μερισμός, ἤδη μέν πως διισταμένων, οὔπω δὲ περιγραφομένων. Ἀλλ᾽ εἰ ταῦτα οὕτω φύσει διέστηκεν, πῶς ἔτι τὰ τέσσαρα στοιχεῖα ταῦτα εἴδη ἄττα ἐστί, πῶς δὲ τὰ γένη λεγόμενα τοῦ ὄντος οὐκ ἂν εἴη καὶ εἴδη;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καίτοι καὶ στοιχεῖα λέγεται τῆς οὐσίας καὶ γένη· διὰ τοῦτο τοῦ ὄντος ἐστὶν ὅτι ἐκ τούτων ἡ οὐσία συγκέκραται. Εἰ δὲ ταῦτα εἴδη καὶ οὐ στοιχεῖα φήσει τις, τίνα ἂν εἴη τὰ στοιχεῖα ὡς ἀληθῶς; τίνα γὰρ ἂν εὕροιμεν ἁπλούστερα τῶν γενῶν τοῦ ὄντος; δοκεῖ δὲ ὅμως εἶναι καὶ εἴδη σώζοντά γε τὰς οἰκείας περιγραφάς· ἐν γὰρ τῇ οὐσίᾳ καὶ κίνησις καὶ στάσις, ἐμφανὲς ὄν, καὶ τῶν ἄλλων ἀντιθέσεων ἑκάστης ἑκάτερον. Πῶς δὲ μέρη τοῦ ἀνθρώπου, κεφαλὴ καὶ χεῖρες καὶ πόδες; πῶς δὲ τὸ ὅλον ἐξ ὅλων μερῶν, ἡλίου τέ φημι καὶ σελήνης καὶ τῶν ἄλλων, ὧν ἕκαστον εἶδος ὅλον ἐστί, καὶ τὰ ἡμέτερα μέρη περιγέγραπταί πως εἰδητικαῖς τισι διαφοραῖς, ὅσα ἀνομοιομερῆ; Καὶ ῥητέον πρὸς ταῦτα ὡς τὰ ὑποκάτω ἀεὶ μετέχει τῶν ἐπάνω· ὥστε τὰ μὲν εἴδη καὶ μέρη ἐστὶ καὶ στοιχεῖα, καὶ αὖ τὰ μέρη καὶ στοιχεῖα, οὐ μέντοι ἀνάπαλιν πάντως.

1.198 Ἐπὶ γὰρ τῶν εἰδῶν ἄλλα ἄλλων ἁπλούστερα, τὰ ἁπλᾶ τῶν συνθέτων γίνεται στοιχεῖα, οὐκ ἀνεχόμενα τοῦ συνθέτου μερισμοῦ, ὅ ἐστι τοῦ στοιχειωτοῦ μερισμός, ἀλλ’ ἐμμένοντα τῇ πρώτῃ αὐτοῦ ὑποστάσει· αὕτη δὲ ἦν ἡ ὡς μάλιστα ἀμέριστος, τοῦτόν γε τὸν τρόπον τὸν τοῦ κράματος, καὶ ὅτι πρὸ τοῦ περιγραφῆναι τελέως μερίζεται πρότερον ἐξ ἀνάγκης, καθ’ ὃν μερισμὸν εἰς τὴν μερῶν καθίσταται τάξιν· δεῖ γὰρ ἀποστῆναι τῆς ἑνώσεως εἰς μέρη, καὶ οὕτως ἄρα προελθεῖν εἰς τελείαν διάστασιν τὴν εἰδητικήν. Ὅλως δὲ ἐπειδὴ τὰ εἴδη περιγεγράφθαι βούλεται, ὅσα τῶν εἰδῶν μὴ ἀγαπᾷ τὴν ἐφ’ ἑαυτῶν ἰδίαν στάσιν, ἀλλὰ πόθῳ τῆς ἀρχαίας φύσεως εἰς ἓν συννένευκεν, ταῦτα κατὰ τοσοῦτον καὶ μέρη γίγνεται, ὥστε κατὰ συμπλοκὴν τῶν ἁπλῶν ποιητέον, τὰ μὲν εἴδη ἅμα καὶ μέρη, κατὰ ἄλλο μέντοι καὶ ἄλλο, τὰ δὲ εἴδη καὶ στοιχεῖα· οὐδὲ ταῦτα κατὰ ταὐτόν, ἀλλ’ ᾗ μὲν ἥνωται καὶ κατὰ τὴν συνῃρημένην αὐτῶν ἀκρότητα, στοιχεῖα ἂν εἴη, ᾗ δὲ διακέκριται ἀπ’ ἀλλήλων, εἴδη αὐτὰ ἂν καλοῖτο δικαίως, ᾗ δὲ διακρίνεταί πως κατὰ τὴν ἀμφίβιον μεσότητα τῆς ὑποστάσεως, μέρη κυρίως λεγόμενα. Ἔτι δὲ ὅσα μὲν ἐν τῷ ὅλῳ ἀνόμοια μέρη εἴδη τε ἅμα καὶ μέρη ἐστίν· εἴδη μὲν ὅτι ἀνόμοια, μέρη δὲ ὅτι οὐ καθ’ αὑτά, ἀλλ’ ἐν τῷ ὅλῳ πέφυκεν εἶναι, οἷα τὰ ἡμέτερα ὀργανικὰ λεγόμενα, καὶ οἷα ἐν τῷ οὐρανῷ ἡμισφαίριά τε καὶ τεταρτημόρια καὶ ζῶναι διάφοροί τινες, ἔτι δὲ πόλοι καὶ κέντρα καὶ ἄξονες καὶ κύκλοι, δημιουργικαῖς τισιν ἀφωρισμένοι τομαῖς, οὐ καθ’ ἑαυτοὺς δὲ ὅμως εἶναι δυνάμενοι. Ἀλλὰ καὶ ἐν ταῖς ψυχαῖς οἱ λόγοι τοιαῦτα ἄττα μέρη τυγχάνουσιν ὄντες, καὶ πᾶσαι αἱ τῶν διαφόρων αἰτίαι τε καὶ μεθέξεις τῆς τοιᾶσδε φύσεως· αἱ δὲ ὑπάρξεις ὡς τῆς αὐτοτελοῦς, πλὴν ὅτι καὶ τούτων αἱ συναιρέσεις γίνονται οἷον ἐκ στοιχείων, καὶ αἱ ὁλότητες οἷον ἐκ μερῶν, ὡς εἴρηται καὶ πρότερον. Οὕτω μὲν οὖν εἴδη καὶ μέρη· εἴδη δὲ ἅμα καὶ στοιχεῖα ὅσα συγκίρναται τῶν εἰδῶν εἰς ἑνὸς εἴδους ἀδιάκριτον σύστασιν, οἷα τὰ σύνθετα τῶν ζῴων, ὅλα δι’ ὅλων ἐπιφαίνοντα τὴν σύνθεσιν, ἡμίονοί τε καὶ στρουθοκάμηλοι καὶ ὅσα τοιαῦτα· ἐξ εἰδῶν γὰρ ταῦτα συνέστηκε διαφόρων, ὥσπερ ἐκ στοιχείων εἰς ἑνὸς εἶδός τι συγχεομένων.

1.199 Τὸν αὐτὸν δὲ τρόπον καὶ μέρη ὀψόμεθα, τὰ μὲν αὐτὸ τοῦτο, μέρη, μόνον, ὅσα προκύπτει μὲν ἀπὸ τῆς συνῃρημένης φύσεως, οὔπω δὲ ὅμως περιγεγραμμένα διέστηκεν αὐτὸ ἕκαστον ἀφ’ ἑαυτοῦ τέλειον· τοιαῦτα γὰρ τὰ ὁμοιομερῆ ἐστιν ὁμολογουμένως, μερισάμενα μὲν τὴν ὁλότητα, μένοντα δὲ ὅμως ἐν τῷ αὐτῷ εἴδει, καὶ διὰ τοῦτο συνωνυμοῦντα τῷ τε ὅλῳ καὶ ἀλλήλοις· ἤδη δὲ ἔνια καὶ εἰς τὸ ἀνομοιομερὲς ἄρτι προκύπτοντα μένει ὅμως ἐν τῷ ὅλῳ καὶ τῇ κοινῇ συνωνυμίᾳ τῆς αὐτῆς φύσεως, οἷόν τι πέπονθε τὸ κατατεταγμένον ζῷον ἐν ἑκάστῳ τῶν εἰδῶν· ζώειον μὲν γὰρ ἔτι καὶ ζῴου τι μέρος καὶ μέτρον· ἀλλ’ ἤδη πως τὸ μὲν ἀνθρώπειον, τὸ δὲ ἵππειον οὐ μόνον τῇ πρὸς ἑκάτερον συμμετρίᾳ (τοῦτο μὲν γὰρ καὶ τὰ ὁμοιομερῆ ἔπαθεν ἄν), ἀλλὰ καὶ τῇ προβολῇ καὶ τῇ νεύσει τῇ πρὸς ἄνθρωπον καὶ ἵππον· μέρη δὲ ὡς εἴδη ἐστὶν οἷα τὰ ἐφ’ ἑκάτερα τῶν καθ’ ἑαυτὰ καὶ αὐτοπεριγράφων εἰδῶν, ἢ κατὰ τὸ χεῖρον, ὡς τὰ ἡμέτερα ὀργανικά, ἢ κατὰ τὸ κρεῖττον, ὡς τὰ μέρη τοῦ κόσμου· ταῦτα μὲν γὰρ τοῦ ὅλου μᾶλλον ἤπερ ἑαυτῶν εἶναι ἐσπούδακεν, ἐκεῖνα δὲ οὐ δύναται καθ’ ἑαυτὰ καὶ ἐφ’ ἑαυτῶν ὑφεστάναι, διὰ τὸ ἀτελὲς τῆς οἰκείας φύσεως. Εἴη δ’ ἂν μέρη καὶ στοιχεῖα γιγνόμενα οἷα τὴν ἐκ μερῶν λεγομένην

ὁλότητα συμπληροῖ. Ὅτι μὲν γὰρ ἐκ μερῶν ἡ ὁλότης συμπληροῦται, καὶ εἰ μὴ πᾶσα, ἀλλ᾽ αὕτη γε, φανερόν· ὅτι δὲ ὡς ἐκ στοιχείων, δηλοῖ τὸ ἓν εἶδος ἐκ πολλῶν ἀποτελεῖσθαι, ἀφανιζομένων εἰς ἓν τῶν πολλῶν, καὶ τὸν μερισμὸν οὐκέτι φυλαττόντων ἐν τῇ τοῦ ὅλου εἰδοποιίᾳ. Οἶμαι δὲ ὅτι καὶ τὰ εἴδη ἐν τῷ γένει θεωρούμενα ὡς ἐν ὅλῳ μὲν θεωρεῖσθαι μέρη (ἀπερίγραφα γάρ ἐστι ταῖς οἰκείαις περιγραφαῖς), μέρη δὲ ὄντα στοιχεῖα γίγνεσθαι τοῦ γένους. Ἡ γὰρ συναίρεσις τῶν πολλῶν ζῴων ἡ τοιαύτη ἐστὶν τὸ ἓν ζῷον, ἣ ἐν τῷ ἑνὶ ζῴῳ τὴν ὑπόστασιν ἔχει. Ἴσως δὲ ταὐτόν ἐστι τοῦτο τῷ προειρημένῳ· ἀλλὰ τὰ γένη τοῦ ὄντος, εἰ καὶ εἴδη πως εἶναι δοκεῖ, ἀλλὰ μέρη μᾶλλόν ἐστι τῆς ὅλης συγκρίσεως, καθίσταται ὅμως δι᾽ αὐτὸ τοῦτο καὶ εἰς τὴν στοιχειώδη φύσιν κατὰ τὴν μίαν οὐσίαν, ἣν πάντα συνίστησι. Ταῦτα μὲν οὖν ἔξεστι καὶ ἀκριβέστερον λεπτουργεῖν. Τίνα δὲ τῶν εἰδῶν ἢ τίνα τῶν μερῶν δύναται στοιχεῖα γίγνεσθαι, καὶ τίνα οὐ δύναται, ῥητέον.

1.200 Οὐ γὰρ δὴ πάντα, ὡς ἔοικεν, οἷα τὰ ἔσχατα τῶν εἰδῶν· εἰ γὰρ καὶ ταῦτα στοιχεῖα, ἔσται τι καὶ μετὰ ταῦτα τὸ ἐξ αὐτῶν συγκείμενον. Καὶ τοῦτο δὲ ζητητέον εἰ τὰ στοιχεῖα πάντως ὑπερτέρας ἐστὶ φύσεως καὶ ἁπλουστέρας, ἀναχωροῦντα πρὸς τὴν τῶν συνθετωτέρων ὑπόστασιν· δοκεῖ μὲν γὰρ οὕτως ἔχειν ἐπὶ τῶν πλείστων, οὐ μὴν ἐπὶ πάντων γε. Τὸ μὲν γὰρ ἡμέτερον σῶμα ἐκ προϋπαρχόντων συναγείρεται, καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος, ζῷον λογικὸν θνητὸν καὶ ζῷον ἄλογον θνητὸν τυχὸν εἰπεῖν ἐκ τῶν ὁλικωτέρων, καὶ ἡ ψυχὴ σύγκρατος ἀπὸ οὐσίας καὶ ζωῆς καὶ γνώσεως τῶν προϋπαρχουσῶν· ἀλλὰ τὸ τοῦ παντὸς ὅλον σῶμα ἐκ τῶν τεττάρων μὲν στοιχείων, οὐκέτι μέντοι προϋποκειμένων, οὐδὲ ἡ πρώτη οὐσία ἐκ πρεσβυτέρων φύσει στοιχείων. Πρὸ γὰρ αὐτῆς οὐδαμοῦ τὰ στοιχεῖα· καὶ γὰρ ἀεὶ τὸ στοιχειωτὸν κρεῖττον εἶναι βούλεται τῶν οἰκείων στοιχείων, τὰ δὲ στοιχεῖα οὐδέποτε καθ᾽ ἑαυτά, ἀλλ᾽ ἀεὶ ἐν τῷ στοιχειωτῷ, καὶ μετὰ ἀλλήλων, ὡς τὰ μέρη μετὰ τὸ ὅλον, καὶ σὺν ἀλλήλοις, ἐπεὶ καὶ ὡς ὕλη τοῖς ἑαυτοῦ στοιχείοις κέχρηται τὸ στοιχειωτόν, οἷον εἶδος ἐκείνοις ἐπιγιγνόμενον. Εἰ δὴ ταῦτα οὕτως ἔχει, τὸ πρῶτον στοιχειωτὸν οὐκ ἂν εἴη ἐκ στοιχείων πρεσβυτέρων τῆς ἑαυτοῦ φύσεως καὶ προτεταγμένων, ἀλλ᾽ ἐν αὐτῷ μὲν πρώτῳ ἐκφαινομένων, ἀτελεστέρων δὲ τοῦ ὅλου εἴδους, καὶ διὰ τοῦτο ἁπλουστέρων ἐπινοουμένων, μήποτε δὲ κατὰ ἀλήθειαν οὐδὲ ἁπλουστέρων, ἀλλὰ μόνον ἀτελεστέρων καὶ μερικωτέρων· καὶ γὰρ τὰ μέρη οὕτω καὶ τὰ εἴδη ἔχει· δοκεῖ γὰρ τὸ ὁλικώτερον συνθετώτερον διὰ τὸ περιεκτικώτερον εἶναι. Τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ μᾶλλον ἁπλούστερόν τε καὶ κρεῖττον. Τίς οὖν ἡ τῶν στοιχείων ἁπλότης λεγομένη, καὶ πρὸς τίνα σύνθεσιν; ἢ διττὸν τὸ στοιχειωτόν, τὸ μὲν ὡς εἶδος ἐπιγιγνόμενον, ὃ καὶ τῷ ὄντι ἁπλούστερόν τε καὶ κρεῖττον, τὸ δὲ ὡς μίγμα καὶ κρᾶμα τῶν συνιόντων στοιχείων, ὅπερ ὡς μία σύνθετος ὕλη προϋποτίθεται· πρὸς ταύτην οὖν ἁπλᾶ τὰ στοιχεῖα καὶ οὐ πρὸς τὴν εἰδοποιοῦσαν τὸ μίγμα κοινὴν ἰδιότητα. Οὐσία μὲν οὖν ἡ τοιάδε φύσις, ἡ δὲ κατὰ τὸ μίγμα δυνάμει οὐσία· καὶ τῶν στοιχείων ἕκαστον μέρος τῆς ὕλης· ταῦτα οὖν οὔπω μὲν οὐσία, οὐσιώδη δὲ ὅμως καὶ ἐγγύς τι οὐσίᾳ, ἀτελέστερα δέ.

1.201 Τί οὖν; ἐξ ὕλης καὶ εἴδους καὶ ἡ πρώτη οὐσία; πόθεν δὲ καὶ ὑπέστη ἡ ὕλη, εἰ μὴ ἀπὸ τῶν προγενεστέρων φύσει; καὶ γὰρ ἡ παρ᾽ ἡμῖν ὕλη ἀπὸ τῶν πρεσβυτέρων ἀρχῶν, ὥς φασι. Δεῖ οὖν καὶ ἐκεῖ εἶναι τὰς ἀπὸ τῶν προτέρων μεθέξεις ἐν ὕλης λόγῳ καὶ στοιχείων παραλαμβανομένας; ἢ περὶ μὲν τῶν μεθέξεων εἰσαῦθις ἀναβάλλομαι πολυπραγμονεῖν, τῶν δὲ στοιχείων ἔν τινι πλήθει καί τινι διορισμῷ θεωρουμένων, ἡ οὐσία πρὸ παντὸς οὖσα διορισμοῦ οὐσιώδους οὐκ ἂν εἴη δευτέρα τῶν οἰκείων στοιχείων. Πρώτη οὖν ὑποστᾶσα συνεξέφηνεν ἑαυτῇ καὶ ἐν ἑαυτῇ τὰ οἰκεῖα στοιχεῖα, ὡς ἡ ὁλότης τὰ μέρη καὶ ὁ κόσμος οὗτος τὰ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ στοιχεῖα, λέγω δὲ οὐ τὴν ὕλην καίτοι ἴσως καὶ ταύτην, ἀλλ᾽ ὅμως τὰ τοῦ εἴδους λέγω στοιχεῖα, οἷα τὰ τέσσαρα, ἅττα ποτέ ἐστιν καὶ ὅπως ἄν τις αὐτὰ διορίσειεν, εἴτε γὰρ ὡς τέσσαρα μέρη ὁλότης αὐτὰ προὐβάλετο, εἴτε ὡς τὸ ὁρατὸν καὶ ἁπτὸν καὶ τὰ μέσα τούτων πανταχοῦ ὄντα καὶ ἐν πᾶσιν

ὁρώμενα, καὶ ταῦτα ἀπὸ τῆς μιᾶς τοῦ κόσμου συστάσεως καὶ μονοειδοῦς ὑποδιεκρίθη. Πᾶν γὰρ ἓν πρὸ τοῦ οἰκείου πλήθους ἐστὶ τῇ ἑαυτοῦ φύσει, καὶ ἀπὸ τούτου οἷον ἐκφύεται κατὰ τὸν ἐκείνου εἰς ταῦτα μερισμόν· ὡς γάρ, οὕτως εἰπεῖν, χαλᾶται τὸ ἓν εἰς ὑπόστασιν τῶν πολλῶν, οὐκ ἀναλισκόμενον ἐκεῖνο εἰς ταῦτα, ἀλλὰ χώραν καὶ τούτοις παρεχόμενον εἰς ὑπόστασιν, κἂν ἀχώριστον ᾖ τὸ ἓν τῶν πολλῶν, οὕτως ἔχειν πέφυκεν. Εἰ δὲ πολλὰ τριχῶς, ἢ ὡς εἴδη, ἢ ὡς μέρη, ἢ ὡς στοιχεῖα, πάντως ὅτι καὶ τὸ ἓν τριττὸν ἂν εἴη, καὶ καθ' ἕκαστον πλῆθος ἴδιον ἕν, τὸ μὲν εἰδητικὸν συναίρεμα, καὶ ἓν εἶδος πρὸ τοῦ μερισμοῦ, τὸ δὲ ὁλικὸν πρὸ τῶν μερῶν, τὸ δὲ στοιχειωτὸν πρὸ τῶν στοιχείων· καὶ αἱ διαφοραὶ τοῦ ἑνὸς ἀνάλογον προΐασι· τὸ μὲν γὰρ τῶν εἰδῶν πολύμορφόν ἐστιν ἕν, τὸ δὲ τῶν μερῶν φαντάζεται μὲν εἶναι πολυμερὲς καθόσον πᾶσι συμπαρατείνεται τοῖς μέρεσι τὸ ὅλον τῇ περιοχῇ, ἔστι δὲ ὅμως τὸ πρὸ τῶν μερῶν ἀμέριστον, εἰ καὶ ἐν τοῖς μέρεσιν ὑφεστήκοι· δίδωσι γὰρ καὶ τοῖς μέρεσι χώραν εἰς ὑπόστασιν τὴν ἐν αὐτῷ μεμερισμένην· τὸ δὲ στοιχειωτὸν τελειότερον εἰς ἕνωσιν συνέσφιγκται καὶ συγχεῖ τὰ στοιχεῖα καὶ ἑνοῖ πρὸς ἑαυτὸ καὶ οὐκ ἐᾷ μεθ' ἑαυτὸ τετάχθαι ἐκεῖνα κατὰ ἀλήθειαν, ἀλλὰ τελεῖν αὐτὰ ἀναγκάζει πρὸς τὴν οἰκείαν ὑπόστασιν.

1.202 Διὸ καὶ πολλὰ ὄντα φύσει, ὅμως ἓν γίγνεται πάντα, καὶ οὐ τὸ μίγμα ἄλλο, καὶ τὸ στοιχειωτὸν ἄλλο, ὡς νῦν δὴ ἐλέγομεν σαφηνίας εἵνεκα, πολλαχῇ τρεπόμενοι, ἀλλὰ τὸ στοιχειωτόν ἐστι μὲν ἓν καὶ πολλά, ἀλλὰ συνεσφιγμένα τῷ ἑνὶ τὰ πολλὰ καὶ οὐ συγχωρούμενα πολλὰ ἁπλῶς εἶναι, ἀλλ' ἡνωμένα καὶ ὑπὸ τοῦ ἑνὸς καταπινόμενα καὶ ἐν τῷ ἀδιορίστῳ ἑστῶτα τοῦ ἑνός· οὕτω γὰρ πανταχοῦ φαίνεται ἔχοντα τὰ στοιχεῖα πρός τε ἄλληλα καὶ τὸ στοιχειωτόν, καὶ οὐκ ἔστιν ὕλη ταῦτα ἐκείνου· οὐδὲ γὰρ τὰ μέρη τοῦ ὅλου, οὐδὲ τὰ εἴδη τοῦ παντὸς ἂν ῥηθέντος ἀντὶ τοῦ ὅλου, ἀλλὰ μόνον ὕλῃ ἀναλογοῦντα, καὶ ὡς τοῦ εἴδους ἑκάστου πρὸς τὸ ἓν τὸ πλῆθος, ἐξ ὧν τὸ ὅλον εἶδος ἓν καὶ πολλὰ συνεστώς· οὕτω γὰρ καὶ τὸ στοιχειωτὸν ἓν καὶ πολλά, συγκεκραμένα δὲ τὰ πολλὰ διὰ τὴν τοῦ ἑνὸς ἐπικράτειαν, ὡς ἐάν γε τὸ ἓν τοῦτο παραλύσῃ τὴν ἑαυτοῦ ἁπλότητα καὶ οἷον κρατηθῇ ὑπὸ τῶν πολλῶν διαστασιασάντων πρὸς αὐτά, κατὰ δὲ τὸ ἀληθέστερον μιμησαμένων αὐτὰ κατὰ τὴν ἴδιον ἑκάστου περιγραφήν, τά τε πολλὰ ἀντὶ στοιχείων εἴδη κατέστη, καὶ τὸ ἓν πολύχρωμόν πως ἐγένετο καὶ ποικίλον, καὶ ἀντὶ στοιχειωτοῦ καὶ στοιχείων ἢ κράματος καὶ τῶν κεκραμένων μονὰς καὶ ἀριθμοῖς τὸ ἐν τοῖς εἴδεσιν ἓν καὶ πολλὰ τὸ συναμφότερον. Τὰ δὲ μέρη καὶ τὸ ὅλον ἐν τῷ μέσῳ τρόπῳ θεωρητέον, ἀνέσεως μέν τινος γενομένης, καὶ διὰ τοῦτο τῶν μερῶν ὑποστάντων κατὰ τὸν τολμηθέντα μερισμόν. Ὅμως δὲ συννεύσεως γενομένης τοῦ μὲν ἑνὸς πρὸς τὰ μέρη κατὰ τὴν ἀνάληψιν τοῦ μερισμοῦ καὶ ἀναστολήν, τῶν δὲ μερῶν πρὸς τὸ ἓν κατὰ τὴν ἀντίληψιν τοῦ ἑνὸς καὶ μεριστὴν ὑποδοχήν, καὶ μέσον κατέστη τὸ πρᾶγμα τῆς τοῦ ὅλου καὶ τῶν μερῶν ἰδιοτροπίας. Διόπερ ἐπὶ τούτων καὶ ἡ διπλόη καὶ ἡ μία σχέσις αὐτῶν ἐμφανής· ἐπὶ δὲ τῶν ἄκρων, εἰ καὶ ἔστιν ἑκάτερα, ἀλλ' ἀμυδρότερον ἔχουσιν, ἐπὶ μὲν τοῦ εἰδητικοῦ ἑνός τε καὶ πλήθους ἡ μία σχέσις τε καὶ σύμφυσις ἀφανεστέρα διὰ τὸ μὴ πάνυ συννεύειν πρὸς ἄλληλα, μηδὲ ἀλλήλων εἶναί τε καὶ λέγεσθαι. Ἐπὶ δὲ τῶν στοιχείων καὶ τοῦ στοιχειωτοῦ οὐδὲ ἡ διπλόη σαφής, διὰ τὸ μὴ προφαίνεσθαι τῶν στοιχείων τὸ πλῆθος ἐν τῷ ἑνὶ διωρισμένον· συλλογισμῶν γὰρ μᾶλλον αὐτῶν καταφαίνεται τὸ πλῆθος διὰ τὴν σύγχυσιν, εἰ θέμις οὕτω φάναι, τῶν στοιχειωτικῶν ἰδιοτήτων.

1.203 Καὶ τί θαυμαστὸν εἰ τὸ πρῶτον στοιχειωτόν, ἡ οὐσία, τὸ ἀδιόριστον ἐμποιεῖ τοῖς στοιχείοις, ὅπου γε καὶ τὰ εἴδη, ὅταν ἐν στοιχείων λόγῳ συγκραθῇ πρὸς ἄλλα, καθάπερ ἐλέγομεν ἐν τοῖς πρόσθεν, καὶ ταῦτα σύγκειται πρὸς μίαν σύγκρασιν, εἰ καί πως ἀποφεύγει τὴν σύγκρασιν, καὶ παραφαίνει τὰς οἰκείας ἐνεργείας ἔστιν ὁτὲ καὶ ὥς; Οὐ γὰρ δύναται παντελῶς ἑνωθῆναι εἴδη γε ὄντα· διὸ καὶ τὸ ὁρατὸν καὶ ἁπτὸν πανταχοῦ μὲν ἑκάτερον ὅπου τὸ ἕτερον, ἄλλο δὲ ὅμως καὶ ἄλλο· καὶ ἐπὶ ψυχῆς τὸ οὐσιῶδες καὶ ζωτικὸν καὶ γνωστικὸν πανταχοῦ τῆς ψυχῆς, ἀλλὰ διώρισταί πως καὶ ταῦτα. Τοιαῦτα δὲ καὶ ἐν τῷ νῷ τὰ γένη τοῦ ὄντος· στοιχεῖα γὰρ καὶ ταῦτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς οὐσίας ἐκείνης, οὐ τῆς ὑπερειδέου καὶ ἁπλῶς, ἀλλὰ τῆς εἰδητικῆς· εἴδη γὰρ ἄττα καὶ ταῦτα, εἰ καὶ στοιχειωδέστερα τῶν ἄλλων καὶ ἁπλούστερα, καὶ διὰ τοῦτο κοινὰ πάντων εἰδῶν καὶ τῆς πρὸ τῶν πολλῶν εἰδῶν μιᾶς εἰδητικῆς φύσεως· ὅθεν καὶ ἐν ταύτῃ τῇ φύσει παραφαίνονταί πως αὐτῶν αἱ ἰδιότητες, ἀλλ' οὔπω ὅμως οὐδὲ ταῦτα εἴδη ἐστὶν ὅσα λαμβάνεται ὡς στοιχεῖα· οὐδὲ γὰρ μέρη πω γέγονεν· ἔστι γὰρ καὶ ἐν τῷ εἰδητικῷ κόσμῳ, τὸ μὲν ὡς οὐσία εἰδητική, μονοειδής τις αὕτη συναίρεσις τῶν εἰδῶν, τὸ δὲ μερισμός τις αὐτῆς καὶ ἡ συνάγουσα τὸν μερισμὸν ὁλότης εἰδητική τε καὶ αὕτη φύσις ὅλου καὶ μερῶν· ἐπὶ δὲ ταύτῃ κατὰ τὸ διακεκριμένον τῆς εἰδητικῆς ὑποστάσεως αὐτὰ διέστη τὰ εἴδη, καὶ τὸ συναγωγὸν τῶν εἰδῶν, πολύμορφον ἕν, ὡς εἴρηται, μονάς, καὶ ὁ τῇ μονάδι συνηρτημένος ἀριθμός. Πρὸ τοίνυν τῆς στοιχειώδους καὶ συνῃρημένης εἰδητικῆς οὐσίας ἐστὶν ἡ ὡς ἀληθῶς τοῦ ὅλου καὶ τῶν μερῶν ὑπόστασις ἐν τῷ διακρίνεσθαι ὁρωμένη τὴν πρώτην οὐσίαν καὶ ὄντως οὖσαν, ἣν διὰ τοῦτο Ζωὴν λέγομεν ὡς ἤδη ὀγκουμένην εἰς διάστασιν καὶ παρακινουμένην εἰς διάκρισιν, καί, ὡς τὸ ὄνομα σημαίνει, ζέουσάν τε καὶ ἀναβράττουσαν, οὔπω δὲ χυθεῖσαν εἰς εἰδῶν ὑπόστασιν, ἀλλ' ἐν τῷ ζεῖν τε καὶ ἀναζεῖν θεωρουμένην, ὅθεν καὶ ὅλον καὶ μέρη αὐτὴν ἀνυμνοῦμεν πρὸ τῆς εἰδητικῆς ἁπάσης φύσεως, ὡς διότι μένουσα κινεῖται, καὶ ἡνωμένη πάσχει τι ὅμως διακρινόμενον, τῷ μὲν ἡνωμένῳ καὶ μένοντι τὸ ὅλον οὖσα, τῷ δὲ διακρινομένῳ καὶ κινουμένῳ τὰ μέρη. Διόπερ καὶ μία φύσις τὸ ὅλον καὶ τὰ μέρη, ὅτι μία ἡ διακρινομένη ἔτι καὶ ἤδη, τοῦτο μὲν ὡς οὐκέτι τὸ πάμπαν ἡνωμένη, ἐκεῖνο δὲ ὡς οὔπω διακεκριμένη τελέως. Μία τοίνυν ἡ μεσότης, ἣν καλοῦμεν δυοῖν ὀνόμασιν ὅλον καὶ μέρη κατὰ τὸ συναμφότερον ὁρωμένην· πρὸ δὲ ἔτι καὶ ταύτης ἡ οὐσία ἐστὶν ἡνωμένη φύσις ἁπλῶς καὶ ἀδιάκριτος, οὐ μέντοι ὡς τὸ ἕν, ἀλλ' ὡς τὸ ἡνωμένον· τοῦτο δὲ ἐκ πολλῶν καὶ μετὰ πολλῶν· ὥστε ἐκ στοιχείων καὶ τὸ πρῶτον στοιχειωτὸν αὕτη ἐστί· καὶ γὰρ ἡ ἁπλῶς οὐσία αὕτη ἐστὶ δι' ἣν καὶ ἡ τὶς οὐσία πανταχοῦ τὸ τὶ στοιχειωτόν· τὸ γὰρ πανταχοῦ συνηρημένον οὐσίαν καλοῦμεν, ὥσπερ τὸ διακρινόμενον ζωή ν, καὶ τὸ διακεκριμένον εἶδο ς , κἂν ἔσχατον ᾖ τούτων ἕκαστον, οἷον τὸ σωματικόν.

1.204 Οὐσία μὲν γὰρ τὸ σύγκρατον ἐκ τῶν τεσσάρων στοιχείων, τὸ δὲ παρακινούμενον αὐτῆς καὶ εἰς διάκρισιν τῶν οἰκείων ἐνεργειῶν ἐγειρόμενον ζωή τις αὐτοῦ· κίνησις γάρ τις καὶ παρασκευὴ πρὸς ἐνέργειαν τὴν εἰδητικήν, καὶ ὑπόστασίν γε πρὸ τῆς ἐνεργείας· ἡ δὲ διαστᾶσα μορφὴ τὸ εἶδός ἐστιν. Εἰ δὲ πᾶσα οὐσία συνῃρημένη ἐστὶν κατὰ φθίωσιν, ἤ, εἰ βούλει λέγω, κατὰ σύμφθαρσιν τῶν στοιχείων, πάντως ὅτι καὶ ἡ πρώτη καὶ ἁπλῶς οὐσία συναίρεσίς ἐστι τῶν στοιχείων· καὶ τὰ στοιχεῖα αὐτῆς τὰ μάλιστά ἐστι καὶ κυριώτατα πάντων στοιχείων, οὐ κατὰ σύγχυσιν τῶν οἰκείων περιγραφῶν συγκιρνάμενα, καθάπερ τὰ τῇδε στοιχεῖά φησι καὶ Ἀριστοτέλης, οὐδὲ κατὰ τὴν ἀκρότητα τὴν ἑαυτῶν ἑνούμενα μόνην, ἀφιέντα δὲ τὸ λοιπὸν εἰς διάκρισιν, ὡς ἐλέγομεν, τὰ εἴδη συγκίρνασθαι, στοιχεῖα γιγνόμενα τῆς εἰδητικῆς οὐσίας· διὸ καὶ παραφαίνειν πως ἐν ταύτῃ τὸν οἰκεῖον διορισμόν, ἀλλ' οἷα μηδὲν ἔχειν διωρισμένον, μηδὲ εἰδητικόν, μηδὲ βίᾳ τινὶ συγχεόμενον, ἀλλ' ὅλα δι' ὅλων ἁπλῶς εἶναι στοιχεῖα φύσει τοιαῦτα τῆς ἡνωμένης κυρίως καὶ κατὰ τὴν ἕνωσιν ὑφεστώσης οὐσίας. Οὐκ ἄρα τὰ εἴδη, οὐδὲ τὰ γένη τοῦ ὄντος ἐστὶ τὰ στοιχεῖα· εἴδη γὰρ ἄττα καὶ ταῦτα. Τίνα οὖν ἐστί; παρὰ ταῦτα γὰρ οὐδὲν ἄλλο λέγειν ἔχομεν· οὐδὲ γὰρ μέρη τά γε ἁπλῶς ταὐτά ἐστιν· ὑπερείδεα γὰρ καὶ τὰ μέρη. Τίνα οὖν ἐστι καὶ τὰ μέρη, ζητητέον· ἢ τὰ γένη τοῦ ὄντος ἐστίν, ἀλλ' οὐκ εἰδητικῶς ὑφεστῶτα ὡς ὀνομάζεται ὑφ' ἡμῶν καὶ νοεῖται· πάντα γὰρ εἰδητικὰ νοοῦμέν τε καὶ ὀνομάζομεν, ἐῶ λέγειν ὅτι οὐδὲ νοερὰ καὶ ἀληθινά, ἀλλ' ἀγαπητέον, εἰ καὶ ψυχικὰ τυγχάνει ὄντα· ἀλλ' ὅμως τῶν εἰδῶν ἐστι τὰ παρ' ἡμῖν ὀνόματά τε καὶ νοήματα.

1.205 Τῶν τοίνυν οὕτω προφερομένων ἀποδοτέον τὸ εἰδητικόν τε καὶ διωρισμένον περιγραφαῖς ἰδιοτήτων, καὶ ἀπολείπομεν αὐτῶν μόνον τὸν μερισμόν, μέρη γὰρ καὶ τὰ εἴδη λέγομεν, ἀλλ' οὐχὶ εἴδη καὶ μέρη ἂν εἴη. Μέρη οὖν ἐστιν, ᾗ μέρη, τὰ γένη τοῦ ὄντος· αὐτὰ οὖν ἐστι τὰ οἷον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέρη λεγόμενα; ἢ οὐ ταῦτά γε ὅσα περιεβάλετο τὸ εἰδητικὸν πρὸς τῷ μερικῷ, ἀλλὰ τὰ πρὸ τούτων, οἷα δὲ ταῦτα ὄντα· ἢ μέρη ἐστί, μέρη δὲ μόνον καὶ ἁπλῶς μέρη· ὥστε τὰ γένη τοῦ ὄντος λεγόμενα πρὸ τοῦ ἰδιωθῆναι περιγραφαῖς μέρη ὑπέστη· καὶ τὰ στοιχεῖα ἄρα τὸν ὅμοιον τρόπον· ἀποβαλόντες γὰρ αὐτῶν τὴν ἀνάγκην τοῦ μερισμοῦ, θεασόμεθα αὐτὰ ἐκεῖνα συμφυόμενα πρὸς ἄλληλα, καὶ εἰς μίαν ἑνούμενα σύγκρασιν, καὶ ταύτῃ στοιχεῖα ὁρώμενα. Ταῦτα μὲν οὖν στοιχεῖα καθ' ὕπαρξιν, τὰ δὲ μέρη κατὰ μέθεξιν στοιχεῖα γίγνεται· ἔχει γάρ τι καὶ αὐτὰ συμφυόμενον εἰς ὅλου ὑπόστασιν· τὸ γὰρ ὅλον σύμφυσίς ἐστι τῶν κατὰ μέρη ἀκροτήτων εἰς ἕν, τὸ ὅλον, συγκιρνωμένων, καθ' ἃς τὰ μέρη στοιχεῖα γίγνεται. Διόπερ καὶ τὸ πολλάκις ἀπορούμενον, πῶς μὲν ἐκ τῶν μερῶν ἡ ὁλότης, πῶς δὲ τὰ μέρη μετ' αὐτὴν καὶ ἀπ' αὐτῆς μεριζόμενα, μέρη δὲ ὅμως καθ' ὕπαρξιν, ὅτι ἐν τῷ μερισμῷ τὸ εἶναι ἔχει· τὰ δὲ καθ' ὕπαρξιν εἴδη περιγραφέντα γίγνεται κατὰ μέθεξιν, μέρη μὲν προσεχέστερον τῇ πρὸς τὸ ἓν συννεύσει, καὶ τρόπον τινὰ τοῦ διορισμοῦ ἀποστάσει, στοιχεῖα δὲ ἀνωτέρω τῇ ἑνώσει καὶ ἀπαλλαγῇ οὐ μόνου τοῦ διορισμοῦ, ἀλλὰ καὶ τοῦ μερισμοῦ. Τὰ αὐτὰ οὖν ἐστι γένη τοῦ ὄντος, τριχῇ ὑφεστῶτα ἄλλως καὶ ἄλλως. Ἆρα οὖν μόνα τὰ γένη τοῦ ὄντος τὴν τριπλῆν ταύτην ὑπεδέξατο φύσιν; ἢ καὶ ἁπλῶς πάντα ὅσα εἴδη ἐστὶ καὶ τὰ ἔσχατα τῶν εἰδῶν ἐν τοῖς πρώτοις ἀεὶ περιέχεται, ἄλλα μὲν ἀλλαχοῦ διακρινόμενα, τὰ μὲν πρότερον, τὰ δὲ ὕστερον, διότι τὰ μὲν ὁλικωτέρας ἔχει περιγραφὰς καὶ τῷ ἀδιαιρέτῳ πλείονι χρωμένας, τὰ δὲ μερικωτέρας καὶ τῷ διαιρετικῷ πλείονι συνούσας. Ὅμως δὲ πάντα ὅσα κάτω διακρίνεται καὶ ἄνω συνῃρημένως ἐστί· πόθεν γὰρ τὰ διῃρημένα ἐστίν, εἰ μὴ ἄνω πάντα ἦν συνῃρημένα; Καὶ ἡ πρόοδος οὐδὲν ἄλλο ἐστὶν ἢ διάκρισις τῆς συναιρέσεως, οὐκ ἀθρόα πάντων, ἀλλὰ κατὰ βραχὺ ἄλλων πρὸ ἄλλων ἐκφαινομένων, τῶν ὁλικωτέρων πρὸ τῶν μερικωτέρων. Τί γὰρ δήποτε ἐν μὲν τῷ νῷ πάντα ἐστὶ διακεκριμένως, ἐν δὲ τῇ οὐσίᾳ οὐκ ἂν εἴη πάντα ἡνωμένως; ἀεὶ γὰρ ἡνωμένα πρὸ τῶν διακεκριμένων· ὥστε καὶ τὰ πάντα ἡνωμένα πρὸ τῶν πάντων διακεκριμένων.

1.206 Διὰ τί δὲ τὰ μὲν γένη τοῦ ὄντος ἐκεῖ συνήρηται στοιχεῖα ὄντα, ὥς φασι, τῆς οὐσίας; ἢ τὸ πέρας καὶ τὸ ἄπειρον μόνα, ὡς καὶ τοῦτο λέγουσιν οἱ φιλόσοφοι · τὰ δὲ ἄλλα εἴδη οὐκ ἂν ἐκεῖ προϋπάρχοι ἐν τῷ πρὸ πάντων ἡνωμένῳ· οὕτω γὰρ οὐκ ἂν εἴη πάντων ἐκείνη ἀρχή, ἀλλὰ μόνον τῶν πανταχοῦ ἐκ πέρατος καὶ ἀπείρου συνδυασμῶν, ἢ τῶν ἐκτενῶν τῶν τοῦ ὄντος λεγομένων συμπληρώσεών τε καὶ μίξεων. Εἰ δὴ καὶ ἡ εἴδους ἑκάστου κορυφὴ συναίρεσίς ἐστι τοῦ παντὸς τῷ εἴδει πλήθους, πῶς οὐχὶ καὶ ἡ μία πάντων ἀρχὴ συναίρεσίς ἐστι τοῦ ἀπ' αὐτῆς ἐκφυομένου καὶ ἐπιδιακρινομένου τῶν πάντων πλήθους; Διὰ τί οὖν, εἰ πάντα στοιχεῖα ἐν τῇ οὐσίᾳ, καὶ πάντα μέρη ἐν τῇ μέσῃ τάξει, ὥσπερ καὶ πάντα εἴδη ἐν τῷ τρίτῳ καὶ διακεκριμένῳ, τῷ νῷ, ὅμως τῶν εἰδῶν τὰ μὲν στοιχεῖα λέγομεν, οἷα τὰ γένη τοῦ ὄντος, τὰ δὲ ἐκ στοιχείων, ὡς ζῷον καὶ φυτὸν καὶ τὰ συνθετώτερα τῶν εἰδῶν; διὰ τί γὰρ μὴ καὶ ταῦτα στοιχεῖα; καὶ γὰρ τὸ ζῷον στοιχεῖον ἀνθρώπου καὶ ὁ ἄνθρωπος τοῦ χερσείου. Μήποτε δὲ καὶ τὸ ἔσχατον τῶν εἰδῶν στοιχεῖον ἐν τοῖς ἀτόμοις γίγνεται, μετὰ ἄλλων καὶ αὐτὸ συμπληροῦν τὸν τινὰ ἄνθρωπον; ἢ ῥητέον ὡς πάντα μὲν οὐδὲν θαυμαστὸν ὅσα εἴδη καὶ μέρη εἶναι καὶ στοιχεῖα· ἀλλ' ἤδη τὰ μέν ἐστιν αὐτῶν ὁλικώτερα καὶ ἁπλούστερα, καὶ διὰ τοῦτο πρὸς τὴν σύγκρασιν εὐφυέστερα, ἅτε καὶ οὐ βαθείας ἔχοντα οὐδὲ πολλαπλασίους τὰς περιγραφάς, ἀλλ' ἄρτι πως ὑποφαινομένας καὶ οὔπω πολλὰς ἐπισυντεθείσας, ὅθεν ῥᾳδίως ἑνοῦνται καὶ οἷον συγχέονται πρὸς ἀλλήλας. Ὅσῳ δὲ ἐπικατιέναι συμβαίνει τὴν πρόοδον, βαθύνουσάν τε καὶ ἐποικοδομουμένην ταῖς περιγραφαῖς καὶ τοῖς μερισμοῖς, τοσούτῳ δυσκολώτερον εἰς τὴν σύγκρασιν τοῦ στοιχειωτοῦ συντελοῦσι, καὶ οὐκ ἀκριβῆ ποιοῦντα τὴν ἕνωσιν, ἀλλ' οἷον διχάσκουσαν εἰς διάκρισιν. Ὅθεν τὰ μὲν ἐγγυτάτω τῆς ἡνωμένης φύσεως στοιχεῖον μᾶλλον εἶναι φαντάζεται ἤπερ εἴδη, τὰ δὲ πορρωτάτω εἴδη μᾶλλον ἤπερ στοιχεῖα, τὰ δὲ μέσα κατὰ τὸ μέσον τῶν ἄκρων ἐστί, συνθέσεώς τε καὶ ἁπλότητος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.207 Τὰ μὲν οὖν γένη τοῦ ὄντος μᾶλλον στοιχεῖα, τὰ δὲ ἔσχατα τῶν συνθέτων εἴδη μᾶλλον, οἷον ἄνθρωπος καὶ ἵππος καί, ὅλως εἰπεῖν, τὰ καλούμενα εἰδικώτατα τῶν εἰδῶν· τὰ μέντοι μέσα, ἃ καὶ ὑπάλληλα καλεῖται, πρὸς μὲν τὰ ἐξ αὐτῶν, τῶν στοιχείων ἐπέχει τὴν τάξιν, πρὸς δὲ τὰ πρὸ αὐτῶν, στοιχειωτῶν· τὰ αὐτὰ οὖν στοιχειωτὰ καὶ στοιχεῖα ἐπίσης. Ἆρα οὖν τὰ εἰδικώτατα εἴδη καὶ ὁπωσοῦν στοιχεῖά ἐστι τῶν ἀτόμων; οὐ γὰρ δὴ ἄλλων εἰδῶν· οὐ γὰρ ἔσται εἰδικώτατα καὶ ἔσχατα τῶν εἰδῶν· ἀλλὰ μὴν οὐδὲ τῶν ἀτόμων· δεῖ γὰρ εἶναι τὸ κοινὸν μετὰ ἄλλων διαφορῶν. Καὶ τίνες ἂν εἶεν ἄτομοι ἑκάστου διαφοραί; ἢ τὰ συμβεβηκότα· ἀλλ' οὐ συμπληροῖ τὰ συμβεβηκότα οὐσίαν· ἀλλ' ἴσως οὐσιώδεις καὶ αὗται· οὐκοῦν πρῶται αὗται φανοῦνται, εἴπερ ἴδιοι τοῦ ἀτόμου, ὥστε οἰκείας ἕξουσιν ἰδέας, ἄτομοί γε οὖσαι· ἢ ἔσται τι εἶδος, ὃ γίγνεται ὅλον καὶ φθείρεται, καὶ ὃ μήτε μοναδικόν ἐστι, μήτε ἀτόμων περιεκτικόν. Μήποτε οὖν διττὸς ὁ τῆς διακρίσεως τρόπος, ὁ μὲν εἰς εἴδη ὅλα διαφοραῖς εἰδοποιοῖς διαιρῶν τὸ ἓν εἰς πολλά, ὁ δὲ τὸ αὐτὸ ὅλον ἐν πολλαῖς ὕλαις ἀποτυπούμενος· διὸ κυριώτερον ἄτομον καλεῖται, ὅτι ὅλον ἑκασταχοῦ, οὐδεμίαν ἔχον διάφορον ἐξαλλαγήν. Ἆρα οὖν ἡ διαφορὰ τῶν ἀτόμων παρὰ μόνην τὴν ὕλην; καὶ τίς ἂν εἴη παρὰ τὴν ὕλην διαφορὰ τῶν εἰδῶν; ἢ παρὰ μὲν ταύτην οὐκ ἔστιν· εἰ δὲ εἴη εἰδοπεποιημένη παρὰ τὰ ἐν αὐτῇ, εἶδος γένοιτο ἄν τι διάφορον, ὡς διαφέρει ἡ Σωκράτους εἰκὼν ἐν λίθῳ τῆς ἐν χαλκῷ· τὸ γὰρ ὕλῃ συνουσιώμενον εἶδος συναλλοιοῦταί πως τῷ ὑποκειμένῳ. Εἰ δὲ καὶ ἀνείδεος εἴη, δυνάμει δὲ διάφορος, κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ παραγίνεται, πλὴν εἰδητικόν τι διάφορον ἐπὶ ταύτης οὐδὲν προστίθεται· πλὴν ταῦτα μὲν ἀφείσθω τὰ νῦν. Ἐκεῖνο δὲ λέγω ὅτι ἐν πολλοῖς ὑποκειμένοις ἡ φύσις τὸ αὐτὸ εἶδος ὅλον ἐνέθηκε τὸ αὐτὸ δέξασθαι πολλαχοῦ ἀδιάφορον. Τί οὖν; οὐχ ἕτερον τοῦ ἑτέρου ἄτομον ἀτόμου; ἢ καθὸ μόνον ἄλλοθι καὶ ἄλλοθι, τὸ αὐτὸ δὲ ὅμως τὸ εἶδος, ὡς εἴ τις ἀφέλοι τὴν ὕλην, ἓν ἂν τὸ ὅλον εἶδος ἐφάνθη. Οὐκ ἄρα ἕτερον κατὰ τὸ εἶδος; οὐκ ἄρα ἑτερότητι ἕτερον, εἴπερ ὕλῃ; εἶδος γὰρ καὶ ἑτερότης· ἢ ἀριθμῷ φασιν ἕτερον· ἀλλὰ καὶ ὁ ἀριθμὸς εἶδός τι καὶ ἀδιάφορος ἑκατέρωθι, καὶ ἡ ἑτερότης ἄρα ἀδιάφορος τῶν δύο μονάδων.

1.208 Πῶς οὖν τὸ μὲν ὅλον εἶδος κατὰ πάντων κατηγορεῖται, τὸ δὲ Σωκράτους οὐκέτι; ἢ οὐ καθὸ εἶδος ἀπεστένωται, ἀλλὰ καθό τι· ἄνθρωπος μὲν γὰρ ὁμοίως κατὰ τὴν τοῦ εἴδους ὃ λέγεται εἶναι ὑπόστασιν, τῷ δὲ τινὶ καὶ τῷ καθόλου διάφορον. Τὸ οὖν τὶ πρὸς τὸ τὶ ἀδιάφορον· τὶ γὰρ ἑκάτερον· οὐκ ἄρα ἕτερος Σωκράτης Πλάτωνος· πάντα γὰρ ἀντίστροφα καὶ τὰ αὐτὰ ἀποδίδοται. Διὰ τί δὲ ἑνὸς ὄντος τοῦ ἀνθρώπου τὸ μὲν καθόλου ἐστί, τὸ δὲ ἄτομον; οὐ γὰρ μάτην τὸ μὲν τοῦ ὅλου μετέσχε, τὸ δὲ τοῦ τινός, ἢ τοῦ ἀτόμου ὅ τι ποτέ ἐστιν. Ἢ ῥητέον ὡς ὁ μὲν λόγος καθόλου, ἀφ' οὗ τις ἐν τοῖς ἀτόμοις κοινὴ πᾶσι μέθεξις, ὃ καλοῦμεν τὸ ἐν τοῖς πολλοῖς κοινὸν εἶδος, ὃ πάντων ὁμοῦ κατηγορεῖται, ὡς κοινὸν λαμβανόμενον· τὸ δὲ ἐν ἑκάστῳ τῶν ἀτόμων, τὸ αὐτὸ μὲν τῷ τε κοινῷ καὶ τῷ ἑκάστου ἕκαστον, τῇ γε ἰδιότητι καὶ τῇ ὅλῃ καὶ πάσῃ φύσει τοῦ εἴδους· οὐδὲν γὰρ ὃ μὴ πανταχοῦ καὶ ἐν ἑκάστῳ εἰδητικόν· τὸ αὐτὸ δὲ ὂν κατὰ πάντα τῇ ὑποστάσει μεμέρισται καὶ διέστηκεν αὐτὸ ἀφ' ἑαυτοῦ διεσπασμένον εἰς διορισμόν, ὥσπερ τὸ σῶμα διέστη ἀφ' ἑαυτοῦ εἰς ὄγκον τινὰ συνεχῆ, καίτοι ὡς εἶδος πανταχοῦ τὸ αὐτὸ ὂν ἀδιάφορον. Ἔοικε γὰρ ἡ φύσις ἀπὸ τῶν πρώτων εἰς τὰ ἔσχατα προελθοῦσα τὴν διαμέτρητον διεξεληλυθέναι, καὶ ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον κατηντηκέναι· πολλαχῇ μὲν τοῦτο δηλοῦται, καὶ ἐν τοῖς εἰρημένοις δὲ αὐτὸ συμβαίνει· τὸ μὲν γὰρ ἁπλῶς ἕκαστον εἶδος ἓν μόνον ἐστί, δύο γὰρ εἶναι πρῶτα ἀδύνατον, ὡς δείκνυσι Πλάτω ν· ἐπ' ἐσχάτοις δὲ τὰ ἄτομά ἐστι πολλὰ τὸ αὐτὸ καὶ ἑνὸς τοῦ αὐτοῦ πολλαὶ εἰκόνες οὐδὲν κατὰ τὸ εἶδος διαφέρουσαι, πολλαὶ δὲ ὅμως, ἅτε τοῦ ἑνὸς εἴδους γονίμου ὄντος πολλαχοῦ τῶν αὐτῶν. Καὶ μήποτε διττὴ ἡ γέννησις, ἡ μὲν κατὰ τὰς εἰδοποιοὺς διαφορὰς τῶν κοινῶν εἰδῶν, ἡ δὲ κατὰ τοὺς ἀδιαφόρους τῶν αὐτῶν σκεδασμούς, ἤτοι κατὰ συνέχειαν, ὡς ἐπὶ σωμάτων καὶ ποιοτήτων, ἢ κατὰ διορισμόν, ὡς ἐπὶ μονάδων καὶ ἀνθρώπων καὶ ἵππων καὶ τῶν τοιούτων εἰδῶν· πάσχει δὲ ἢ ποιεῖ τὴν ἀδιάφορον ταύτην

γέννησιν τῶν πολλῶν ἀτόμων, οὐ μόνα τὰ εἰδικώτατα τῶν εἰδῶν, ἀλλὰ καὶ αἱ διαφοραὶ ὅσαι ἐν τούτοις, καὶ τὰ σὺν αὐτοῖς ὁρώμενα γένη. Ἔστι γὰρ ἐμοὶ ἄτομόν τι ζῷον καὶ λογικὸν καὶ θνητόν, καὶ δῆλον ὅτι καὶ τούτων ἡ γέννησις ἀδιάφορος, τοῦτο δέ ἐστιν ἄτομος διαφοραῖς. Πάσχει δὲ καὶ πολλά, πάντα τὸ αὐτό, οἷον καὶ τὰ γένη τοῦ ὄντος καὶ πᾶσα φύσις ὅση πρόεισιν ἄχρι τῶν ἀτόμων· πρόεισιν δὲ πᾶσα εἰδητική.

1.209 Σκεπτέον δὲ εἰσαῦθις περὶ τῶν πρεσβυτέρων ἀρχῶν, εἰ ποιεῖταί τινα πρόοδον, καὶ περὶ τῶν προϊέναι δοκούντων, ὅπως ποιεῖται τὴν πρόοδον. Ὃ δὴ οὖν ἐξ ἀρχῆς ἐλέγομεν, οὐκ ἔστιν ὡς στοιχεῖα ἐν τοῖς ἀτόμοις τὰ εἰδικώτατα τῶν εἰδῶν, ὥσπερ ἐν τούτοις τὰ γένη, ἀλλὰ τὰ ὅλα αὐτὰ τὰ στοιχειωτά, πολλαχοῦ τὰ αὐτὰ ἀναφανέντα, ὥσπερ τὸ τοῦ ἑνὸς σώματος κρᾶμα στοιχειωτόν γε ὂν καὶ ἐν τῷδέ ἐστι τῷ μέρει, καὶ ἐν τῷδε ὅλον τὸ ἐκ τῶν τεσσάρων στοιχείων σύγκριμα πολλαχοῦ διαστάντων· περὶ μὲν δὴ τούτων οὐκ οἶδα εἴ τι πλέον ἄξιον ἀπομηκύνειν. Ἐπὶ δὲ τὴν ἐξ ἀρχῆς ἀπορίαν ἀναδραμόντες, ἴδωμεν εἰ μὴ τὰ στοιχεῖα τῇ μὲν ὑποστάσει καταδεέστερα τοῦ στοιχειωτοῦ ἐστι, καὶ ᾗ στοιχεῖα, τῇ δὲ φύσει τῆς ἰδιότητος ὑπέρτερα, οἷον τὸ ζῷον πρὸ μὲν τοῦ ἀνθρώπου κοινόν τε καὶ ὁλικόν, ἐν δὲ τῷ ἀνθρώπῳ στοιχεῖον αὐτοῦ καὶ μερικώτερον. Ἆρα οὖν οὕτω καὶ ἐπὶ πάντων; ἢ ἔνιά γε οὐ προϋπάρχει, οἷον τὰ τοῦ κόσμου στοιχεῖα πρὸ τοῦ κόσμου οὐκ ἄν τις ὑποθοῖτο· οὐδὲ τὰ τῆς πρώτης οὐσίας· πρώτη γὰρ ἴσως ἐκείνη στοιχειωτόν. Τάχα δὲ οὐδὲ ἄλλου οὐδενὸς πρὸ τοῦ στοιχειωτοῦ προϋπάρχειν δυνατὸν τὰ στοιχεῖα· οὐδὲ γὰρ ζωῆς τῆς πρώτης, τά γε ζωῆς ἴδια στοιχεῖα, οὐδὲ νοῦ τοῦ πρώτου, τά γε ὡς νοῦ, οὐδὲ ψυχῆς τῆς πρώτης τὰ ψυχικὰ τῶν στοιχείων οὐκ ἂν εἴη πρότερα. Προβληθέντα δὲ τὰ τῶν ὁλοτήτων ἑκάστων ὅλα στοιχεῖα ἐπιμερίζεται λοιπὸν ἐν τοῖς μερικωτέροις, καὶ γίγνεται τῶν ἀεὶ μεριζομένων ὁλοτήτων ἰδιαίτερα τὰ στοιχεῖα, καὶ τῆς οἰκείας ὁλότητος μερικώτερα. Ὥσπερ καὶ τὰ μέρη καὶ ἔτι τὰ εἴδη πρὸς τὴν οἰκείαν μονάδα καὶ τὴν ὁλότητα ἀποστενοῦται, οὕτως ἄρα καὶ τὰ στοιχεῖα τῆς οἰκείας οὐσίας, ἣν ὡς σύγκριμα τιθέμεθα τῶν στοιχείων· ὅθεν ἐπὶ τούτων δοκεῖ προϋπάρχειν τὰ ἰδιώματα τῶν φύσεων, οὐ μέντοι αὐτὰ τὰ στοιχεῖα· ταῦτα μὲν γὰρ ὁμογενῆ καὶ τρόπον τινὰ συνώνυμα· ἀνθρώπινα γὰρ τὰ τοῦ ἀνθρώπου στοιχεῖα, καὶ ἵππεια τὰ τοῦ ἵππου, καὶ σώματος καὶ ψυχῆς, ὁμοίως δὲ καὶ τὰ ἡλίου καὶ σελήνης, ἄλλα δὲ τὰ κοινὰ τοῦ οὐρανοῦ, οὐράνια γάρ· ἄλλα δὲ τοῦ ὅλου κόσμου, κοσμικὰ γάρ. Εἰδοποιεῖται οὖν ἀεὶ τὰ στοιχεῖα τῷ τοῦ στοιχειωτοῦ χαρακτῆρι· καὶ γὰρ τὰ εἴδη τῷ τῆς οἰκείας μονάδος· φαμὲν γὰρ εἴδη νοερά, καὶ εἴδη ψυχικά, καὶ εἴδη ἐγκόσμια.

1.210 Διὸ χρὴ οἴεσθαι καὶ τὰ τῆς ζωῆς στοιχεῖα ζωτικά τε εἶναι καὶ ζῆν κατὰ μέθεξιν τῆς προβαλλομένης αὐτὰ φύσεως· μᾶλλον δὲ καθ’ ὕπαρξιν πλῆθος ἦν τὰ στοιχεῖα αὐτῆς, τὸ δὲ μονοειδὲς αὐτὸ στοιχειωτόν, ζωὴ δὲ τὸ συναμφότερον. Οὕτω γοῦν καὶ τὰ μέρη ὁλοῦται καθ’ ὕπαρξιν, ὅτι τοῦ ὅλου μέρη ἐστὶ καὶ τελεῖ εἰς τὴν τοῦ ὅλου ὕπαρξιν· οὕτω γὰρ καὶ εἰς τὴν μονάδα ἑκάστου ἀριθμοῦ τελεῖ τῶν ἐν αὐτῷ μονάδων τὸ πλῆθος. Διὸ τριάς ἐστιν οὐ τὸ ἓν μόνον τῆς τριάδος, ἀλλὰ καὶ τὸ πλῆθος τῶν τριῶν μονάδων, ὥστε καὶ ἐπὶ τῆς οὐσίας ἀληθὲς εἰπεῖν τὰ στοιχεῖα οὐσιῶσθαι κατὰ τὴν ὕπαρξιν τῆς οὐσίας, ἅτε καὶ ἀπ’ αὐτῆς ἐκφυόμενα καὶ αὐτὴν συμπληροῦντα τὸν εἰρημένον τρόπον πολλάκις. Οὐκ ἄρα λεκτέον, ὡς πολλαχῇ λέγειν εἰώθαμεν, ὅτι ἑνιαῖα στοιχεῖα τῆς οὐσίας, τελοῦντα δὲ εἰς οὐσίαν, οὐσιώδη γίνεται· δεύτερά τε γὰρ τῆς οὐσίας ὡς μονοειδοῦς ἰδιότητος, καὶ πλῆθος αὐτῆς ἐστιν οὐσιωμένον, ἅτε ὄντα αὐτὸ τὸ πεπληθυσμένον τῆς οὐσίας. Εἰ δὲ τὰ αὐτὰ ἄλλον τρόπον ἐν τῷ ἑνὶ ὑφέστηκεν, εἴη ἂν καὶ ἐκεῖνα στοιχεῖα τοῦ ἑνός· τὸ γὰρ τῆς οὐσίας ἓν ἐπιβατεῦον οἷον οὐσία ἐστὶν ἑνιαία, καὶ στοιχειωτὸν ἑνιαῖον, οὗ τὰ ἑνιαῖα στοιχεῖά ἐστιν, ὥσπερ τὰ τοῦ νοῦ προείληπται ἐν τῷ ἑνὶ αἰωνίῳ. Οὐκοῦν πάλιν ἡ ἰδιότης τῶν στοιχείων προείληπται τῆς ὑποστάσεως; ἢ οὕτω μὲν ἀληθέστατον φάναι πάντα ἐν τοῖς θεοῖς προειλῆφθαι ὅσα ἐν ταῖς ἐξῃμμέναις οὐσίαις· οὐκ ἦν δὲ ἡ ἀπορία περὶ τῆς τοιαύτης προλήψεως, ἀλλ’ εἴ τι ἐν ταῖς μερικωτέραις οὐσίαις ὂν προείληπται ἐν ταῖς

ὁλικωτέραις. Πῶς οὖν πρὸ τοῦ ἐν ἀνθρώπῳ ζῴου ἐστὶ τὸ ἁπλῶς ζῷον; ἢ ὅτι οὐκ ἔστι ταὐτόν, οὐδὲ τῇ ἰδιότητι τό τε αὐτόζωον καὶ τὸ ὡς στοιχεῖον μεμερισμένον ἐν τοῖς πολλοῖς εἴδεσι· τοῦτο μὲν γὰρ ἐκείνου μόνον ἴδιον, οὗ ἐστι στοιχεῖον καὶ μόνον ζῷον, εἰ καὶ τῷ ἀνθρώπῳ εἰδοποιεῖται, ἐκεῖνο δὲ φύσις ἄλλη, πάντα οὖσα ὁμοῦ τά τε ζῷα τὰ πολλὰ καὶ τὰ συνόντα τοῖς ζῴοις εἴδη παντοῖα· ἄνθρωπος γὰρ ὁμοῦ καὶ ἵππος καὶ ἥλιος καὶ σελήνη καὶ ὅσα ἄλλα ἐστί. Διὸ καὶ ἀπ’ αὐτοῦ τὰ πάντα πρόεισιν, καλεῖται δὲ ὅμως ζῷον ἀπὸ τοῦ στοιχειώδους, ὅτι καὶ ἡ ζωὴ πάντα οὖσα ἀπὸ μιᾶς ὁμῶς ἰδιότητος ὀνομάζεται τῆς ζεούσης· εἴρηται γὰρ δὴ πολλάκις ὅτι τὰ ὀνόματα τῶν διωρισμένων ἐστὶ καὶ μεμερισμένων, μάλιστα μὲν τῶν ἰδιοτήτων, ἤδη δὲ καὶ αὐτῶν ὅλων τῶν εἰδητικῶν ὑποστάσεων, ἀπὸ δὲ τούτων κατὰ ἀναλογίαν καὶ τῶν μερῶν, εἶτα οὐ πορρωτέρω καὶ τῶν στοιχείων.

1.211 Ταῖς δὲ ὅλαις περιοχαῖς οὐκ ἐπίκειται ὄνομα· τί γὰρ ἂν εἴη παντελὲς ὄνομα, καὶ οἷον πάμφορον κόσμῳ ὅλῳ πρεπῶδες; εἰ γὰρ καὶ ὁ κόσμος ἀφ’ ἑνὸς ὠνόμασται χαρακτῆρος, τοῦ κεκοσμημένου, καὶ ἡ ζωὴ τοίνυν ἀπὸ τοῦ ζεῖν τε καὶ ἀναζεῖν εἰς διάκρισιν, πάντα δὲ ὅμως ἐστίν, ὥστε καὶ τὸ ζῷον ἀπὸ τοῦ μετέχειν ζωῆς τε καὶ ζέσεώς τινος, ὅτι καὶ τοῦτο παρακεκίνηται εἰς ὄρεξίν τε καὶ αἴσθησιν. Οὐκ ἄρα ἐκεῖνο τὸ ζῷόν ἐστιν ὃ ἐν ἀνθρώπῳ στοιχεῖον λέγομεν· ἔστι γὰρ τοῦτο μόνον ἡ ἰδιότης τῷ ἀνθρώπῳ συνουσιωμένη· καὶ γὰρ ὁ ἄνθρωπος τὸ ἁπλῶς εἶδος τοῦ ἀνθρώπου, καὶ ὁ πρῶτος ἄνθρωπος πάντες εἰσὶν ἅμα οἱ ἄνθρωποι ὅσοι κατ’ εἶδός εἰσι διωρισμένοι μερικώτεροι. Οὐκ ἄρα ὁ ἐν τῷ χθονίῳ ἀνθρώπῳ ἄνθρωπος ὡς στοιχεῖον συνειλημμένος εἴη ἂν ἐκείνης τῆς φύσεως, ἀλλὰ μόνον ἰδιότης ἀφ’ ἧς καὶ ἐκεῖνος ὠνόμασται, οἷον τῆς ἀναθρούσης ἃ ὄπωπεν· τὰ δὲ αὐτὰ καὶ περὶ τῶν ἄλλων ὅσα τῷ χθονίῳ ἀνθρώπῳ συνθεωρεῖται καὶ ὅσα τῷ ἁπλῶς ἀνθρώπῳ· ὅπερ γὰρ εἴρηται πολλάκις, ἕκαστον τὰ ἑαυτοῦ στοιχεῖα σὺν ἑαυτῷ παράγει ὁμοταγῆ τε καὶ ὁμοειδῆ. Πῶς οὖν τὸ ἄλλου καταδεέστερον ὁμοφυῆ γένοιτο ἂν ἄλλου ὑπερτέρου, ὅπου γε οὔτε ἐπὶ δυεῖν ὁμοταγῶν ὑποστάσεων τοῦτο ἀληθὲς εἰπεῖν· οὐδὲ γὰρ τοῦ ἐμοῦ καὶ τοῦ σοῦ σώματος τὰ αὐτὰ κατ’ εἶδος στοιχεῖα· εἰ δὲ ταῦτά γε, διότι ἄτομα, ἀλλ’ οὔτι γε Σύρου καὶ Λίβυος τὰ αὐτὰ κατ’ εἶδος ἢ ἵππου καὶ ὄνου. Καὶ μὴν αἱ ἰδιότητες αἱ αὐταί, ὥς φαμεν ἄνω τε καὶ κάτω. Ἢ οὕτω μέν, ὡς ἰδεῖν ἀληθές, ἄλλον δὲ τρόπον, οὐχ αἱ αὐταὶ τὸν ἀκριβέστερον, τὸν μετὰ τῆς διαφορᾶς τὴν πρόοδον τοῦ αὐτοῦ ποιούμενον καὶ οὐκ ἐῶντα ἐν τοῖς διαφέρουσι τὸ κοινὸν ἀδιάφορον, ἀλλ’ ἡ τοῦτο πάσχουσα νόησις ἢ διὰ τὸ πόρρωθεν ἢ δι’ ἀμβλυωπίαν τινὰ ἑαυτῆς ὁλοσχερέστερον ἐπιβάλλει τῷ κοινῷ λεγομένῳ τὰς παρὰ μικρὸν αὐτοῦ διαφορὰς ὑποκλεπτομένη, μᾶλλον δὲ καὶ τὰς κατὰ πολύ, ὅτε γε οἴεται τὸ ζῷον κοινὸν εἶναι τῷ τε θνητῷ καὶ τῷ ἀθανάτῳ, καί, τὸ παραδοξότερον, τῷ τε νῷ καὶ τῷ ἐμῷ ζῴῳ· καθὸ γὰρ ζῷον, φασί, διενήνοχε. Τί οὖν οὐδὲν κοινόν; εἰ τὸ κοινόν ἐστι ταὐτὸν καὶ ἓν κατὰ εἶδος, οὐδὲν ἂν εἴη κοινὸν τοῖς κατὰ εἶδος ἐξαλλαττομένοις· εἰ δὲ κοινὸν ὅ τι μὴ πάντη ἄλλο, καὶ οὐδὲ μέχρι συγγενείας τινὸς ἀλλήλοις κοινωνοῦντα, ἔχοι ἄν τι κοινόν.

1.212 Οὐκοῦν ᾗ καὶ ὁπωσοῦν κοινόν τε καὶ συγγενές, ταύτῃ ἓν καὶ ταὐτόν; ἢ τοῦτό ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, ὅτι σπεύδουσιν ἡμῶν αἱ νοήσεις εὐθύς, ἐὰν μὲν ἕτερον ἀκούσωμεν, εἰς παντελῆ διασπασμόν, ἐὰν δὲ ταὐτόν, εἰς παντελῆ σύγχυσιν, οἶμαι, ὅτι δι’ ἀρρωστίαν ἐπικυλινδούμεναι καὶ ἐπιτρέχουσαι τοῖς εἴδεσιν ἑκάστοις, οὐ δυνάμεναι κατὰ τὰ μέτρια πορεύεσθαι τῆς ἑκάστου ὑποστάσεως. Οὐδὲν οὖν κοινὸν ἐν τοῖς διαφόροις ἀποληπτέον ὃ μὴ διάφορον, οὐδὲ αὖ διάφορον ἐν τοῖς αὐτοῖς ὃ μὴ κοινόν· ἔστι γάρ τι μεταξὺ κοινοῦ τε καὶ ἰδίου. Ἆρα οὖν οὕτω προϋπάρχει τῶν στοιχείων ἑκάστων τὰ συνώνυμα τῶν ἰδιωμάτων; ἢ οὐδὲ τοῦτον ἂν εἴη τὸν τρόπον· ἐν γὰρ διαιρέσει τινὶ τὰ στοιχεῖα καὶ τὰ μέρη καὶ τὰ εἴδη πρὸς ἄλληλα τυγχάνει ὄντα, ἄλλη δὲ ἀλλαχοῦ διαίρεσις, οἷον ἡ τριὰς ἐκ μονάδων τριῶν, ἢ τετρὰς ἐκ τεττάρων, οὔτι γε ἐξ ἐκείνων τῶν τριῶν καὶ ἄλλης αὐτόν, ὡς δοκεῖ, προτεθείς, ἀλλ’ ἴδιος

ἑκάστου τῶν μονάδων ἡ διαίρεσις, ὡς εἶναι τῶν ἐλαττόνων ἀριθμῶν τῷ ποσῷ καὶ τὰς μονάδας ὁλικωτέρας· τοῦ γὰρ μοναδικοῦ ὅλου εἴδους ἄλλη μὲν ἡ εἰς δύο διαίρεσις, ἄλλη δὲ ἡ εἰς τρία, ἄλλη δὲ ἡ εἰς τέτταρα. Ὥστε καὶ τοῦ ζῴου ἄλλη μὲν ἡ εἰς δύο διάκρισις, εἰ τὸ μὲν φαίη τις εἶναι λογικόν, τὸ δὲ ἄλογον· εἰ δὲ λαβών τις τὸ λογικὸν ζῷον οὐκ ὂν τῷ ὅλῳ ζῴῳ ὑπ' αὐτὸν διέλοι πάλιν, ἂν οὕτω τύχοι, τῷ ἀθανάτῳ καὶ τῷ θνητῷ, καὶ ποιήσει τρία στοιχεῖα ἀνθρώπου, ζῷον, λογικόν, θνητόν, τὰ τῷ θνητῷ ἀντιδιαιρούμενα κατὰ τρίτην τάξιν, οὐκέτι τὰ αὐτά, οὔτε τῷ εἴδει τοῖς προτέροις, οὔτε λογικόν, οὔτε τὸ ζῷον· ἡ δὲ τριὰς αὕτη τῶν στοιχείων ἐν ἀνθρώπῳ πέφηνε πρώτῳ, καὶ ἀπ' αὐτοῦ διεκρίθη πως ἴδια ὄντα αὐτοῦ. Τί οὖν; οὐ συνῄρηται ἀεὶ τὰ δεύτερα ἐν τοῖς πρώτοις, καὶ τὰ μερικώτερα ἐν τοῖς ὁλικωτέροις, ὥστε καὶ τὰ τρία τοῦ ἀνθρώπου ἐν τῷ ζῴῳ φέρε εἰπεῖν; ἢ καὶ ἐκεῖ μετὰ τοῦ ὅλου συνῄρηται τὰ στοιχεῖα· καὶ ἐκεῖ γὰρ ὁ ἄνθρωπος ἐν τῇ συναιρέσει· ἀεὶ γὰρ ἐν τοῖς προτέροις τὰ δεύτερα, προηγουμένως μὲν τὰ ὅλα ἐν τοῖς ὅλοις, μετὰ δὲ τῶν ὅλων καὶ ἐν τούτοις τὰ μέρη· ὁμοίως δὲ καὶ τὰ στοιχεῖα καὶ τὰ εἴδη καί, καθόλου εἰπεῖν, τὰ πλήθη ἐν ταῖς οἰκείαις μονάσιν.

1.213 Οὕτω δὲ καὶ ἡ οὐσία ἐν τῷ ἡνωμένῳ περιέχεται, ἀδιάκριτος οὖσα τῆς οἰκείας ἑνάδος· οὕτω γὰρ ἐκεῖ καὶ ἡ ἑνὰς περιέχεται ἀδιάκριτος τῆς οὐσίας· οὕτως ἄρα καὶ τὰ στοιχεῖα ἑκατέρας ἀδιάκριτα καὶ αὐτὰ ἀλλήλων ἐν ἐκείνῳ συνείληπται. Διὸ οὐδὲ στοιχεῖα οὐδὲ στοιχειωτὸν ἐκεῖνα, διορισμὸς γὰρ οὐδείς· οὕτω δὲ καὶ τὰ μέρη προείληπται ἐν τοῖς στοιχείοις, ἀλλὰ κατὰ τὴν στοιχειώδη συναίρεσιν· οὕτω δὲ καὶ τὰ εἴδη ἐν τοῖς μέρεσιν, ἀλλ' ἄνευ περιγραφῶν, κατὰ μόνον τὸν μερισμόν· ὥστε τοῦτον τὸν τρόπον καὶ τὰ τοῦ κοσμικοῦ στοιχεῖα σώματος ἀμερίστως ἐν τῷ ὑπερκοσμίῳ φωτί, ὅ τι ποτὲ καὶ ὅσον ἐστί. Καὶ δὴ τὰ τοῦ ἀνθρωπείου στοιχεῖα σώματος ἐν τῷ ὑποσελήνῳ συνῄρηται κόσμῳ ἀδιακρίτως· κοινὰ γὰρ ἐκεῖνα πάντων ζῴων τε καὶ φυτῶν καὶ μετάλλων ἐν μιᾷ συναιρέσει πάντα προειλημμένα, κάτω δὲ τὰ ἴδια διακρίνεται ἐν ἑκάστῳ τὰ ἑκάστου ᾗ ταῦτα προϋπάρχοντα, λέγω δὲ ᾗ ταῦτα, ὅτι οὐ κατὰ τὴν διάκρισιν ταύτην, οὐδὲ κατὰ τὴν εἰδοποιίαν. Πάντα ἄρα ὁμοίως καὶ οὐ προϋπάρχει, καὶ αὖ δοκεῖ προϋπάρχειν, ὁλοσχερέστερόν τε ὁρῶντι καὶ τὸν συνῃρημένον καὶ ὁλικώτερον τρόπον τῆς εἰδοποιίας. Ἐπιστῆσαι δὲ χρὴ ὅτι τὰ μὲν στοιχεῖα ἑκασταχοῦ τῷ στοιχειωτῷ ἑνὶ συμπρόεισι, καὶ τῇ ἐκείνου ὑπάρξει συνυπάρχει, καὶ τὰ μέρη ὁμοίως τῇ οἰκείᾳ ὁλότητι σύνεστι πανταχοῦ, τὰ δὲ εἴδη μὴ οὕτως συννεύοντα πρὸς τὸ ἓν τὸ οἰκεῖον, καὶ ὅλως εἰδοποιούμενα ταῖς περιγραφαῖς καὶ ἐφ' ἑαυτῶν σπουδάζοντα εἶναι, δικαίως διττὴν ἐποιήσατο πρόοδον, τὴν μὲν ὡς τὰ μέρη, ὅτε καὶ τῶν μερῶν ἀναδέχεται τάξιν· οὕτω γὰρ ἔχει ἐν τῷ νῷ τὰ εἴδη· συμπληροῖ γὰρ αὐτοῦ τὸ πεπληθυσμένον, ὡς οἱ λόγοι τῆς ψυχῆς τὸ πολύμορφον τῆς ψυχῆς, καὶ οἱ τῆς φύσεως τὸ τῆς φύσεως πλῆθος. Εἴη δ' ἄν τι καὶ τοῦ ἑνὸς τοῦ σώματος εἴδους τοιοῦτον πλῆθος πολύχρωμον, ἀναλογοῦν τῷ πολυειδεῖ τῆς φύσεως καὶ τῆς ψυχῆς καὶ τοῦ νοῦ. Τὰ δὲ τοιαῦτα ἐλέγομεν εἶναι μέρη ἀνομοιομερῆ, παρονομαζόμενα μὲν τῷ ὅλῳ εἴδει, ἀνθρώπεια γὰρ καὶ ἵππεια (ὅτι δὲ φυσικοί τε οἱ λόγοι καὶ ψυχικοὶ οὐ μὴν ἕκαστος λόγος ψυχὴ οὐδὲ φύσις, οὐδὲ ἄνθρωπος, οὐδὲ ἵππος, οἷον κεφαλὴ καὶ χεὶρ ἢ ποῦς), τελοῦντα δὲ ὅμως εἰς τὸν ὅλον ἄνθρωπον καὶ τὸ ὅλον ἕκαστον· ὡς μήτε ταὐτὸν εἶναι τῷ ὅλῳ τὸ μέρος, μήτε ἕτερον, ἀλλὰ πῆ καὶ πῶς, ὡς ἀξιοῖ Παρμενίδης ὁ μέγα ς.

1.214 Τὰ μὲν οὖν τοιαῦτα τῶν εἰδῶν ἅμα τῷ κοινῷ καὶ ἑνὶ καὶ ἔστι καὶ πρόεισι καθάπερ τὰ μέρη καὶ τὰ στοιχεῖα. Ἄλλη δὲ πρόοδος αὐτῶν γίγνεται αὐτοτελῶς ἑκάστου χωριζομένου τοῦ τε ὅλου καὶ τῶν ἀντιδιῃρημένων, δοκοῦσα μὲν αὕτη τελειότερον εἶναι, κατὰ ἀλήθειαν δὲ οὖσα τῶν καταδεεστέρων, καὶ τὴν πρὸς ἓν καὶ πρὸς ἄλληλα σύμπνοιάν τε καὶ σύννευσιν παραλυσάντων, διά τε τοῦτο σποράδην ὡς οἷόν τε προεληλυθότων. Ὁ γοῦν ἐν τῇ ψυχῇ λόγος, ὁμοίως δὲ καὶ ὁ ἐν τῇ φύσει κρείττων ἐστὶ τοῦδε τοῦ φαινομένου ἀνθρώπου, καὶ ὁ ἐν τῇ ὁλικωτέρᾳ ψυχῇ λόγος τῆς ἀνθρώπου ψυχῆς κρείττων ἐστὶ τῆς καθ' ἑαυτὸν ὑφεστώσης ψυχικῆς οὐσίας. Ἔστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὖν καὶ τοιάδε πρόοδος εἰδῶν οὐ κατὰ σμῆνος ὑφεστώτων, ἀλλ᾽ οἷον αὐτονόμων. Ἐπειδὴ δὲ οὐ πάντη περιεγένετο αὐτῶν ἡ τιτανικὴ διάκρισις, ἔχει τινὰ καὶ ταῦτα πρὸς ἄλληλα σύνταξιν χοροῦ σχῆμα πληροῦσαν, ἢ στρατοπέδου, ἤ, καθόλου φάναι, κόσμου τινὸς ὅλου, φησίν, ἐξ ὅλων συνεστῶτος· ἀλλὰ τοῦτο μέρη καὶ ὅλον ἐστίν, ὥστε ἄμεινον φάναι μονάδα καὶ ἀριθμὸν ἀπὸ τῆς μονάδος ἐκμηρυόμενον, σειρὰν ἀπὸ τῆς οἰκείας ἀρχῆς ἀπορρέουσαν, κατὰ εἰδῶν ὕφεσιν ἐξαλλαττομένων ταῖς οἰκείαις διαφοραῖς. Οὕτω γὰρ ἴσως καὶ κόσμος ἔχει, εἷς ὢν καὶ πολλοὶ μετὰ τὸν ἕνα. Εἰ δὲ καὶ οἱ πάντες εἷς, ἀλλ᾽ ὥσπερ χορὸς εἷς μετὰ τοῦ κορυφαίου. Ταῦτα μὲν οὖν ὅπως ἔχει καὶ αὖθις ἐπισκεψώμεθα ὅταν περὶ τῆς προόδου πάσης ποιώμεθα λόγον, τὴν τῶν πρώτων ἀρχῶν ἐπιζητοῦντες, εἴτε ἐστὶν εἴτε μή ἐστιν. Νῦν δὲ ἐκεῖνο συναγάγωμεν, ὡς τὰ μὲν στοιχεῖα μετὰ τῆς οὐσίας καὶ σὺν ἀλλήλοις ἀεὶ πρόεισι, τὰ δὲ μέρη μετὰ τοῦ ὅλου καὶ ἀλλήλων, τὰ δὲ εἴδη ὅσα μὲν ἐν στοιχείων τάξει γέγονεν, μετὰ τοῦ οἰκείου στοιχειωτοῦ, ὅσα δὲ ἐν μερῶν, μετὰ τοῦ ὅλου καὶ ταῦτα ὑφέστηκεν, ὅσα δὲ ἐν τῇ εἰδητικῇ προόδῳ ὡς εἴδη ὑπέστη καθ᾽ ἑαυτὰ καὶ ἐφ᾽ ἑαυτῶν, ταῦτά ἐστι τὰ σποράδην προϊόντα αὐτόνομα· καὶ ὡς ἀριθμὸς ἕκαστος ἀπὸ τῆς οἰκείας μονάδος ἐξηρτημένος, ὁ μὲν ὁλικώτερος καὶ ἀπὸ μερικωτέρας.

1.215 Οὐ μὴν πάντη αὐτόνομα οὐδὲ ταῦτα, οὐδὲ μόνον διακεκριμένα ἀπ᾽ ἀλλήλων τε καὶ τῆς οἰκείας μονάδος· μετέχει γὰρ τῆς ὡς μερῶν κοινωνίας, καὶ ἡ μονὰς τῆς ὡς ὅλου φύσεως· ὅθεν τὰ αὐτὰ καὶ μέρη δοκεῖ τοῦ κόσμου εἶναι τοῦ μονοειδοῦς· τοῦτο μὲν κατὰ τὸ μεμερισμένον, κατὰ δὲ τὴν ἕνωσιν πᾶσαν τῶν εἰδητικῶν κορυφῶν ὥσπερ εὐθειῶν ἐν τῷ κέντρῳ συμφυομένων· κατὰ δὲ ταύτην οἷον στοιχεῖα γίγνεται τῆς μιᾶς αὐτῶν κοινῆς οὐσίας. Πάλιν τοι ἐξ ἀρχῆς λέγωμεν ὡς τὰ πολλὰ ἑκασταχοῦ ἢ στοιχεῖά ἐστι μόνον ἢ μέρη ἢ εἴδη· τῶν εἰδῶν τὰ μὲν ἡνωμένα εἰς οὐσίαν εἰδητικήν, ἃ καὶ στοιχεῖα καλοῦμεν εἰδητικ ά, τὰ δὲ ἐν μερισμῷ θεωρούμενα, ἅπερ μέρη εἰδητικὰ λέγομεν, οἷον τὸ μὲν πρῶτον ὡς ἐπὶ τῶν τεττάρων στοιχείων τοῦ ἡμετέρου σώματος, τὸ δὲ δεύτερον ὡς ἐπὶ τῶν μερῶν αὐτοῦ, καὶ τῶν ὁμοιομερῶν· μέρη γὰρ καὶ ταῦτα καὶ εἰδητικά, εἰ καὶ ταὐτὸν εἶδος ἔχοντα μεμερισμένον, καὶ ἔτι μᾶλλον ἐπὶ τῶν ἀνομοιομερῶν· τὰ δὲ ἐφ᾽ ἑαυτῶν ἕκαστα ὡς ἄνθρωπος καὶ ἄλλος ἄνθρωπος καὶ ἥλιος καὶ σελήνη· κατὰ δὲ αὖ τρίτην ἀπόστασιν τούτων γε αὐτῶν τριχῇ λαμβανομένων, κατὰ μὲν τὰς κορυφὰς ἡ στοιχειώδης νοεῖται φύσις, κατὰ δὲ τὴν ἑνὸς συμπλήρωσιν καὶ τὴν πρὸς τοῦτο σύννευσιν, ὅλον καὶ μέρη, κατὰ δὲ τὴν ἀφειμένην ἑκάστου περιγραφὴν ἰδιότροπον, ὡς ἀπὸ μονάδος ἀριθμός, καὶ σειρὰ ἀπ᾽ ἀρχῆς, καὶ συμπλήρωσις αὐτοτελοῦς ἐξ αὐτοτελῶν ἀναφαίνεται, καὶ ἐπὶ πλέον οὐδὲν πρόεισι. Τὸ γὰρ ἐπὶ πλέον ἦν παντελὴς πάντων διασπασμὸς ἀσύμφυλος καὶ πάντη διερριμμένος, ἐν ᾧ καὶ ἀταξία συμβήσεται μὴ πρὸς ἓν πάντων τεταγμένων· τοῦτο δὲ τὸ πάθος ἐγγίνεται μὲν τῷ παντί, πάλιν δὲ ὅμως εἰς ἓν ἐπανάγεται, καὶ συντάττεται πρὸς τὸ ἕν. Ἀλλ᾽ ὁ μὲν περὶ προόδων λόγος, ὅπερ ἔφην πρότερον, ἀναβεβλήσθω τὰ νῦν, ἐπεὶ καὶ ἐκεῖνο ἀναβλητέον εἰς ἐκεῖνον τὸν λόγον, εἰ διττόν ἐστιν ἕκαστον πλῆθος· οἷον τῶν εἰδῶν, τὸ μὲν συμφυὲς τῷ νῷ, καὶ ὡς πλῆθος τοῦ νοῦ, τὸ δὲ τῶν πολλῶν νόων μετὰ τὸν ἕνα νοῦν· καὶ γὰρ τῶν ψυχῶν ἄλλο πλῆθος τῶν μετὰ τὴν μίαν ψυχήν, καὶ ἄλλο τὸ ἐν τῇ μιᾷ τῶν ψυχικῶν λόγων πλῆθος, ᾧ ἀναλογεῖν ἐροῦμεν τὸ τῶν εἴσω τοῦ νοῦ διαιρουμένων εἰδῶν· ζητητέον δὲ καὶ ἐπὶ τῶν μερῶν καὶ ἐπὶ τῶν στοιχείων ὡσαύτως, εἰ τὸ μὲν εἴσω, τὸ δὲ ἔξω συνίσταται πλῆθος· ταῦτα μὲν οὖν ἀφείσθω τὰ νῦν. Ἐπεὶ δὲ τὰ πολλὰ ἢ ὡς στοιχεῖα λέγεται, ἢ ὡς μέρη, ἢ ὡς εἴδη, σαφὲς ὅτι οὐκ ἔστι ταὐτὸν αὐτοῖς πολλοῖς τε εἶναι καὶ εἴδεσιν ἢ μέρεσιν ἢ στοιχείοις· τούτων μὲν ἄρα ἕκαστον πλῆθός τί ἐστι καὶ τοιόνδε πλῆθος· αὐτὸ δὲ ὃ μόνον πλῆθος, καὶ τὰ ἁπλῶς πολλά, τίνα ἂν εἴη, καὶ τίνος, καὶ ποῦ ὑφεστῶτα; πρὸ μὲν δὴ τῶν τριχῇ διῃρημένων πολλῶν καὶ τῶν τριῶν δὲ πολλῶν, ὥστε καὶ πρὸ τῶν στοιχείων, καὶ πρό γε ἄρα τοῦ στοιχειωτοῦ· συμφυὲς γὰρ τοῦτο καὶ ὁμοταγὲς τοῖς ἑαυτοῦ στοιχείοις.

1.216

Τίνος οὖν; ὥσπερ τὰ στοιχεῖα τοῦ στοιχειωτοῦ, τὰ πολλὰ τίνος; ἢ τοῦ ἑνός, ὡς τὰ μέρη τοῦ ὅλου· τὸ γὰρ ἓν οὐχ οὕτως ὥς τι τῶν πολλῶν, ἀλλ' οἷον τὸ πρὸ τῶν πολλῶν, καὶ οἷον μονὰς τῶν πολλῶν καὶ ἓν τὰ πάντα. Ὄντα οὖν πάντα τοῦ ἑνός, τὰ πολλά ἐστι τελοῦντα καὶ αὐτὰ εἰς τὴν ὑπόστασιν τοῦ τοιούτου ἑνός, ὡς τὰ μέρη τοῦ ὅλου, στοιχεῖα τοῦ στοιχειωτοῦ· οὐ γὰρ δύο φαμὲν οὐσίας τὸ ἓν καὶ τὰ πολλά, οὐδὲ γὰρ τὸ στοιχειωτὸν καὶ τὰ στοιχεῖα, οὐδὲ τὸ ὅλον καὶ τὰ μέρη, οὐδὲ τὴν τοῦ νοῦ μίαν μονάδα, ἢ καὶ τὸν ἐν αὐτῷ τῶν εἰδῶν ἀριθμόν, ἀλλὰ κατὰ τὸ συναμφότερον ἓν καὶ πολλά· ὥστε καὶ αὐτὸ ἁπλῶς τὸ ἓν πολλὰ τοιόνδε νοητέον, οἷον ἓν καὶ πολλὰ ἕκαστον εἶδος. Τίνα τοίνυν τὰ πολλά; ἆρα μονάδες; ἀλλ' εἴδη γε αἱ μονάδες, τὰ δὲ πολλὰ πρὸ τῶν εἰδῶν· ἀλλὰ μέρη; ἀλλὰ καὶ πρὸ τῶν στοιχείων τὰ πολλά, τὰ δὲ στοιχεῖα πρὸ τῶν μερῶν. Μήποτε οὖν στοιχεῖα τὰ πολλά; ἀλλὰ τὰ στοιχεῖα συγκίρναται ἀλλήλοις πρὸς τὴν τοῦ στοιχειωτοῦ μικτὴν οὐσίαν· τὰ δὲ πολλὰ τοῦ ἑνὸς εἶναι βούλεται πλῆθος. Ἆρα οὖν οὐ συγκίρναται ἀλλήλοις; ἢ μᾶλλον διέστηκε τῶν στοιχείων τὰ πολλὰ ἀπ' ἀλλήλων; τοῦτο μὲν δὴ λόγον οὐκ ἔχει· οὐ μέντοι οὐδὲ συγκίρναται ἀλλήλοις, ἀλλ' ἔτι ἀμερέστερα ὄντα τῶν στοιχείων καὶ ἑνικώτερα ἀντὶ τοῦ συγκίρνασθαι ἑνίζεται καὶ ἀντὶ τοῦ ποιεῖν τὸ μικτὸν ποιεῖ τὸ ἕν· ἦν γὰρ τὰ πολλὰ τοῦ ἑνὸς καὶ οὐχὶ τῆς οὐσίας. Ἆρα οὖν διώρισται ἀπ' ἀλλήλων, ἢ συνεχῆ πρὸς ἄλληλά ἐστιν; ἢ τὸ μὲν συνεχὲς καὶ τὸ διωρισμένον ἐν τοῖς εἴδεσίν ἐστι, καὶ εἴδη ὡς ἀληθῶς, ὥστε οὐδὲ ἐπὶ τῶν μερῶν ἀληθὲς εἰπεῖν ὁπότερον· τὰ γὰρ μέρη ἐν τῷ διακρίνεσθαι τὰ εἴδη ὁρᾶται, ἀλλ' οὐκ ἐν τῷ διακεκρίσθαι· πολλῷ δὲ μᾶλλον τὰ στοιχεῖα διαφεύγει τὸ δὲ συνεχὲς καὶ τὸ διωρισμένον, ἀλλ' ὅμως ταῦτα μὲν ὁπωσδήποτε διαφέρειν ἀλλήλων ἐπιχειρεῖ· ἄλλῳ γὰρ ἄλλο τι συνεισφέρει τῶν στοιχείων, καὶ ἔτι πλέον τῶν μερῶν, καὶ ἔτι μάλιστα τῶν εἰδῶν· τὰ δὲ ἁπλῶς πολλὰ οὐ πολλὰς διαφορὰς εἰσενεγκεῖν βούλεται· πολλὰ γὰρ ἔσται διάφορα καὶ οὐχ ἁπλῶς πολλά, τὰ δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ πολλὰ μόνον.

1.217 Διόπερ ὃ ἄν τις αὐτῶν λάβῃ, καὶ εἰ πάντα ὁμοῦ, οὐδὲν ἄλλο ὄψεται ἢ πολλά· οὐδὲ γὰρ τὸ ἄλλο καὶ ἄλλο, οὐδὲ τὸ ὁμοῦ, οὐδὲ τὰ πάντα, διαφοραὶ γὰρ αὗται καὶ διάφοροι ἰδιότητες, ἀλλὰ μόνον πολλὰ καὶ μόνον πλῆθος, οὐ μέντοι ἑαυτοῦ ὄν, οὐδὲ καθ' ἑαυτό· οὐδὲ γὰρ τὰ στοιχεῖα, οὐδὲ τὰ μέρη, οὐδὲ τὰ πολλὰ εἴδη, αὐτά ἐστιν ἑαυτῶν· οὐδὲν γάρ ἐστι πλῆθος αὐτοσύστατον, ἀλλὰ περί τι ἓν ἀεὶ πληθύεται, ἢ μονάδα, ἢ ὅλον, ἢ μικτόν. Οὕτως ἄρα καὶ τὰ πολλὰ ἁπλῶς περὶ τὸ ἓν ἁπλῶς πληθύεται, καὶ ἔστι τοῦ ἑνὸς ὁ πληθυσμός, ὡς τοῦ ὅλου ὁ μερισμός, οἷον πάθος αὐτοῦ καὶ πρόοδος ἐν ἑαυτῷ, καὶ τὴν ἑαυτοῦ συνιστῶσαν παντελῆ φύσιν· ὅθεν καὶ τὸν λαμβανόμενον εὐθὺς πολλά, καὶ τὰ πολλὰ τῷ ἑνὶ σύνεστι πανταχοῦ. Καὶ μήποτε τοῦτό ἐστι τὸ ἄπειρον πλῆθος ἐν Παρμενίδῃ ὑμνούμενον, ἄπειρον διὰ τοῦτο ὅτι πέρας οὐκ ἔχει, ὅ μή ἐστι πλῆθος, ἀλλὰ πανταχοῦ πολλά, καὶ ἄνευ τοῦ πανταχοῦ· πολλαχοῦ γὰρ μᾶλλον· καὶ οὐδὲ τὸ πολλαχοῦ ὡς ἄλλο τι κατὰ σχέσιν ἢ τὰ πολλὰ μόνον. Καὶ μήποτε τοῦτό ἐστι τὸ ἓν πολλὰ ἀφ' οὗ καὶ ἀποφάσεις ἄρχονται τῆς πρώτης ὑποθέσεως, ὃ καὶ πρῶτον ἄρχει πάντων διορισμῶν τῶν ὁπωσδήποτε διαφορουμένων· ὅθεν καὶ ἓν πολλὰ λέγεται, ὡς συνειληφὸς κατὰ τὰ ἑαυτοῦ πολλὰ τὴν πάμφορον αἰτίαν τῶν ἀπ' αὐτοῦ προϊόντων καθ' ὁποιονοῦν μερισμόν· ὅθεν πηγὴν μὲν πηγῶν αὐτὸ Χαλδαίων παῖδες ἀνευφημοῦσιν, Ὀρφεὺς δὲ Μῆτιν σπέρμα φέροντα θεῶ ν , Φοίνικες δὲ αἰῶνα κοσμικό ν , ὡς πάντα ἐν ἑαυτῷ συνῃρηκότα.

1.218 Ἀλλὰ ταῦτα τῷ πέρατι τῶν νοητῶν ἐπάγειν εἰώθαμεν· τὸ δὲ νοητόν, ἓν καὶ ὂν τὸ συναμφότερον, τοῦτο δὲ ἓν πολλὰ καὶ οὐχ ἓν ὄν. Ὁ δὲ Πλάτων τὸ ἓν ὂν ἐδείκνυ πλῆθος ἄπειρον, ἀλλ' οὐχὶ μόνον τὸ ἕν. Ἐπιζητεῖ δὲ ὅμως ὁ λόγος καὶ τοῦτο τὸ ἓν πολλὰ ἁπλῶς λεγόμενον, ἀλλ' οὐχὶ ἓν ὄν· τὸ γὰρ διωρισμένον ἀπὸ τῆς οὐσίας ἕν, καὶ ἐποχούμενον τῇ οὐσίᾳ καὶ αὐτὸ οὐσία ἐστὶν ἑνιαία, ὡς διττὴ ἡ ζωή, ἡ μὲν ἑνιαία, ἡ δὲ διακρινομένη, καὶ διττὸς ὁ νοῦς, ὁ μὲν ἑνάς, ὁ δὲ εἶδος οὐσιῶδες. Τὸ δὲ ἁπλῶς ἓν ποῦ ἂν εἴη, ὅπερ ἀρχή ἐστι τῶν διττῶν προόδων, τῶν τε ἑνιαίων καὶ τῶν ὁπωσδὴ λεγομένων οὐσιωδῶν; Μήποτε τὸ ἓν ὂν 〈ὃ〉 καὶ

ἡνώμενον καλοῦμεν ὡς πρὸ ἀμφοῖν, αὐτὸ ἂν εἴη τὸ ἁπλῶς ἕν; ἓν γὰρ ἦν καὶ αὐτὸ μειζόνως· ἢ τὸ ἁπλοῦν ἕν, εἰ καὶ πρὸ ἀμφοῖν· οὔτε γὰρ ὂν οὔτε ἓν τὰ ἀντιδιῃρημένα, ἀλλ' ὅμως ἓν ἕτερον τρόπον τὸν πρὸ τῆς διαιρέσεώς τε καὶ ἀντιδιαιρέσεως· καὶ δὴ καὶ ἁπλῶς, ὅτι οὐκ οὐσία, οὐδὲ ζωή, οὐδὲ νοῦς. Καὶ πῶς ἔτι ἂν εἴη πέρας τοῦ ἡνωμένου; οὐ γὰρ ἁπλῶς ἡνωμένον, ὃ μὴ πρῶτον ἡνωμένον ἐστίν· εἰ δέ τι ἡνωμένον, καί τι ἓν ἔσται, εἴπερ ἓν κατὰ τὸ πρὸ ἀμφοῖν, ὅπερ ἦν τὸ ἡνωμένον. Ὅλως δὲ ζητεῖ ὁ λόγος ἁπλῶς ἕν, ὃ μόνον ἕν, καὶ οὐχὶ ἓν ὄν· καὶ γὰρ ὁ ἁπλῶς νοῦς ὁ πρῶτος νοῦς, καὶ ἡ ἁπλῆ ζωὴ ἡ πρώτη ζωή, καὶ ἡ ἁπλῶς οὐσία ἡ πρώτη οὐσία. Δεῖ ἄρα καὶ τὴν πρώτην ἑνάδα οὐ τὴν οὐσιώδη εἶναι, οὐδὲ γὰρ τὴν ζωτικήν, οὐδὲ τὴν νοεράν, ἀλλὰ τὴν ἁπλῶς ἑνάδα· καὶ ᾗ μόνον ἑνάς ἐστιν, ἀλλ' οὐχὶ τοιάδε ἑνάς. Ἀλλ' ἴσως τὸ τρίτον τοῦ νοητοῦ ἐν τῷ νοητῷ τακτέον, καὶ πέρας αὐτὸ ποιητέον τοῦ νοητοῦ, μεταξὺ δὲ τούτου καὶ τῆς ἑνιαίας οὐσίας θετέον τὸ ἁπλῶς ἕν, κατὰ τὸ πρῶτον καὶ ἁπλῶς θεόν, εἰ ταὐτόν, ὥς φασιν, ἓν καὶ θεός· ὡς τάγε πρὸ τούτου οὐδὲ θεοὺς ἄξιον καλεῖν, καὶ τοῦτο εἶναι τὸ ἓν πολλά· τὸ δὲ ἡνωμένον καὶ πρὸ ἀμφοῖν ἓν ὂν πολλὰ τῷ Παρμενίδῃ ἐδείκνυτο, καὶ ταύτῃ ἄπειρον πλῆθος, ὅτι τὸ διακεκριμένον τοῦ ἑνὸς ὄντος· τὸ δὲ ἓν πολλὰ λέγεται νῦν ἄλλον τρόπον, ὡς ἡ ἀρχὴ τὰ ἀπὸ τῆς ἀρχῆς, καὶ ὡς ἀριθμὸς λέγεται ἡ μονάς. Διὰ γὰρ τοῦτο κατὰ διορισμὸν ἐντεῦθεν ἡ πρόοδος, ὅτι τὸ ἁπλῶς ἓν πολλὰ τοῦτο ἦν· ὅθεν καὶ τῶν προϊόντων ἕκαστον, κατὰ τὸ εἴσω συνεσπειραμένον πλῆθος ἑαυτοῦ, γεννᾷ τὸ ἔξω ἀφ' ἑαυτοῦ.

1.219 Ἤτοι οὖν οὕτω θετέον τὸ ἁπλῶς ἀπὸ τοῦ τινὸς ἡνωμένον προϊὸν ἁπλῶς ἕν, καθάπερ ἀπὸ τῆς τινὸς ἑνάδος ἡ ἁπλῶς οὐσία τῆς οὐσιώδους ἑνάδος, ἢ τὸ ἓν ὂν ἐκεῖνο ποιητέον, οἷον, εἰ θέμις εἰπεῖν, ἀμφὶ πρόσωπον· πέρας τε γὰρ τῶν νοητῶν ἀνυμνεῖται καὶ πηγὴ τῶν νοερῶν, ὥστε ᾗ μὲν πηγὴ τῶν μετὰ ταῦτα προϊόντων, ἓν πολλά ἐστι, τῇ πρὸς τὰ μεθ' ἑαυτὸ σχέσει, λύον τὴν πρὸς ἀμφοῖν συναίρεσιν εἰς ὑπόστασιν τοῦ ἁπλῶς ἑνός, ᾗ δὲ πέρας τοῦ νοητοῦ, ταύτῃ τι ἡνωμένον, καὶ ἓν ὂν πολλὰ οὐχ ἁπλῶς, ἓν δὲ πολλὰ ἁπλῶς. Ἔχοι δ' ἄν τις ἑκατέρᾳ ὑποθέσει μαρτύρια ἐπαγαγεῖν ἀπὸ τῶν θεολογιῶν, ἀπὸ μὲν τῆς χαλδαϊκῆς τε καὶ ὀρφικῆς βεβαιῶν τὴν δευτέραν, ἀπὸ δὲ τῆς αἰγυπτίας καὶ τῆς Φοινίκων τὴν προτέραν. Τὸ μὲν οὖν ἀληθὲς αὐτοὶ ἂν εἰδεῖεν οἱ θεο ί· ἡμῖν δὲ μέχρι τοῦδε διηπορήσθω περὶ τούτων· τάχα γὰρ ἂν καὶ αὖθις αὐτῶν ποιησόμεθά τινα ζήτησιν. Μήποτε ἄρα τὸ μὲν ἁπλῶς ἕν, ὃ πάντα ἕν ἐστι, καὶ τὰ ἑνιαῖα καὶ τὰ οὐσιώδη πρὸ τοῦ ἡνωμένου ἐστίν, τὸ δὲ ἁπλῶς ἡνωμένον μετ' ἐκεῖνό ἐστι, κατὰ τὸ ἁπλῶς ὂν καὶ τὴν ἁπλῶς οὐσίαν ἱστάμενον, ἐν ᾧ συνῄρηται πᾶσα οὐσία, ἥ τε ἑνιαία λεγομένη καὶ ἡ ταύτῃ ἀντιδιῃρημένη οὐσιώδης, ὡς ἐν ἑκατέρᾳ γε τούτων τις οὐσία ἐστίν· ἡ μὲν γὰρ ἑνιαία, ἡ δὲ οὐσιώδης, ἐκείνη δὲ ἡ ἁπλῶς οὐσία πρὸ τοῦ διορισμοῦ ἐστιν, καὶ ἐν τῷ αὐτῷ ἔχουσα τό τε ἑνιαῖον καὶ τὸ οὐσιῶδες λεγόμενον. Διὸ καὶ τὴν ἁπλῶς οὐσίαν αὐτὴν ὑποθετέον, μεθ' ἣν ἥτις οὐσία διώρισται, ὅπου μὲν ἑνιαία λεγομένη, ὅπου δὲ οὐσιώδης, ἢ ἄμεινον ἡνωμένην φάναι καὶ μικτὴν ὡς πρὸς τὴν ἑνιαίαν οὕτως ἀντικειμένην· καὶ εἰ τοῦτο κρατοῖ, πάντα συμφωνήσει ἀλλήλοις καὶ τὰ τῶν λόγων καὶ τὰ τῶν θεολόγων· ῥηθήσεται δὲ περὶ τούτων καὶ μικρὸν ὕστερον. Ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἀναδράμωμεν, ὅτι τὸ μὲν πλῆθος τῆς διχῇ διωρισμένης οὐσίας ἢ στοιχεῖά ἐστιν, ἢ μέρη, ἢ εἴδη, κοινότερον εἰπεῖν, οὐσίας ἤτοι ἑνιαίας ἡνωμένης, τῆς δὲ πρὸ ἀμφοῖν ἡνωμένης καὶ μιᾶς καὶ ἁπλῶς οὐσίας τὰ ἁπλῶς ἐστι πολλά, καί, ὅ φησιν ὁ Πλάτων, τὸ ἄπειρον πλῆθος καὶ ἀδιόριστον ἀτέχνως, ἅτε οὔπω τινὸς ἑτερότητος ἐκφανείσης.

1.220 Πῶς οὖν πολλά, εἰ μὴ διέστη πως; ἢ ὥσπερ τὸ ἓν κατὰ τὸ ἡνωμένον, οὕτω καὶ τὰ πολλὰ οἷον χύσις οὖσα καὶ οἷον ἄνεσις τοῦ ἡνωμένου ... ἔστι τοῦ πρὸ ἀμφοῖν ἡνωμένου τὰ τοιαῦτα πολλά. Εἰ δὲ ἡνωμένου ταῦτα, ἀλλ' οὐχ ἑνός, εἰδέναι χρὴ ὅτι καὶ τὸ πρὸ τοῦ ἁπλῶς ὄντος, κατὰ τὸ συναμφότερον ἁπλῶς ἕν, ἔχει τὰ ἁπλῶς πολλά· ἔστι γὰρ ἡ δευτέρα ἀρχὴ τὰ πολλὰ τοῦ ἁπλῶς ἑνός, ὥσπερ δύναμις λέγεται τοῦ πατρός. Ἁπλῶς οὖν ἓν ἡ προτέρα τῶν δυεῖν ἀρχῶν, ἁπλῶς πολλὰ ἡ δευτέρα, ἁπλῶς οὐσία ἡ τρίτη κατὰ τὴν ἀδιόριστον οὐσίαν· κάτω δὲ ὁ διττὸς

ἀποθύεται στίχος ἑνάδων καὶ οὐσιῶν· ὅθεν ἄρχεται κατ’ ἀλήθειαν ἡ ὁπωσοῦν τῶν πολλῶν διάκρισις ὑπὸ τῆς φανείσης ἑτερότητος διακρινομένων, εἴτε ὡς στοιχείων, εἴτε ὡς μερῶν, εἴτε ὡς εἰδῶν. Ἐν δὲ τῷ ἡνωμένῳ πρὸ τούτων πλῆθος μέν ἐστιν, ἀλλ’ ὡς ἐν τῷ ἡνωμένῳ τὸ ἓν ἅμα καὶ τὸ πλῆθος εἰς ταὐτὸν συνδεδράμηκεν. Ὡς γὰρ τὸ ἓν οὐ διέστη τοῦ ὄντος, οὕτως οὐδὲ τὸ πλῆθος διεκρίθη εἰς πολλά, ἀλλ’ ἔμεινε τῷ ἑνὶ συνδεδεμένον ἐν τῇ ἡνωμένῃ φύσει, ὅπερ οὔτε ἓν οὔτε πολλὰ λέγοιτο ἄν, ἀλλὰ μόνον τὸ συναμφότερον, ὡς πρὸ ἀμφοῖν ἡνωμένον. Ἀλλ’ ὅμως καὶ ἐκεῖ ἀπὸ τῶν κάτω καὶ ταῦτα ἀνάγομεν κατὰ ἀναλογίαν, οὐκ ὄντα μὲν ἐκεῖ ταῦτα, οἷον δὲ τούτοις ἀναλογοῦντα τοῖς γνωριζομένοις ἄγνωστα. Διὸ τὸ μὲν ἄκρον τοῦ ἡνωμένου καλοῦμεν μικτόν τε καὶ ἐκ στοιχείων συνεστάμενον, τὸ δὲ μέσον ὅλον τε καὶ ἐκ μερῶν, τὸ δὲ τρίτον μονάδα καὶ ἀριθμὸν εἰδητικὸν σὺν τῇ μονάδι· καὶ ὅλως νοῦν μὲν τὸ τρίτον, ζωὴν δὲ τὸ δεύτερον, ὂν δὲ τὸ πρῶτον, ἀπὸ τῶν κάτω διακριθέντων ἐνδεικνύμενοι τὴν τῶν ἀδιακρίτων παντελῆ καὶ ὁλόκληρον ὑπόβασιν. Τούτων τοίνυν ἡμῖν οὕτω προδιωρισμένων, φέρε τὸν περὶ προόδου κινήσωμεν λόγον, ζητοῦντες εἰ πρόεισι τὸ ἡνωμένον εἴτε ἐν ἑαυτῷ, εἴτε ἀφ’ ἑαυτοῦ, ὡς δοκοῦμέν γε λέγειν ἄκρον ἐν αὐτῷ, καὶ μέσον καὶ ἔσχατον, τὸ μὲν οἷον οὐσίαν, τὸ δὲ οἷον ζωήν, τὸ δὲ οἷον νοῦν, ἢ ὅπως ἄλλος τις μεταφέροι τὴν μεταφορὰν κάτωθεν τῶν ὀνομάτων.

1.221 Ἀπορήσειε γὰρ ἄν τις ἐφ’ ἑκάτερα τρεπόμενος εὐλόγως. Εἰ μὲν γὰρ οὕτως ἥνωται, ὡς εὐθὺς μετὰ τὸ ἓν καὶ περὶ τὸ ἓν ὑφεσταμένον, διὸ μηδὲ εἰς ἓν καὶ ὂν γενέσθαι διορισμόν, τίς μηχανὴ καὶ ἥντινα οὖν ἄλλην ἐμφύναι διάκρισιν; πρώτη γὰρ πασῶν, ὡς ἔοικεν, ἡ τοῦ ἑνὸς καὶ τοῦ ὄντος, ἐπειδὴ καὶ σύμφυσις καὶ ἕνωσις ἡ τούτων ἐστὶ πρώτη ἑνώσεων· τὰ γὰρ ἄλλα ἐπιδιακρίνεται ἢ κατὰ τὸ ἕν, ὡς ὁ ἑνιαῖος, ἢ κατὰ τὸ ὄν, ὡς οὐσιώδης ἀριθμός. Δεῖ οὖν πρώτην ἑτερότητα φανῆναι τῶν δυεῖν μονάδων, ἵνα καὶ οἱ ἀριθμοὶ συνδιαιρεθῶσιν ταῖς οἰκείαις μονάσιν· ὅπου δὲ μία ἡ μονὰς πρὸ τῶν δυεῖν, μᾶλλον δὲ οὐδὲ μονάς, εἴπερ αὕτη διώρισται πρὸς τὸν οἰκεῖον ἀριθμόν, ἀλλὰ μία φύσις ὅλη δι’ ὅλης ἡνωμένη καὶ ἀδιάκριτός πως ἂν εἴη, τίς ἐνταῦθα διάκρισις εἰς πρῶτον καὶ μέσον καὶ τελευταῖον; ὅμοιον γὰρ ἐν τῷ φωτὶ σκότος ἐμποιεῖν, καὶ ἐν τῷ ἀκινήτῳ κινούμενον, ὃ μόνον ἀκίνητον, καὶ ἐν τῷ αἰωνίῳ ἔγχρονον, ὡς ἐν τῷ πρώτῳ ἀδιακρίτῳ καὶ ἡνωμένῳ διάκρισιν τὴν τυχοῦσαν. Ἔτι δὲ εἰ τὸ διακεκριμένον μετὰ τὸ ἡνωμένον, καὶ τὸ διακρινόμενον ἀπὸ τοῦ ἀδιακρίτου καὶ μετ’ ἐκεῖνο, οὐδέτερον ἂν εἴη ἐν ἐκείνῳ τῶν ἀπ’ αὐτοῦ, τὸ δὲ πρῶτον καὶ μέσον καὶ τελευταῖον ἢ ἐν τῷ διακεκρίσθαι ἢ ἐν τῷ διακρίνεσθαι συνίσταται· οὐδὲ ταῦτα ἄρα ἐκεῖ ἂν εἴη δικαίως· ἐῶ λέγειν ὅτι καὶ πολλοστὰ ἀπὸ τῆς τάξεως ἐκείνης ἀναφαίνεται ἀρχὴ καὶ μέσα καὶ τελευτὴ ἐν τῷ πέρατι τῆς διακρινομένης φύσεως, ὡς ὁ Παρμενίδης, ἧς προϋπάρχει ἡ τοῦ ὅλου καὶ τῶν μερῶν ὑπόστασις, ἧς πρεσβύτερον ἀποφαίνει τὸν ἀριθμόν. Εἰ δὲ μήπω ἐκεῖ ἀριθμὸς ἐν τῷ ἡνωμένῳ, οὐδὲ τριάς· εἰ δὲ μὴ τριάς, οὐδὲ τὰ τρία ταῦτα, πρῶτον καὶ μέσον καὶ τελευταῖον. Ἀλλὰ μὴν οἵ τε θεοὶ καὶ οἱ θεολόγοι τριάδας τε ἡμῖν ἀνυμνήκασι νοητάς, καὶ προόδους θείων ἀρχῶν ἀπὸ τῆς μιᾶς ἀρχῆς τῶν ὅλων προελθουσῶν. Ἔτι γε μὴν καὶ ὁ λόγος προσαπαιτεῖ καὶ ἐκεῖ τινα γενέσθαι πρόοδον, εἰ καὶ ὅτι μάλιστα καὶ ταύτην ἡνωμένην. Πρῶτον μὲν γάρ, εἰ μετὰ τὸ ἓν οὖσα ἡ φύσις, ἐκείνη διὰ τοῦτο ἡνωμένη ἐστίν· ἐπειδὴ καὶ μετὰ τὰ πολλὰ τυγχάνει οὖσα, δεῖ πως αὐτὴν καὶ πληθύεσθαι· καὶ εἰ τὸ ἓν ἀναστέλλει τὴν πρόοδον, τὸ πλῆθος αὐτὴν ἐπεγείρει καὶ ἀπεργάζεται. Εἰ δὲ ἓν ὄν, ὅτι πρὸ οὐσίας καὶ ἑνός, διότι εἶναι καὶ πρὸ ζωῆς ἑκατέρας, τῆς τε ἑνιαίας καὶ τῆς οὐσιώδους, ὁμοίως δὲ καὶ πρὸ νοῦ ἑκατέρου τὸν συναμφότερον νοῦν, ἡνωμένον γε νοῦν, καὶ ἡνωμένην ζωήν, ὥσπερ ἡνωμένην οὐσίαν.

1.222 Ποῦ δ’ ἂν εἴη τὸ ἡνωμένον; ἢ ἐν τῷ ἡνωμένῳ παντὶ διακόσμῳ· τριχῇ ἄρα καὶ ἐκεῖνος διακεκόσμηται· ἀλλὰ δὴ ἀπ’ αὐτοῦ οὐσία τε πρόεισι καὶ ζωὴ καὶ νοῦς, ἔξω τοῦτο πλῆθος γιγνόμενον, καὶ οὐδήπου καθ’ ὅλον ἑαυτὸ τὰ διάφορα προήγαγε. Τὸ γὰρ ἔξω πλῆθος κατὰ τὸ εἴσω γεννᾶσθαι πέφυκεν, εἴτε κατ’ αἰτίαν, εἴτε καθ’ ὕπαρξιν, εἴτε διακεκριμένον, εἴτε

ἡνωμένον. Ἔστω γὰρ τὸ εἴσω πλῆθος ἡνωμένον, ἀναλογοῦν δὲ ὅμως τῷ διακεκριμένῳ. Καὶ γὰρ εἴ τις λέγοι ὅτι ἀπὸ τοῦ ἑνὸς τὰ πολλά, ἀλλ' ὅμως ἐν τῷ ἑνὶ πολλὰ οὐκ ἔστιν, εἰδέναι χρὴ ὅτι καὶ τὰ πολλὰ τοῦ ἑνός ἐστιν, εἰ θέμις εἰπεῖν, τὸ εἴσω πλῆθος. Εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἐκεῖνό γε, συγχωρῆσαι ῥᾴδιον ὅτι ἐν μέσῳ τοῦ ἑνὸς καὶ τοῦ ὁπωσοῦν διωρισμένου πλήθους ἀναγκαῖον εἶναι τὸ ἡνωμένον, καὶ ἔτι ἀδιάκριτον πλῆθος. Τοιαῦτα μὲν ἄν τις ἐπ' ἀμφότερα ἀπορήσειεν περὶ τοῦ εἴσω πλήθους ἐν τῷ νοητῷ. Ὁμοίως δ' ἂν ἀπορηθείη καὶ περὶ τοῦ ἐκτός. Ἢ γὰρ ὁμοειδὲς τὸ παραγόμενον πλῆθος τῷ παράγοντι, οἷον ἀπὸ τοῦ ἑνὸς ἡνωμένου πολλὰ ἡνωμένα, ὡς νόες ἀπὸ νοῦ καὶ ψυχαὶ ἀπὸ ψυχῆς, ἢ ἀνομοειδές, ὡς ἀπὸ νοῦ ψυχή, ἢ ἀπὸ ζωῆς νοῦς, ἢ ἀπὸ οὐσίας ζωή· οὕτως ἄρα ἀπὸ τοῦ ἡνωμένου οὐσία καὶ ζωὴ καὶ νοῦς. Ἀλλ' εἰ μὲν τοῦτο, οὐ τὸ ἡνωμένον πρόεισιν, οὐδὲ πάσχει τὴν πρόοδον ἐκείνη ἡ φύσις, ἀλλ' ἕτερα τὰ ἀπ' αὐτοῦ προϊόντα· καὶ γὰρ ἀπὸ τοῦ ἑνὸς τὰ πολλὰ καὶ τὰ ῥητὰ ἀπὸ τοῦ ἀρρήτου. Οὐ μέντοι ἡ τοῦ ἑνὸς φύσις προέρχεται καὶ γίγνεται πολλά, οὐδὲ ἡ τοῦ ἀρρήτου γίγνεται ῥητή. Εἰ δὲ ἐκεῖνο, τίς ἂν εἴη διάκρισις τῆς ἡνωμένης φύσεως; ὅμοιον γὰρ ὡς εἴ τις εἴποι τὰ πολλὰ ἀφ' ἑνὸς προϊέναι ὁμοειδῶς· τοιοῦτον γὰρ καὶ τὰ διακεκριμένα λέγειν ἀπὸ τοῦ ἡνωμένου. Τίνος δὲ εἵνεκα καὶ προέλθοι ἂν ἀνομοειδῶς; καὶ γὰρ τοῦ αὐτοῦ σωζομένου εἴδους, οὕτως εἰπεῖν, τὸ αὐτὸ τέλος ἔσται τῆς ὑποστάσεως πρώτοις καὶ μέσοις καὶ τελευταίοις· μήποτε γὰρ οὐδὲ προέρχεται τὴν κατὰ ὕφεσιν μόνην τοῦ αὐτοῦ ἰδιώματος, εἰ μὴ καὶ διαφορὰ προστεθείη τις ἐξαλλάττουσά πως τὰ προϊόντα κατ' εἶδος· οὔτε γὰρ ἔχει τι ἀγαθὸν τὸ αὐτὸ ἀπαραλλάκτως ὑφίεσθαι πολλαχῆ, οὔτε δυνατὸν αὐτὸ ἀφ' ἑαυτοῦ διακρίνεσθαι.

1.223 Διὰ τί μὴ προστιθεμένης διαφορᾶς τε καὶ ἑτερότητος; οὐδὲ γὰρ ἐπὶ τῶν ἀτόμων τῶν ἀριθμῷ διαφερόντων μόνον εὐπαράδεκτόν ἐστιν ἄνευ τινὸς εἰδοποιοῦ διαφορᾶς γίγνεσθαι τὴν εἰς ταῦτα πρόοδον, μή τι γε ἐπὶ τῶν κοινῶν τε καὶ ἰδίων. Τοιγαροῦν πᾶς ἀστὴρ καὶ πᾶν ζῷον κοινὸν εἶδός ἐστι καὶ εἴδει ἐξήλλακται. Εἰ δὲ οὕτως ἔχει ἡ πρόοδος ὡς ἔχειν τὰ προϊόντα ὁμοῦ τι καὶ κοινὸν καὶ ἴδιον, ὡς ἄνθρωπος καὶ ἵππος καὶ ζῷον ἑκάτερον, πῶς μὲν ἀπὸ τοῦ ζῴου ὄντος ἀδιαφόρου πρόεισι τὸ διάφορον, πῶς δὲ τὸ φύσει ἀδιάφορον εἰς πολλὰ τέμνεται ζῷα, κατὰ τὸ ὁμοειδὲς τῆς προόδου; Καὶ ἔτι ἀπορώτερος ὁ λόγος περὶ τοῦ ἡνωμένου λεγόμενος· ἀναιρετικὸν γὰρ τοῦτο τὸ ἰδίωμα πάσης διακρίσεως καὶ ὁμοειδοῦς καὶ ἀνομοειδοῦς· ὥστε ἀπὸ τούτου ἀναιρεῖται καὶ τὸ εἴσω πλῆθος διακρίνεσθαι λεγόμενον. Ὁ μὲν γὰρ νοῦς, ἅτε εἶδος ὤν, δύναται ἴσως εἰς εἴδη πολλὰ διακρίνεσθαι, καὶ τὸ ὅλον εἰς πολλὰ μέρη, καὶ τὸ μικτὸν εἰς στοιχεῖα· τὸ δὲ ἡνωμένον πῶς ἂν εἰς πρόοδον τὴν ἐν ἑαυτῷ διακριθείη; οὔτε γὰρ ἀνομοειδῶς, πόθεν γὰρ ἐν τῇ ὁμοίᾳ καὶ τῇ αὐτῇ καί, ἔτι μειζόνως εἰπεῖν, ἡνωμένῃ φύσει τὸ κατ' εἶδος ἢ ἰδιότητος; πῶς οὖν ἐξηλλαγμένον; οὔτε ὁμοειδῶς, τὸ γὰρ ἡνωμένον οὐδὲν ἄλλο βούλεται ἢ μόνον ὃ λέγεται ἡνωμένον εἶναι· ὥστε καθὸ γεννώμενον, οὐκ ἂν διακριθείη· οὐκ ἄρα ὁμοειδῶς διακρίνεται. Εἰ δὲ καὶ εἴσω κατὰ τὸ συναμφότερον, οἷον ζωὴ ἡνωμένη ἀπὸ οὐσίας ἡνωμένης, νοῦς ἡνωμένος, ἑκάτερον συμβήσεται ἄτοπον ἅμα, καθάπερ ἰδίᾳ συμβέβηκεν ἐπί τε τῆς ὁμοειδοῦς προόδου καὶ ἐπὶ τῆς ἀνομοειδοῦς. Ὅλως δὲ καὶ αὐτὸ τοῦτο ζητητέον ἴσως τὰ νῦν, εἰ διττὴ ἡ πρόοδος, ὥς φασιν οἱ φιλόσοφοι, ἡ μὲν ὁμοειδής, ὡς Ἀθηνᾶ ἀπὸ Ἀθηνᾶς, ἡ δὲ ἀνομοειδής, ὡς Ἀθηνᾶ ἀπὸ Διό ς, ἡ μία φύσις πάσης προόδου κατὰ τὸ συναμφότερον προϊούσης· οὔτε γὰρ τὸ ἴδιον ἄνευ κοινοῦ τινος προέλθοι ἄν, οὐδ' ἂν ὑποσταίη, οὔτε τὸ κοινὸν ἄνευ τοῦ ἰδίου πρόεισιν ἀδιάφορον· καὶ γὰρ Ἀθηνᾶ ἀπὸ Ἀθηνᾶς, δευτέρα ἀπὸ πρώτης, μερικωτέρα ἀπὸ ὁλικωτέρας, οὐρανία ἀπὸ ὑπερουρανίας, ἂν οὕτω τύχοι· οὐδὲ μόνα ταῦτα ἐξαλλάττει αὐτὴν κατὰ τὸ εἶδος, ἀλλὰ καὶ ἰδιοτροπία τις ἀθηναϊκ ή, καθ' ἣν πᾶσα Ἀθηνᾶ πρώτη ἐστὶ κατὰ τὴν ἑαυτῆς ἴδιον φύσιν, ὅπου γε καὶ τῶν ἀνθρωπίνων ψυχῶν ἑκάστη κατ' εἶδος ἐξήλλακται πάσης ἑτέρας.

1.224

Πολλῷ δὲ οὖν μειζόνως αἱ πολλαὶ Ἀθηναῖ εἴδει ἀλλήλων διοίσουσιν, ἐπειδὴ πᾶς θεὸς ἀκρότης ἐστὶ κατὰ φύσιν τὴν ἑαυτοῦ. Οὕτω μὲν τοίνυν ἡ ὁμοειδὴς λεγομένη φαίνεται οὖσα καὶ ἀνομοειδής. Ἀλλὰ καὶ Ἀθηνᾶ ἀπὸ Διός, θεὸς ἀπὸ θεοῦ, καὶ νοῦς ἀπὸ νοῦ, καὶ δημιουργικὴ ἀπὸ δημιουργικοῦ, καὶ νοοποιός, ἂν οὕτω τύχοι, ἀπὸ νοοποιοῦ· ὥστε καὶ ὁμοειδὴς οὖσα πέφηνεν ἀνομοειδής. Μήποτε οὖν πανταχοῦ συναμφότερος ἀεὶ πᾶσα γίγνεται πρόοδος. Εἰ μὴ ἄρα φανείη ὅπου μὲν ἐπικρατοῦν τὸ ὅμοιον, ὅπου δὲ τὸ ἀνόμοιον, ἀλλὰ γὰρ καὶ αὐτὸ τοῦτο ζητητέον, διὰ τί ἡ μέν ἐστιν ὁμοειδής, ἡ δὲ ἀνομοειδής, εἴτε χωρίς, εἴτε ἡ συναμφότερος· μήποτε γὰρ πᾶσαι ὁμοειδεῖς, ἢ πᾶσαι ἀνομοειδεῖς, οἷον ὃ λέγω, ἀπὸ Διός, φαμέν, Ζεύς τε καὶ Ἀθηνᾶ, καὶ ἄλλος καὶ ἄλλος, οὐκ ἂν γεννηθέντες πολλοὶ ἀφ’ ἑνός, εἰ μὴ πάντα ἦσαν ὁ εἷς· ἀεὶ γὰρ ὁλικώτερος τοὺς μερικωτέρους ἐν ἑαυτῷ συναιρεῖ, ὥσπερ τὸ ζῷον τὰ πολλὰ ζῷα, ἄνθρωπον καὶ ἵππον καὶ βοῦν· κατ’ αὐτὰ γὰρ ταῦτα τὸ ζῷον ἦν ὁμοῦ καὶ τὰ χωρὶς προελθόντα ἀπ’ ἀλλήλων εἴδη πάντα τοῦ ζῴου. Εἰ δὲ Ζεὺς ἀπὸ Διὸς ὁμοειδής, πρόεισιν οὐχ ὁμοίως τοῖς ἄλλοις. Εἰ μὲν τοῖς ὀνόμασι προσέχοι τις, τάχα ἂν ἀπορηθείη, τὰς δύο προόδους ὁρῶν ἀντιδιῃρημένας· εἰ δὲ ἐννοήσειεν ὅτι ὁ μερικώτερος Ζεὺς καὶ δεύτερος καὶ τρίτος προελθὼν οὐκ ἔστιν ὁ αὐτὸς τῷ προτέρῳ κατ’ εἶδος (ὁ μὲν γὰρ ἦν πάντες οἱ προελθόντες, ὁ δὲ εἷς τῶν προελθόντων), ὄψεται πᾶσαν τὴν πρόοδον καὶ τὴν πάντων ἑνὸς οὖσαν μερισμὸν τῆς ὑπάρξεως τοῦ ὅλου Διός· ὥστε μέρος ἕκαστος τοῦ προάγοντος καὶ συνώνυμος ἐκείνῳ, τῷ μὲν ὅλῳ καθ’ ὅλον οὐδείς, κατὰ δὲ μέρος, καθ’ ὃ προέρχεται, πᾶς. Εἰ δὲ ὁ μὲν ὅλος παράγει, οἱ δὲ παραγόμενοι καθ’ ὅλον, οὐ ταὐτόν τε εἶδος, ὅλος τε ὁ Ζεὺς καὶ τὸ τοῦ Διὸς μέρος, οἷον Ζεὺς ὁ δεύτερος καὶ Ἀθηνᾶ, σαφὲς αὖ πάλιν ὅτι πάντες ἀνομοειδεῖς ἀπογεννῶνται, καὶ ἕτεροι ἀφ’ ἑτέρου κατ’ εἶδος· ἡ δὲ τοῦ Διὸς κοινωνία μέχρις ὀνόματος, ἐπεὶ καί, εἰ ἔστι διαφορὰ τῶν προόδων, τίς ἡ αἰτία τῆς διαφορᾶς; διὰ τί ἀπὸ τοῦ αὐτοῦ ἡ μὲν ὁμοειδής, ἡ δὲ ἀνομοειδής; τίς ἡ ἀποκλήρωσις τῆς ἀπογεννήσεως ἐκείνης ἢ ταύτης; ἆρα ὅτι ἡ μὲν ὁμοειδὴς κατὰ τὸν μερισμὸν ἀποτελεῖται τῆς ἰδίας ὑπάρξεως, ἡ δὲ ἀνομοειδὴς κατὰ τὴν προειλημμένην αἰτίαν τῆς ἀλλοτρίας; ἢ πρῶτον μὲν ἡ αἰτία ὕπαρξίς ἐστι τῆς περιειληφυίας αὐτὴν φύσεως, οἷον ἡ αἰτία τῆς Ἀθηνᾶς ἐν τῷ Διὶ πρεσβύτερον συμβεβηκός τί ἐστι τῆς Διό ς· ἢ συνουσίωται καὶ αὕτη τῷ Δι ί, καὶ ἄνευ αὐτῆς οὐκ ἂν εἴη ὁ Ζεύ ς, ὅπερ εὐαγέστερόν τε καὶ ἀληθέστερον εἰπεῖν, ὥστε καὶ ἡ ἀνομοειδὴς κατὰ μερισμὸν τῆς ὑπάρξεως ἀποτελεῖται· δεύτερον δὲ ὁ τῆς ὑπάρξεως μερισμὸς ἐνυπάρξει τῷ Δι ί, τῶν μερικωτέρων ἀπ’ αὐτοῦ προελθόντων, οἷον τῆς ὁμοειδοῦς ἀπ’ αὐτοῦ σειρᾶς τῆς διίου λεγομένης, καὶ οὐ δήπου καθ’ ὕπαρξιν ἐν αὐτῷ ἢ ἀπ’ αὐτοῦ γεννωμένη σειρά, ἀλλὰ κατ’ αἰτίαν μέν, ὡς πρὸς τὴν παραγομένην σειράν, καθ’ ὕπαρξιν δέ, ὡς πρὸς τὸν παράγοντα σειράν.

1.225 Καὶ γὰρ ἐκεῖνο ἄξιον ἐπιστάσεως, μήποτε τὸ αὐτὸ ἄλλου μὲν ὕπαρξιν, ἄλλου δὲ αἰτίαν ῥητέον· καὶ οὐ χρεία διπλασιάζειν ἑκάστου τὴν φύσιν τῇ τε ἑαυτοῦ ὑπάρξει λεγομένῃ καὶ τῇ προλήψει τῆς τῶν δευτέρων αἰτίας· τὰ δὲ αὐτὰ καὶ περὶ μεθέξεως ἐροῦμεν· ᾗ μὲν γὰρ ἑτέρωθεν τὸ ἐν ἀνθρώπῳ ζῷον, ταύτῃ μέθεξις· ᾗ δὲ συμπληροῖ τὸν ἄνθρωπον, ταύτῃ ὕπαρξις τοῦ ἀνθρώπου. Ἔτι δὲ ἀνωτέρω ζητήσειεν ἄν τις εἰκότως ὅπως ἀφ’ ἑνὸς πολλὰ προέρχεται. Διὰ τί μὲν οὐκ ἀφ’ ἑνὸς ἓν μόνον πρόεισι; διὰ τί δὲ τὰ πολλὰ οὐκ ἀπὸ πολλῶν; νῦν δὲ ἀπὸ Διός, φαμέν, οἱ πολλοὶ θεοί, ἀλλ’ ἴσως ἀπὸ τῶν ἤδη πολλῶν περιεχομένων, εἴτε καθ’ ὕπαρξιν, εἴτε κατ’ αἰτίαν, εἴτε καὶ κατὰ μέθεξιν ἐθέλοι τις λέγειν, οἱ πολλοὶ προΐασιν· ὥστε πολλοὶ ἀπὸ πολλῶν. Τί οὖν ἂν προέλθοι ἀφ’ ἑνὸς ὅλον ἀφ’ ὅλου; ἀεὶ γὰρ τὸ παραγόμενον μερικώτερον τοῦ παράγοντος· ἢ ἐπὶ μὲν τῆς ὁμοειδοῦς λεγομένης παραγωγῆς, ὅλη ἡ σειρὰ ὁμοῦ ὡς ἀφ’ ἑνὸς τοῦ ὅλου προελήλυθεν, ἐπὶ δὲ τῆς ἀνομοειδοῦς ὅλος ὁμοῦ ὁ χορὸς τῶν γεννηθέντων, ὡς εἷς ἅπας ἀφ’ ἑνὸς ὅλου. Τάχα δὲ ἄν τις εἴποι καὶ τὸν ὅλον δημιουργὸν ἀπὸ τοῦ ὅλου Κρόνου προελθεῖν, ὡς ἕνα κόσμον ὁλόκληρον ἀφ’ ἑνὸς κόσμου ὁλοκλήρου, τοῦ τιτανικοῦ τὸν δημιουργικόν. Ἆρα οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰσοστάσιος τῷ Κρόνῳ ὁ Ζεύ ς, ἢ ὁ περιεχόμενος ἀεὶ κόσμος τῷ περιέχοντι; καὶ μὴν ἔν γε τοῖς σωματικοῖς στερεώμασιν ὑπερέχει τοῦ περιεχομένου ὁ περιέχων· ὥστε ἀνάλογον ἕξει καὶ ἐν τοῖς ἀσωμάτοις, ὁ κρόνιος περιέξει τὸν δίιον, καὶ τὸν κρόνιον ὁ οὐράνιος, καὶ τοῦτον ὁ νύχιος, καὶ τοῦτον αὖ πάλιν ὁ ἁπλῶς κόσμος εἷς πρὸ πάντων διακοσμηθείς.

1.226 Οὐδὲ ἄρα οὕτως ὅλον ἀφ’ ὅλου τι πρόεισιν, οὐ γὰρ μόνον τὸν δημιουργὸν εἴη ἂν περιέχων ὁ Κρόνος, ἀλλὰ καὶ τὴν ὑπεροχήν· ὥστε κατὰ μέρος καὶ ἡ τοιάδε πρόοδος· ὥστε πᾶσα αἰτία παραγωγὸς ἀπὸ τῶν ἐν ἑαυτῇ πολλῶν μερίζει τὴν πρόοδον· οὕτω δὲ ἀναγκασθησόμεθα πανταχοῦ τὸ εἴσω πλῆθος ὑπερτιθέναι τοῦ ἐκτός. Ἐπεὶ οὖν πάντα ἀφ’ ἑνός, καὶ τὸ ἓν τοῦτο ὅπερ καλοῦμεν ἁπλῶς ἓν ἕξει πλῆθος ἐν ἑαυτῷ, οὐ γὰρ ἂν ἀπ’ αὐτοῦ τὰ πολλὰ προῆλθε, καὶ ὁ λόγος πείσεται τὸ ἄπειρον. Ἔτι δὲ οὐ κατὰ ἄλλον τρόπον ἀποριῶν ἀρχαῖόν τι καὶ νεώτερον· ἢ γὰρ ἀπὸ τοῦ ὄντος ἡ πρόοδος· καὶ πῶς ἂν προέλθοι τὸ ἤδη ὂν καὶ πρότερον; ἢ ἀπὸ τοῦ μὴ ὄντος· καὶ τί ἂν γένοιτο τῶν ὄντων ἀπὸ τοῦ μηδαμῶς ὄντος; οὐ γάρ ἐστιν ἐκεῖ ὕλη τις, ἵνα ἀπὸ τοῦ ταύτης δυνάμει, τὸ ἐνεργείᾳ προέλθοι· καίτοι οὐδὲν ἀπὸ τοῦ δυνάμει γεννηθείη ἂν ἐνεργείᾳ· κρεῖττον γὰρ τοῦτο ἐκείνου· τὸ δὲ γεννώμενον ἀεὶ τοῦ γεννῶντος ὑποδεέστερον. Οὔτ’ ἄν τι οὖν προέλθοι ἀπὸ τοῦ ὄντος, ὃ ἤδη ἐστίν, οὔτ’ ἂν ἀπὸ τοῦ μὴ ὄντος, οὔτε δυνάμει, οὔτε ἐνεργείᾳ, οἷον ἡ ζωή, φαμέν, ἀπὸ τῆς οὐσίας πρόεισι, καὶ ὁ νοῦς ἀπὸ τῆς ζωῆς, καὶ ἡ ψυχὴ ἀπὸ νοῦ, καὶ τὸ σωματοειδὲς ἅπαν εἶδος ἀπὸ ψυχῆς. Οὐκοῦν ἔσται τὰ δεύτερα ἐν τοῖς προτέροις; ἢ οὐκ ἔσται ἐνεργείᾳ· καὶ τοῦτο μὲν ἀδύνατον ποιήσει τὴν πρόοδον, ἐκεῖνο δὲ πρὸς τούτῳ καὶ περιττήν. Εἰ δὲ λέγοι τις ὅτι κατ’ αἰτίαν, τί ποτέ ἐστι τὸ κατὰ αἰτίαν, ζητοῦμεν, πότερον ὅτι τὸ προελθόν ἐστιν ἐν τῷ παράγοντι ταὐτόν, οἷον ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ; Ἀλλὰ τοῦτο μὲν ἀδύνατον· ἄλλο γάρ, ὥς φαμεν, τὸ αἰτιατὸν καὶ ἄλλο τι ἡ αἰτία· οὐ μέντοι οὐδὲ τῷ εἴδει· ἓν γὰρ τὸ εἶδος ἑκασταχοῦ πρῶτον, ἐπεὶ οὐδὲ ὁ τῇδε ἄνθρωπος ὁ αὐτὸς τῷ ἐκεῖ κατὰ τὸ εἶδος, τὸ μὲν γὰρ εἰκών, τὸ δὲ παράδειγμα, καὶ τὸ μὲν ἐν ὕλῃ, τὸ δὲ ἐν νῷ. Τοιγαροῦν τὸ ἐν ψυχῇ μέσον ἕτερον ἑκατέρου τῶν ἄκρων. Εἰ δὲ μήτε εἴδει, μήτε ἀριθμῷ ταὐτόν, οὐδ’ ἂν εἴη τι ἄλλο παρ’ αὐτὸ τὸ γεννῶν ἐν τῷ γεννῶντι τοῦ γεννωμένου αἴτιον. Πάλιν γὰρ διὰ τί ἕτερον ἑτέρου αἴτιον; ὅμοιον γὰρ ὡς εἰ τὸ μὴ ὂν τοῦ ὄντος· ἕτερον δὲ καὶ αὐτὸ τὸ γεννῶν τοῦ γεννωμένου. Πῶς οὖν ἕτερον ἑτέρου γεννητικόν, εἴτε αὐτό, εἴτε καθ’ ἕτερον ἐν ἑαυτῷ; ἄτοπον δὲ καὶ ἐπὶ τῶν εἰς ὕλην προελθόντων ἀπὸ τοῦ νοῦ συλλογιεῖται ὁ λόγος. Δεῖ μὲν γὰρ οὐδὲν εἶναι πρῶτον ἐν ὕλῃ φυόμενον, ἀλλὰ πάντα ἐκεῖθεν ἥκειν· οὐδὲ ἄρα τὸ εἰκονικὸν ἐν ὕλῃ πρῶτον, οὐδὲ τὸ γενητόν, οὐδὲ τὸ ἔνυλον, οὐδὲ τὸ διεστάμενον ὡδὶ καὶ ὠγκωμένον· εἴδη γὰρ καὶ ταῦτα διαφέροντα τῶν ἀντικειμένων· οὐκ ἄρα οὐδὲ ταῦτα ἐκεῖθεν πρόεισιν, οὐδὲ γὰρ ἐκεῖ προϋπάρχει· τὰ δὲ προϋπάρχοντα οὐκ ἐνδέχεται προελθεῖν εἰς ὕλην, οἷον τὰ αἰώνια καὶ ἀγένητα.

1.227 Χωρὶς δὲ τούτων ἀπὸ τοῦ ἡνωμένου φαμὲν τὸ διακεκριμένον προεληλυθέναι, ταῦτα δὲ κατὰ ἕνωσιν γίγνεται καὶ διάκρισιν, τὸ ἡνωμένον καὶ τὸ διακεκριμένον, ὁμοῦ δὲ ἐκφαίνεσθον ἕνωσις καὶ διάκρισις· καὶ καθόλου ἀντικείμενα κατὰ μίαν πρόοδον, τὰ διακεκριμένα ἐν τῷ διακεκριμένῳ. Ὅπου δὲ ἕνωσις, ἐκεῖ τὸ ἡνωμένον, καὶ ὅπου διάκρισις, ἐκεῖ τὸ πεπονθὸς αὐτὴν διακεκριμένον· ἐν ἄρα τῷ διακεκριμένῳ ἑκάτερόν ἐστι, τό τε ἡνωμένον καὶ τὸ διακεκριμένον· οὐκ ἄρα πρὸ τοῦ διακεκριμένου τὸ ἡνωμένον, ἀφ’ οὗ πρόεισι τὸ διακεκριμένον. Εἰ δὲ ἐν τῷ ἡνωμένῳ ἡ ἕνωσις, ὅπου δὲ αὕτη ἐστί, καὶ ἡ διάκρισις ἐκεῖ, ἔσται ἄρα καὶ ἐν τῷ ἡνωμένῳ τὸ διακεκριμένον. Ἔτι τοίνυν ζητήσεως ἄξιον τί τὸ πεποιηκός ἐστι τὸ διακεκριμένον ἀντὶ τοῦ ἡνωμένου καὶ μετ’ ἐκεῖνο· τὸ γὰρ ἡνωμένον πῶς ἂν εἴη διακρίσεως αἴτιον; ὅμοιον γὰρ ὡς ἐπὶ τὸ ἐναντίον τοῦ ἐναντίου ποιοῖ τις γεννητικόν. Εἰ δὲ ἡ ὕφεσις διέκρινε, τί τὸ πεποιηκὸς αὐτὴν τὴν ὕφεσιν; οὐ γὰρ δὴ πάλιν ἡ ὑπεροχὴ τὴν ὕφεσιν. Τρόπος δὲ ὁ αὐτὸς τῆς ἀπορίας ἐπὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν εἰωθυίας καὶ πάλιν θρυλεῖσθαι, πῶς ἐξ ἑνὸς πολλὰ γεννᾶται; ὅμοιον γὰρ ὡς ἀπὸ θερμοῦ φάναι τὸ ψυχρὸν προϊέναι, Ἆρα οὖν πρὸς μὲν τοῦτο ῥητέον, ὃ δή φασιν οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φιλόσοφοι, ὡς τὸ προϊὸν καταδεέστερον γίγνεται τοῦ προάγοντος, ᾗ οὖν ἐξίσταται τοῦ ἑνὸς τὸ γεννώμενον ἀπ’ αὐτοῦ, ταύτῃ οὐχ ἕν· ὥστε πολλὰ ἐξ ἀνάγκης. Ἀλλὰ πρῶτον μὲν τὸ καταδεέστερον οὐκ ἐξαλλάττει τὸ εἶδος οὐδὲ τὴν φύσιν τοῦ πράγματος· ἔστι γὰρ καλὸν τὸ μὲν ὑπέρτερον, τὸ δὲ ὑφειμένον, καλὸν δὲ ὅμως ἑκάτερον, ὥστε καὶ ἓν ἑκάτερον, εἰ καὶ τὸ μὲν παράγον, τὸ δὲ παραγόμενον. Ἔστι γοῦν καὶ τοῦ ἑνὸς ἴδιος πρόοδος ὡς ἑνὸς εἰς ἓν προϊόντος. Δεύτερον δὲ κατὰ συμβεβηκὸς ἔσται τὰ πολλὰ προϊόντα, εἴπερ οὐχ ᾗ πολλὰ γεννᾶται, ἀλλ’ ᾗ γεννᾶται, πολλά ἐστι.

1.228 Τρίτον δὲ καὶ μένει τὸ ἄπορον· διὰ τί γὰρ ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον ἡ γέννησις; Μήποτε οὖν ἄμεινον λέγειν ὡς τὸ ἓν οὐκ ἔστι μόνον ἕν, ὡς τὸ ὄνομα παραδείκνυσιν, ἀλλὰ πάντα κατὰ μίαν ἁπλότητα τὴν πρὸ πάντων, ὡς πολλάκις λέγομεν· διὸ πάντων ἐστὶν αἴτιον κατὰ τὴν πάμφορον αὐτοῦ ταύτην ἁπλότητα. Οὐ καθόσον οὖν ἓν οὕτως ὡς ἀντικείμενον τοῖς πολλοῖς (πάσης γὰρ ἀντιθέσεως προϋπάρχει ἕν), ἀλλὰ καθόσον ἀρχὴ τῶν πάντων καὶ πάντα· ὡς ἀρχὴ τῶν ἁπάντων, οὕτω παράγει τὰ μεθ’ ἑαυτήν, τά τε πάντα ὡς μόνη, καὶ τὰ πολλὰ ὡς ἕν, καὶ τὰ ὄντα ὡς ὑπερούσιος μέν, οὖσα δὲ καὶ τὰ ὄντα· τί γὰρ διαφέρει τὸν δημιουργικὸν νοῦν, πάντα ἐν ἑαυτῷ προειληφότα παραδειγματικῶς, παράγειν ἀφ’ ἑαυτοῦ πάντα εἰκονικῶς; ἢ τὴν μίαν τῶν ὅλων ἀρχὴν πάντα οὖσαν ἁπλῶς ὅσα ἀπ’ αὐτῆς πρὸ τῶν ἀπ’ αὐτῆς ἀδιακρίτως καὶ κατὰ μίαν ἀπλήθυντον φύσιν, πάντα παράγειν τὰ πολλὰ ἀφ’ ἑαυτῆς. Τὸ δὲ ἄπορον ἦν πῶς ἀφ’ ἑνὸς τὰ πολλά· νῦν δὲ ἀπὸ τῆς πάντων ἀρχῆς τὰ πάντα πέφηνεν, ὅτι καὶ ἡ ἀρχὴ πάντα ἦν πρὸ πάντων. Εἰ δὲ τὰ προελθόντα καὶ τὸ ἓν τὸ ἐκ πάντων, καὶ πάντα οὐ κατὰ πλῆθος τὸ τῶν πάντων, εὖ χρὴ εἰδέναι καὶ τὴν ἀρχὴν οὖσαν διττήν, τὴν μὲν κατὰ τὸ ἓν ἁπλῶς ὑμνούμενον, τὴν δὲ κατὰ τὰ πάντα, ἅπερ αὐτὴν εἶναί φαμεν ὡς πρὸ πάντων. Καὶ πολλὰ δὴ ταύτην πάλαι ἀνευφημοῦμεν ὡς τὰ πολλὰ τοῦ ἑνὸς οἷον ἐκείνου δύναμιν ἄπειρον, καθ’ ἣν ἢ μεθ’ ἧς πάντα ἐκεῖνο καὶ πάντων γεννητικόν. Διὸ πατρικὴ δύναμις ἀνακαλεῖται καὶ ὑπὸ τῶν θεῶν αὕτη ἡ ἀρχή. Καὶ ἐπειδὴ συμπεφύκασιν αἱ πρῶται ἀρχαί, καὶ οὕτως ὡς ἐν τῇ προτέρᾳ τὴν δευτέραν εἶναι, καὶ ἀπ’ αὐτῆς ἐν αὐτῇ προελθεῖν, διὰ τοῦτο καὶ τῶν ἐκεῖθεν προελθόντων ἕκαστόν τε καὶ ἰδίᾳ καὶ ὁμοῦ πάντα ἕν τε καὶ πολλά ἐστιν ὁμοῦ, καὶ τὰ πολλὰ ἀπὸ τοῦ ἑνὸς ἐν τῷ ἐν ᾧ προελθόντα καὶ δεύτερα πανταχοῦ τοῦ ἑνός. Ἆρα οὖν καὶ ἐν τῇ ὕλῃ μετὰ τὸ ἓν τὰ πολλὰ αὐτῆς ἐστι καὶ τὸ ἔσχατον πάντων οὐ τὸ ἕν, ἀλλὰ τὰ πολλὰ φήσομεν εἶναι, ὥστε καὶ πρὸ πάντων ἔσται τὰ πολλὰ καὶ οὕτως ἕν; ἢ οὕτως ἐν τῷ ἑνὶ τὰ πολλὰ ἑκασταχοῦ, ὡς κύκλῳ περιεχόμενα ὑπὸ τοῦ ἑνός, ὥστε τὸ ἓν πανταχοῦ πρῶτον καὶ ἔσχατον. Τοῦτο μὲν οὖν ἐν παρενθήκῃ τοῦ λόγου τοιοῦτον ἔστω. Τὸ δὲ ἐξ ἀρχῆς τὰ πολλὰ παράγεται ὑπὸ ἑνός, ὅτι τοῦτο τὸ ἓν ὡς ἁπλοῦν ἓν καλεῖται, ἐπεὶ πολλά ἐστι καὶ τὰ πάντα, καὶ ἔτι μεῖζον ἢ τὰ πάντα, καθόσον αὐτὸ μὲν ἕν, τὰ δὲ πολλὰ καὶ τὰ πάντα ἡ δευτέρα ἀρχή, λύσις οὖσα καὶ ἀπειρία τοῦ ἑνός, ἢ πάντων γεννητική.

1.229 Τὸ μὲν οὖν ἓν ὅπως παράγειν ζητεῖν, ἀγνοούντων ἐστὶ τὴν ἁπλότητα τοῦ ἑνός· οὔπω γὰρ ἐν ἐκείνῳ ὕπαρξις καὶ δύναμις καὶ ἐνέργεια ἀντιδιῄρηνται, ἀλλὰ μόνον κατὰ τὸ ἕν· ἡ δὲ δευτέρα ἀρχὴ πρώτη ὑποφαίνει τὸ γόνιμον καὶ ἀπειροποιὸν εἰς πλῆθος καὶ τὴν ἔξω τοῦ ἑνὸς ἀπειθοῦσαν· διὸ τῶν δευτέρων ὀνομάτων ἠξίωται, καὶ οὐδὲν ἄπορον ἀπὸ ταύτης τὰ πολλὰ προϊέναι, πολλά γε οὔσης, καὶ τὰ πρὸ πάντων πολλὰ ἁπλῶς. Ἀπολογησώμεθα δὲ τὰ αὐτὰ καὶ ὑπὲρ τοῦ ἡνωμένου· τοῦτο γὰρ ἅμα καὶ πεπληθυσμένον ἐστίν, ὥστε πάντα ὂν κατὰ τὸ ἡνωμένον, εἰκότως γεννητικόν ἐστι τῶν πάντων, ὡς ἀρχὴ τῶν πάντων ἡνωμένη. Ἀλλὰ πῶς διεκρίθη τὰ ἀπ’ αὐτῆς ἐκείνης γεννωμένης; πῶς δὲ ἀπὸ τοῦ ἑνὸς τὰ πολλὰ διεκρίθη; τοῦτο γὰρ ἦν τὸ ἐξ ἀρχῆς ἀπορούμενον· ἢ ὅτι ἡ ἀρχὴ πάντα οὖσα καὶ πρόοδος ἦν καὶ ὕφεσις καὶ διάκρισις· ἔστι γάρ τι τῶν πάντων καὶ τούτων ἕκαστον. Ὡς οὖν οὐσίαν καὶ ζωὴν καὶ νοῦν παράγει, φέρε εἰπεῖν, οὕτω καὶ μετὰ τούτων συναπογεννᾷ τὴν ὕφεσιν καὶ τὴν διάκρισιν καὶ τὴν πρόοδον καὶ πάντα ὅσα τῆς ἑτερότητος ἔχεται· καὶ γὰρ ἡ ἑτερότης μετὰ τῶν ἑτέρων διακρίνεται, ὥστε καὶ ἡ

διάκρισις μετὰ τῶν διακρινομένων, καὶ ἡ πρόοδος μετὰ τῶν προϊόντων, καὶ ἡ ὕφεσις μετὰ τῶν ὑφιεμένων. Οὐκ ἄρα κατὰ συμβεβηκὸς πρόεισιν εἰς διάκρισιν, ἀλλ' ἡ γεννῶσα αἰτία καὶ διακρίνει καὶ τὴν διάκρισιν συμπαράγει. Πρὸς δέ γε τὸ δεύτερον ἀπὸ τοῦ τέλους ἐροῦμεν ὅτι ἡ μὲν ὁμοταγής ἐστιν ἕνωσις διακρίσει, καὶ αἱ ὁμοταγεῖς ἅμα εἰσίν, ἡ δέ ἐστιν ἕνωσις ἡ μία σύμπτυξις αὐτῆς ὅλης τῆς ἀντιθέσεως, ὡς δυάδος· ἔστι δὲ πρεσβυτέρα καὶ ταύτης ἕνωσις, ἡ πασῶν ὁμοῦ τῶν τοιούτων ᾗ μονάδων συναγωγός, μονὰς οὖσα αὕτη πασῶν μονάδων καὶ τοῦ ὅλου μονοειδοῦς ἀριθμοῦ αὐτοῦ, οὖσα τὸ ἓν εἶδος ἐν ᾧ πάντα συνείληπται τὰ εἴδη. Νοεῖν δὲ χρὴ πρὸ ταύτης τὴν τοῦ ὅλου ἁπλῶς, ἐν ᾧ τὰ ἁπλῶς μέρη περιέχεται, καὶ πρὸ ταύτης γε τὴν τοῦ στοιχειωτοῦ ἕνωσιν, συναίρεσιν οὖσαν τῶν πάντων στοιχείων, οὐσίαν οὖσαν τὴν ἡνωμένην ὡς ταύτῃ συνοῦσαν, τὴν ἑνιαίαν, ὧν μίαν πρὸ ἀμφοῖν ἕνωσιν τὴν κυριωτάτην ἀποδεδείχαμεν τοῦ ἑνὸς ὄντος, ἣν δὲ ἐξαιρέτως ἀνυμνοῦμεν τὸ ἡνωμένον. Ἐν τούτῳ οὖν ἐστι πάντα, ὥστε καὶ ἡ διάκρισις ἐν αὐτῷ καθ' ἕνωσιν, ὡς τὰ ἄλλα, ἀπὸ δὲ τούτου πρόεισι τὸ διακρινόμενον καὶ ἐπὶ τούτῳ τὸ διακεκριμένον.

1.230 Πόθεν οὖν ἐγένετο ἡνωμένον εἰ μὴ διὰ τὴν ἕνωσιν, ὥσπερ διακεκριμένον διὰ τὴν διάκρισιν, αὗται δὲ ἅμα ἐκφαίνονται; ἢ κατὰ ἐπικράτειαν ὑφέστηκεν, ἄνω μὲν ἕνωσις, κάτω δὲ διάκρισις· οὐκοῦν ἄνω καὶ ἡ διάκρισις, ὥστε καὶ ἐκεῖνο διακεκριμένον, εἰ καὶ ἔλαττον. Ἀλλὰ γὰρ ὅπου ἡ ἑτέρα κρατεῖ, καὶ ἡ ἑτέρα, οἷον ὅπου ἡ ταυτότης, καὶ ἡ ἑτερότης, καὶ ὅπου στάσις, καὶ ἡ κίνησις· ἅμα γὰρ ἐκφαίνεσθον. Οὐκοῦν ἄλλο σημαινόμενον τῆς ἑνώσεως ἐκείνης καὶ τῆς διακρίσεως ἐκείνης, ἀντικειμένων μέν πως καὶ τούτων, οὐ μὴν ὁμοταγῶς, ἀλλ' ὡς αἰτίου καὶ αἰτιατοῦ, ἤ, ἄμεινον λέγειν, ὡς πάντα μὲν ἡμεῖς διωρισμένα νοοῦμεν καὶ ὀνομάζομεν τά τε ἄλλα καὶ ἕνωσιν καὶ διάκρισιν, ἀπὸ δὲ τούτων ἐνδεικνύμεθά τι καὶ περὶ τῶν ἀδιορίστων. Οὐ τοίνυν τὸ ἡνωμένον κατὰ τὴν ἕνωσιν εἰδοποιοῦμεν, οὐδὲ τὸ ὅλον διακεκριμένον κατὰ τὴν ἐν μέρει διάκρισιν· ὁ μὲν γὰρ νοῦς ἡνωμένον ἅμα καὶ διακεκριμένον· ὅπερ δὲ ἐν τούτῳ μέρος πρὸς μέρος, τοῦτο πρὸς ὅλον τὸν νοῦν ὡς διακεκριμένον ἡ οὐσία ὡς ἡνωμένον, ἤ, κυριώτερον φάναι, πρὸς τὸ συναμφότερον ἓν καὶ ὄν, τὸ πρὸ ἀμφοῖν ἡνωμένον· προσχρώμεθα δὲ τοῖς τῶν διωρισμένων ὀνόμασιν ἢ καθ' αὑτὰ ἢ κατὰ συμπλοκήν, ἐνδείξασθαί τι βουλόμενοι περὶ τῶν πάντη ἀδιορίστων, ὧν οὔτε νόημα οὔτε ὄνομα διηρθρωμένον ἔχομεν διὰ τὸν πολὺν μερισμὸν τῆς ἡμετέρας διανοήσεως· δεῖ γὰρ πάντα ὁμοῦ συνελεῖν τὰ νοήματα ἡμῶν εἰς ἓν μετανόημα, τὴν μίαν πάντων νοημάτων κορυφήν, εἰ μέλλοιμέν τινος ἴχνους ἐπιλαβέσθαι τῆς συνῃρημένης ἐκείνης φύσεως. Καὶ μὴν πρὸς τὰ τρίτα τῶν ἀπορημάτων, ἓν μὲν ἐκεῖνο διοριστέον ἐπὶ τῶν εἰκόνων καὶ τῶν παραδειγμάτων, ὡς ὁ λέγων λόγος τὰ γενητὰ δεῖν προϋπάρχειν ἐν τοῖς ἀγενήτοις, ἐκεῖνο ἀξιοῖ τὰ εἴδη πάντα καὶ τὰς ἰδιότητας ἄρχεσθαι ἀπὸ τοῦ νοῦ καὶ τῶν αἰωνίων, εἶτα προϊέναι εἰς ψυχήν τε καὶ τὴν μέσην οὐσίαν, εἶτα καὶ εἰς ὕλην ἐπ' ἔσχατον· οὐ γὰρ εἶναι τὰ ἔνυλα αὐτάρκη, οὐδὲ πρῶτα, οὐδὲ ἀληθεύοντα τὴν εἰδητικὴν ὕπαρξιν, ἅτε συμπεφυρμένα τῷ μὴ ὄντι καὶ τῷ ἀνειδέῳ, οὐ μέντοι μὴ εἶναι πρῶτα συμπεφυρμένα καὶ ἔνυλα, ἀλλὰ μόνον εἴδη μὴ εἶναι τὰ πρῶτα.

1.231 Ὥστε καὶ τὸ διωγκωμένον καὶ τὸ διεστὼς ὡς μὲν εἴδη ἐκεῖ προϋπάρχει καὶ ἐκεῖνα πρῶτα, ὡς δὲ γενητὰ καὶ ἔνυλα καὶ οἷά γε ὄντα ὁρῶμεν, πρῶτα μὲν καὶ μόνα, ὡς τοιαῦτα τῇδε, ὡς δὲ εἴδη, ἃ λέγεται εἶναι, πάντων ἔσχατα. Τίς οὖν ἀξιώσει καὶ ὡς ἔσχατα εἴδη πρῶτα εἶναι; ἀλλ' ὡς εἴδη μόνον ἐκεῖ πρῶτα πέφηνε· καὶ τὰ ἀντικείμενα κρατεῖ ἐπίσης ἐκεῖ, ταυτότης καὶ ἑτερότης, κίνησις καὶ στάσις, ἓν καὶ πολλά, πᾶσαι αἱ ἀντιθέσεις ὁμοίως, ἀλλ' ὅπου μὲν ἀγενήτως πάντα καὶ αἰωνίως, ταὐτὸν δὲ εἰπεῖν, ἀμερίστως, ὅπου δὲ γενητῶς τε καὶ ἐγχρόνως, ταὐτὸν δὲ εἰπεῖν, μεριστῶς. Καὶ οὐ λέγω τὸ μεριστὸν καὶ ἀμέριστον ὡς εἴδη ἄττα· εἴη γὰρ ἂν ἑκατέρωθεν ἑκάτερον οἰκείως, ἀλλ' ἕτερον τρόπον τὸ ὅλον ἀπό τινος μέρους ὀνομάζομεν, οὐκ ἔχοντες ὄνομα σημαντικὸν τῆς κοινότητος· οὐδὲ γὰρ κόσμον καλοῦντες τὸ πᾶν, οὐδὲ τοῦτο ἀπὸ κοινῆς

φύσεως καλοῦμεν τῆς πάντα συλλαβούσης, ἀλλ’ ἀπὸ μιᾶς ἰδιότητος τοῦ κεκοσμῆσθαι· καὶ γὰρ ὁ χορὸς ἀπὸ τοῦ χορεύειν μόνου, καὶ ὁ στρατὸς ἀπὸ τοῦ στρατεύεσθαι, καὶ ἄνθρωπος ἀπὸ τοῦ ἀναθρεῖν ἃ ὄπωπεν, καὶ ἵππος ἀπὸ τοῦ ἵεσθαι τοῖς ποσίν· ἕκαστον γὰρ ἓν ὂν καὶ πολλὰ ἀφ’ ἑνὸς ἐκλήθη τῶν ἐν αὐτῷ πολλῶν ὄντων. Ἆρα οὖν τὸ ὅλον οὐκ ἔστιν ὄνομα κοινὸν ὥσπερ καὶ πρᾶγμα; ἢ πάντα μὲν καὶ τὸ ὅλον, τὰ μέρη πρό γε τῶν μερῶν, ἀπὸ δὲ τοῦ συναγωγοῦ τῶν μερῶν ἐπωνόμασται· ὅλον γὰρ ὅ τι ἄλες τε καὶ ἅλις ἐστίν, ὃ ἄλες ὂν ἑώραται, ὅλον κεκλημένον. Οὕτως οὖν μεριστὸν μὲν ὅλον καὶ πᾶν τὸ ἔνυλον, ἀμέριστον δὲ ὅλον καὶ πᾶν τὸ ἀγένητον, οὐ κατὰ τὸ εἶδος ἑκάτερον, ἀλλὰ κατὰ τὸν εἰρημένον τῆς ἐνδείξεως τρόπον. Διὸ πάντα μὲν τὰ εἴδη καὶ ἐν τῷ νῷ καὶ ἐν τῇ ὕλῃ, καὶ αὐτὸ τὸ ἀμέριστον καὶ μεριστὸν, ἅτε εἴδη ὄντα, ἀλλ’ ὅπου μὲν καθ’ ὕπαρξιν, ὅπου δὲ κατὰ μέθεξιν, καὶ ὅπου μὲν πρῶτα, ὅπου δὲ ἔσχατα· καίτοι καὶ ταῦτα ὡς εἴδη ἑκατέρωθι, τὸ πρῶτόν φημι καὶ τὸ ἔσχατον, καὶ ἡ ὕπαρξις καὶ ἡ μέθεξις. Ἆρα οὖν, ἐπειδὴ τὰ μὲν παραδείγματά ἐστι, τὰ δὲ εἰκόνες, καὶ ταῦτα εἴδη ἐστὶ καὶ ἑκατέρωθί ἐστι; πῶς δὲ οὐκ ἂν εἴη, εἴπερ ἡ εἰκὼν ὁμοίωμά ἐστι, τὸ δὲ ὁμοίωμα ἀποτέλεσμα ὁμοιότητος, ἑκατέρωθι δὲ ὁμοιότης καὶ τὸ παράδειγμα ἀρχέτυπον ὁμοιότητος· ὁμοιοῦται δὲ καὶ ἐκεῖ ἕτερον ἑτέρῳ, καὶ ἐνταῦθα δὲ ὡσαύτως· παράδειγμα γὰρ καὶ ὁ Σωκράτης τῆς οἰκείας εἰκόνος. Αἱ μὲν οὖν ἰδιότητες ἑκατέρωθι· εἰ δὲ εἰκόνα λέγομεν, ὃ μόνον εἰκών ἐστιν, οἷον τὸ ἔνυλον εἶδος, οὐκ ἂν εἴη τὸ εἰκονικὸν ἐν τῷ νῷ· καὶ εἰ παράδειγμα ὅπερ ἀγένητον καὶ αἰώνιον εἶδος, καὶ ὃ κατὰ τὴν πρώτην ὕπαρξιν, οὐκ ἂν εἴη τῇδε παραδείγματος φύσις· οὕτω τοίνυν καὶ τὸ ὠγκωμένον ὡς μὲν εἶδος ἐκεῖ, ἀμέριστον ὠγκωμένον· ἐνταῦθα δὲ ὠγκωμένον ὡς εἶδος μέν, μεριστὸν δὲ ὅμως, καὶ ὠγκωμένον ὡς μεριστόν.

1.232 Κοινὴ μὲν οὖν ἡ ἰδιότης ἑκατέρωθι, ἡ δὲ πρώτη καὶ ἐσχάτη ὑπόστασις ἴδιος ἑκατέρων, καὶ ἡ τοῦ γενητοῦ καὶ ἡ τοῦ ἀγενήτου καὶ ἡ τοῦ ἐνύλου καὶ ἡ τοῦ ἀΰλου, καὶ ἡ τοῦ ἐγχρόνου καὶ ἡ τοῦ αἰωνίου· οὐδὲ ταῦτα ὡς αἱ ἰδιότητες, ἀλλ’ ὡς γεννηθὲν καὶ γεννῆσαν, καὶ ὡς ὕπαρξιν καὶ μέθεξιν, καὶ ὡς ἄν τις ἔχοι διορίζεσθαι γένεσιν καὶ οὐσίαν, οὐχ ὡς ἰδιότητας κοινάς, ἀλλ’ ὡς ὑποστάσεις ἰδίας, ἄνω μὲν οὔσας, καὶ εἰς τὸ κάτω προελθούσας. Τοῦτο μὲν οὖν οὕτω διορίζομαι· ἕτερον δὲ ὡς τὸ αὐτὸ διοριούμεθα καὶ ἐπὶ παντὸς προαγομένου καὶ προάγοντος, οἷον τοῦ ἑτεροκινήτου κόσμου παντὸς ἀπὸ τοῦ αὐτοκινήτου προϊόντος, καὶ τοῦ αὐτοκινήτου ἀπὸ τοῦ ἀκινήτου· πάντα ὅσα ἐν τῷ πρώτῳ ἐστὶν ἀκινήτως, ἐν τῷ δευτέρῳ ἐστὶν αὐτοκινήτως καὶ ἐν τῷ τρίτῳ ἑτεροκινήτως, ὥστε ὄντα ἀπὸ ὄντων πρόεισι, καὶ ἀπὸ τῶν ἐνεργείᾳ. Καὶ οὐ συμβαίνει τι ἄτοπον· οὐ γὰρ ταὐτὸν ἁπλῶς οὐδὲ ὡσαύτως τὸ παράγον καὶ παραγόμενον, ἀλλ’ ὡδὶ μέν, ὡδὶ δὲ οὔ· τὸ γὰρ ἑτεροκίνητον καλὸν ἀπὸ τοῦ αὐτοκινήτου, καὶ τὸ αὐτοκίνητον ἀπὸ τοῦ ἀκινήτου· ὥστε εἴποις ἂν καὶ ὂν ἀπὸ ὄντος καὶ μὴ ὂν ἀπὸ μὴ ὄντος· ἔστι μὲν γὰρ ὡς τὸ αὐτό, ἔστι δὲ ὡς οὔ· καὶ τοῦτο μὲν ἐπὶ τῆς ὁμοειδοῦς εἶναι δοκούσης προόδου, καλὸν γὰρ ἀπὸ καλοῦ. Εἰ δὲ καὶ τὸ καλὸν ἀπὸ τοῦ ἀγαθοῦ, ἤ τὸ ἑτεροκίνητον αὐτὸ ἀπὸ τοῦ αὐτοκινήτου, τὸ ἀπὸ τοῦ ἀκινήτου πάλιν ὡδὶ ὄντος καὶ ὡδὶ μὴ ὄντος, κατ’ αἰτίαν μὲν ὄντος, καθ’ ὕπαρξιν δὲ μὴ ὄντος· ἔστι γὰρ φύσει τὸ μὲν αἴτιον, τὸ δὲ αἰτιατόν, καὶ τοῦτο προειλημμένον ἐν ἐκείνῳ, τρόπον δέ τινα ὃν ἂν προϊὼν φήνειεν ὁ λόγος. Ὁμοίως δὲ καὶ πάντα ἐν τῷ ἡνωμένῳ καὶ πάντα ἐν τῷ διακεκριμένῳ, καὶ ταῦτα ἀπ’ ἐκείνων πρόεισιν, ὄντα ἀπὸ ὄντων ὡδὶ ἑκάτερα καὶ μὴ ὄντα, ὡδὶ πάλιν ἑκάτερα καὶ παρηλλαγμένα, εἰ βούλει λέγειν, ὄντα ἀπὸ μὴ ὄντων, καὶ μὴ ὄντα ἀπὸ ὄντων· ἐνεργείᾳ μὲν γὰρ ἐν πᾶσι πάντα, καὶ αὖ ἐνεργείᾳ οὐδὲν οὐδαμοῦ, ὡδὶ μὲν οὐδέν, ὡδὶ δὲ πάντα. Καὶ οὐκ ἔχει χώραν ἡ ἀπορία ἡ τὸ ἐνεργείᾳ ἀπὸ τοῦ μὴ δυνάμει παράγουσα, ἢ τὸ ὂν ἀπὸ τοῦ μὴ ὄντος· οὐδὲν γὰρ ἐκεῖ δυνάμει, οὐδὲ μὴ ὂν οὕτως ὡς λέγομεν ἀποροῦντες, ἀλλ’ ὅτι ἕτερος ὁ τρόπος τῆς ὑποστάσεως, ταύτῃ μὴ ὄν, καὶ ὅτι πέφυκε γεννᾶσθαι ἕτερα ἐξ ἑτέρων, ταύτῃ δυνάμει.

1.233

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἔτι τοίνυν πρὸς τέταρτον ἀπὸ τῶν ἐσχάτων ἐπαναβαίνουσιν εὐδιάλυτον φανεῖται κατὰ τὸν ὅμοιον τῆς μεθόδου τρόπον· πολλὰ γὰρ ἀφ’ ἑνὸς οὐδὲν θαυμαστὸν προϊέναι, εἰ τὸ ἓν πάντων εἴη γεννητικὸν ἢ πολλῶν, εἴτε κατὰ τὴν ἑαυτοῦ πάμφορον ἁπλότητα, εἴτε κατὰ τὸ περιεχόμενον ἐν αὐτῷ πλῆθος ὁπωσδήποτε. Πάντα γὰρ ἦν ἡμῖν καὶ τὸ ἓν τοῦ δυνάμει, ἀλλ’ ἐνεργείᾳ· οὐ μέντοι διωρισμένα ὡς ὅδε ὁ κόσμος ἢ ὅλως κόσμος τις, οὐδὲ ἡνωμένα κατὰ τὸ ἡνωμένον, ἀλλ’ ἓν μόνον πάντα κατὰ ἓν καὶ κατὰ τὸ ἡνωμένον πάντα, ἀλλὰ καθ’ ἕνωσιν ἀδιάκριτον· καὶ τὸ διακεκριμένον πάντα, ἀλλ’ ἢ ἔν τινι διορισμῷ. Τούτων δὲ οὕτως ἐχόντων, οὐδὲν διαφέρει λέγειν πολλὰ ἀφ’ ἑνὸς τοῦ τοιοῦδε καὶ οὕτως ἔχοντος, καὶ πολλὰ αὖ, ἀπὸ πολλῶν τῶν κατὰ ἓν ὑφεστώτων ἢ συνεστώτων κατὰ τὸ ἡνωμένον, ἢ διισταμένων κατὰ τὸ διακρινόμενον καὶ τὸ διακεκριμένον. Ἔχοις δ’ ἂν τοῦτο φάναι σαφέστερον, εἰ λέγοις τὴν δευτέραν ἀρχὴν προϊέναι ἀπὸ τῆς πρώτης, ὡς ἀφ’ ἑνὸς ἓν πολλά, ἀπὸ δὲ ταύτης τὸ ἡνωμένον ἅμα καὶ πεπληθυσμένον, ἀπὸ δὲ ταύτης κατὰ βραχὺ τὴν τῶν πολλῶν ἐπιδιακρινομένην εἰς πλῆθος ὑπόστασιν, ὥστε οὐδὲν θαυμαστόν, καὶ ὡς ἀφ’ ἑνὸς ἀμεροῦς ἓν ὅλον πεπληθυσμένον προϊέναι ὡς ἀπὸ τῆς μιᾶς αἰτίας τὰ πάντα ὁμοῦ, καὶ ὡς ἕνα παμμέγαν κόσμον, καὶ ὡς ἀπὸ πολλῶν τὰ πολλά, τῶν καθ’ ἓν ὑφεστώτων, τὰ μὴ καθ’ ἓν ὑφεστῶτα· ὡδὶ μὲν γὰρ ἕν, ὡδὶ δὲ πολλὰ τὸ αὐτὸ ἄν τις ἴδοι τε καὶ εἴποι. Ἢ οὖν ἓν ἀφ’ ἑνὸς προέρχεται, ὡς Διόνυσός τε ἀπὸ Διός, ἢ πολλὰ ἀφ’ ἑνός, ὡς ἀπὸ Διὸς οἱ πολλοὶ θεοί, ἢ ἓν ἀπὸ πολλῶν, ὡς ὅταν ἡ ψυχὴ λέγεται προϊέναι ἀπὸ πάντων τῶν πρὸ ἑαυτῆς, καὶ ἀεὶ τὸ γεννώμενον ἀπὸ πάντων τῶν πρεσβυτέρων αἰτίων, ἢ πολλὰ ἀπὸ πολλῶν, ὡς τὰ αἰσθητά φαμεν ἀπὸ τῶν νοητῶν. Ἀλλ’ ὅμως ἑκάτερον πανταχοῦ, τὸ ἓν καὶ τὸ πλῆθος, εἰ καὶ ὅπου μὲν τὸ πλῆθος κατὰ τὸ ἕν, ὅπου δὲ κατὰ τὸ πλῆθος τὸ ἕν· ἔστι δήπου καὶ καθ’ αὑτὸ ἑκάτερον ἕν τε καὶ πλῆθος· οὐκ ἄρα ἐπ’ ἄπειρον ἥξομεν ζητοῦντες ἀεὶ πρὸ τοῦ πολλοῦ ἑνὸς τὸ ἀπλήθυντον ἕν· καὶ αὐτὸ γὰρ τοῦτο τὸ ἁπλῶς ἓν πάντων ἐστὶν αἴτιον τῶν πολλῶν· ἓν γὰρ ὂν ὅμως πάντα ἐστίν, ὅτι πρὸ πάντων, ἀλλ’ οὐχ ἕν τι τῶν πάντων, οὐδὲ ἓν ἐκ πάντων, ἀλλ’ ὄντως ἕν, οὕτως δὲ ὡς πάντα ὁμοῦ κατ’ αὐτό γε τὸ ἕν.

1.234 Ἡ δὲ δευτέρα ἀρχὴ πάντα καὶ αὐτή, ἀλλὰ κατὰ τὸ πολλὰ ἑαυτῆς· αὕτη γὰρ ἦν τὰ πολλὰ τοῦ ἑνὸς ἐκείνου, ὅτι καὶ πᾶν πλῆθος περὶ τὸ ἓν ὑφέστηκεν, ὡς δύναμις πᾶσα περὶ τὴν οἰκείαν οὐσίαν· ὡς μὲν τοίνυν ἀπὸ πολλῶν τῶν πάντων ἐπὶ ταύτην ἄνιμεν τὴν ἀρχήν, ὡς δὲ ἀπὸ ἑνὸς τῶν πάντων ἐπὶ τὸ ἕν· τί δὲ ἑκάτερον πάντα, τὸ μὲν ἕν, ὡς ὁμοῦ τὰ πάντα, τὰ δὲ πολλὰ ὡς πολλὰ τὰ πάντα; καὶ μήποτε πάντα μέν, ὡς ἤδη ἀνηρτισμένα, ἀπὸ τοῦ ἑνὸς πρόεισιν, πολλὰ δὲ ὡς ἔτι ἄπειρα καὶ ἀόριστα καὶ οὔπω ἐν τέλει ἀπὸ τῆς δευτέρας ἀρχῆς. Τοσαῦτα καὶ περὶ ταύτης εἰρήσθω τῆς ἀπορίας. Πρὸς δὲ τὰ ἐφεξῆς ἀνωτέρω τῶν εἰρημένων ἓν μὲν ἐκεῖνο λέγομεν πρὸ πάντων ὅτι, ἐὰν κόσμος ἀπὸ κόσμου προΐῃ ὅλος ἀφ’ ὅλου, οἷον δημιουργικὸς ἀπὸ τιτανικοῦ, ἢ τιτανικὸς ἀπὸ συνοχικοῦ, ἢ νοερὸς ἀπὸ νοητοῦ, ὅλος ὁ πρότερος εἰς ὅλον πρόεισι τὸν δεύτερον, καὶ οὐδὲν ἄνω μένει ἐν τῷ προτέρῳ ἐξαίρετον; ἢ οὕτω γε τὸ μένον τοῦτο ἄγονον ἔσται καὶ ἀπρόοδον παντελῶς· ὥστε τοῦτον μὲν τὸν τρόπον οὐχ ὑπερέξει τούτου ἐκεῖνος, τῷ εἶναί τι ἐκεῖ ὃ μὴ καὶ ἐνταῦθα· τοὐναντίον γὰρ ὑπολαβεῖν πρόχειρον ὡς ἐκφαίνεταί τι ἐν τοῖς δευτέροις ὃ μήπω ἐν τοῖς προτέροις διακρίνεσθαι πέφυκεν. Ἀλλὰ γὰρ οὐδὲ τοῦτο ἀληθές· ἕν ἐστι γὰρ καὶ ἐκεῖ συνῃρημένον, τὸ ἐν τούτῳ διακρινόμενον, ᾗ ποθεν διακρίνεται. Πῶς δὲ πάντα φαμὲν πανταχοῦ, εἰ καὶ ἄλλως καὶ ἄλλως; ὅταν δὲ λέγωμεν τὰ κάτω πλείω τῶν ἄνω, κατὰ διάκρισίν φαμεν, ἐπεὶ καὶ ἐκεῖ τὰ αὐτὰ συνῄρηται. Πῶς οὖν ἄλλα ἀλλαχοῦ λέγομεν ἐκφαίνεσθαι κατὰ τὴν ὕπαρξιν; ὅπου γὰρ ἕκαστον παρέχεται πᾶσιν εὔκαιρον τὴν ἑαυτοῦ ἐνέργειαν, ἐνταῦθά που τὴν οἰκείαν φύσιν διακρίνει ἀπὸ τῶν ἄλλων· καὶ αὕτη ἐστὶν ἡ ἑκάστου λεγομένη πρώτη ὕπαρξις, ἡ ἀπὸ τῶν ἄλλων ἰδιοτήτων διακριθεῖσα πρώτη ἑκάστου ὕπαρξις; ἢ καὶ τοῦτο μὲν ἀληθές (οὐ γὰρ πανταχοῦ πάντα ὡσαύτως, ἀλλ’ ὅπου μὲν ἡνωμένα, ὅπου δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διακρινόμενα), πάντα δὲ ὅμως ἐν παντὶ κόσμῳ, τῷ τε νοητῷ (πάντα ἐστὶ γάρ, ἀλλὰ νοητῶς, φησὶ τὸ λόγιο ν), καὶ ἐν τῷ αἰσθητῷ, καὶ δῆλον ὅτι ὃ ἐν τοῖς μέσοις.

1.235 Πῶς οὖν ἀεί φαμεν τὸν ἀνωτέρω τοῦ ὑπ' αὐτὸν ὁλικώτερον εἶναι, καὶ περιέχεσθαι μὲν τοῦτον, ἐκεῖνον δὲ περιέχειν, εἰ μηδεμία κατὰ τούτου ἐν ἐκείνῳ ὑπεροχή, πάντων ἐν ἑκατέρῳ ὄντων. Ἴσα δὲ ἐξ ἀνάγκης τὰ πάντα τοῖς πᾶσιν; ἢ μάλιστα μέν, καὶ εἰ πλήθει ἴσα τῷ γε μεγέθει, δύναται ὁ ἕτερος τὸν ἕτερον περιέχειν, καὶ ὁ εἷς ἐνίοτε τοὺς πλείους, ὥσπερ ἡ ἀπλανὴς σφαῖρα τὰς ἑξῆς ἁπάσας, καὶ ὁ κρόνιος τὸν δίιον περιέξει, κἂν ἴσος ᾖ τῷ πλήθει τῶν εἰδῶν, τῇ περιοχῇ καὶ τῇ ὄψει καὶ οἷον τῇ μεγαλειότητι τῆς φύσεως. Ἔπειτα χρὴ συννοεῖν ὅτι τῶν ἀνωτέρω ἀεὶ πάντα ὑφιστάντων τὰ μεθ' ἑαυτὰ καὶ γεννώντων, συμβήσεται πλείω γεννᾶσθαι ἀπ' ἐκείνων ἤπερ ἀπὸ τούτων, οἷον ὁ νοητὸς κόσμος παράγει πάντας ὁμοῦ τοὺς μεθ' ἑαυτόν, τὸν νοερόν, τὸν ὑπερκόσμιον, τὸν ἐγκόσμιον· ὁ δὲ νοερὸς μόνους τοὺς δύο, ὁ δὲ ὑπερκόσμιος ἕνα μόνον, τὸν αἰσθητόν, ἢ ὁσαχῶς ἄν τις τέμοι τὰ προϊόντα εἰς κόσμους πλείονας. Οὐκοῦν ὁ μὲν νοητὸς ὁλικώτατος, ὅτι πάντων περιληπτικός, ὁ δὲ αἰσθητὸς ἢ ὅγε ὑποσέληνος μερικώτατος, ὅτι ἔσχατος καὶ τὰ μέρη ἑαυτοῦ μόνα περιέχων· οἱ δὲ μέσοι ἀνάλογον περιέχουσί τε καὶ περιέχονται. Οὕτω δὲ καὶ ἐπὶ σειρᾶς ἑκάστης ἴδοι τις ἂν τὸν προτεταγμένον ὁλικώτερον, τὸν δὲ ὑποτεταγμένον μερικώτερον. Ἔτι δὲ ἕτερον λέγωμεν περὶ τῶν αὐτῶν ὡς εἰ μὲν εἴποι τις τὸν δημιουργικὸν ὅλον κόσμον ἀπὸ τοῦ τιτανικοῦ προελθεῖν, οἱ νῦν δὴ ῥηθέντες ἁρμόσουσι λόγοι περὶ τῶν κόσμων· εἰ δὲ ἀπὸ Κρόνου τὸν Διὰ παράγοι τις, ἴσμεν ὅτι μετὰ ἄλλων πολλῶν ὁ Ζεὺς ἀπὸ Κρόνου γεννᾶται καὶ παρὰ τοῖς Ἕλλησι καὶ παρὰ τοῖς βαρβάροις, ὡς ἀπὸ τοῦ Οὐρανοῦ πάλιν μετὰ ἄλλων ὁ Κρόνος, καὶ αὖ πάλιν ἀπὸ τοῦ Διὸς Διόνυσο ς. Εἰ δὲ οἱ μὲν κατὰ μέρη διανειμάμενοι τὸν ὅλον πατέρα ἕκαστον, οἱ δὲ μονοειδῶς ἀφ' ὅλου προελθόντες (διὸ καὶ διάδοχοι οὗτοι καθίστανται τῶν πατρικῶν βασιλειῶν), οὐδὲν τοῦτο παραθραύει τὴν τοῦ λόγου ἀλήθειαν.

1.236 Ὁ γὰρ Ζεύ ς, φέρε εἰπεῖν, τοὺς πολλοὺς ἀφ' ἑαυτοῦ παραγαγὼν κατὰ μέρη θεούς, ἐπὶ τούτῳ τῷ ὁλοτελεῖ μερισμῷ τὴν μεριστὴν ὁλότητα παρήγαγεν, καὶ τοὺς ὑπὸ ταύτῃ πολλοὺς τεταγμένους θεούς; Ἢ οὐχὶ καὶ τοὺς Τίτανας ὁ Ζεὺς ἐγέννησεν ἐν τῷ οἰκείῳ διακόσμῳ κατὰ τὴν ὀρφικὴν παράδοσιν; οὕτω δὴ καὶ ὁ Κρόνος ἐπὶ πολλῇ γενεᾷ τῇ πρότερον, ἐπ' ἐσχάτῳ παράγει τὸν ὅλον Δία τῆς ἑτέρας ἐξάρχοντα βασιλείας· τὰ δὲ ὅμοια καὶ τὸν Οὐρανὸν ὑφιστῶντα παραδίδωσι μετὰ τοὺς ἄλλους Οὐρανίδας τὸν Κρόνον ἔσχατον· καὶ ἀντιπλεονεκτεῖν διὰ τοῦτο πρὸς ἀλλήλους ῥητέον τοὺς παραγομένους, τοὺς μὲν ὄντας ἐν τῷ πατρὶ καὶ παρὰ τῷ πατρί, μερικωτέρους δὲ ὅμως ὄντας, καὶ τοὺς ἐξισταμένους μὲν τῆς πατρικῆς ἰδιότητος καὶ τὴν κοινοτέραν προβαλλομένους, ὁλικοὺς δὲ ὄντας καὶ τὴν ἀναλογίαν φυλάττοντας τῶν γεννησαμένων πρὸς τοὺς ἀπ' αὐτῶν γεννωμένους. Ἀναλογοῦσι μὲν οὖν ὅλοι τοῖς ὅλοις, οὐ μὴν ἀπὸ τῆς ἴσης ἀντιπαρατείνονται τοῖς προτέροις οἱ δεύτεροι βασιλεῖς· ταῦτα μὲν οὖν ἄλλος τρόπος λόγων. Ἔτι δὲ ἐπὶ τούτοις ἐκεῖνο λέγωμεν πρὸς τὰς αὐτὰς ὑποκειμένας ζητήσεις ὡς ὁ γεννῶν, οἷον ὁ Ζεὺς παράγει, καὶ ἕνα παράγει ἀφ' ἑαυτοῦ καὶ πολλούς, ἀλλ' ἑκατέρους ἢ καθ' ἑαυτὸν ὅλον, ἢ κατά τι τῶν ἐν αὐτῷ τὸν ἅπαντα χορὸν τῶν διίων θεῶν, καθ' ἑαυτὸν ὡς ἕνα, πάλιν τοὺς πολλοὺς ἅμα κατὰ τὰ ἐν αὐτῷ πολλὰ τόσα καὶ τόσα, ἕκαστον δὲ ἰδίᾳ κατά τι τῶν ἐν ἑαυτῷ. Οὕτω μὲν τοίνυν ἓν ἀφ' ἑνός, ὅτι κατὰ τὰ πολλὰ ἐν ἑαυτῷ περιεχόμενα· πάλιν ὁ χορὸς τῶν πολλῶν κατὰ τὸ διακεκριμένον πλήρωμα ὅλον ἑαυτοῦ, τὸν δὲ Διόνυσον καθ' ὅλον τὸ ἡνωμένον· ὥστε ταῦτα μὲν οὐκ ἄν τις εἰκότως θαυμάσειεν. Καὶ γὰρ ἀφ' ἑνὸς ἓν τό τε ὅλον καθ' ὅλον καὶ τὸ μέρος κατά τι ἕκαστον, καὶ πολλὰ ἀφ' ἑνός, ἀλλ' ὡς πεπληθυσμένου· ὁ μὲν χορὸς καθ' ὅλον, τὰ δὲ πολλὰ ἕκαστα κατὰ τὰ ἐν τῷ ἑνὶ πολλὰ ἕκαστα. Πῶς δὲ ἡ μὲν ὁμοειδής, ἡ δὲ ἀνομοειδής; ἢ ὅτι ὁ Ζεὺς κατὰ μὲν τὴν ἑαυτοῦ ἰδιότητα παράγει συνώνυμόν τινα σειράν, κατὰ δὲ τὴν προειλημμένην αἰτίαν ἐν αὐτῷ Διόνυσόν τε καὶ τοὺς ἄλλους ἑτερωνύμους θεούς. Τί

οὖν; οὐ κατὰ τὸ ὅλον ἑαυτοῦ γεννᾷ τὸν Διόνυσον, καὶ κατὰ τὰ ἑαυτοῦ μέρη τοὺς πολλοὺς θεούς; ὕπαρξις δὲ αὐτοῦ ἐστι τὸ ὅλον ἅμα καὶ τὰ μέρη· διὰ τί οὖν οὐχὶ καὶ ἡ τούτων πρόοδος ὁμοειδής, ἅτε καθ' ὕπαρξιν γενομένη; Εἰ δὲ τοῦτο, συνώνυμος, ὅπερ οὐκ ἔστιν· οὐ γὰρ Ζεὺς οἱ πολλοὶ θεοί, οὐδὲ εἷς ὢν καὶ ταῦτα ὁ Διόνυσος · τίς δὲ καὶ ἡ ὕπαρξις ἐκείνη, καθ' ἣν ἡ σειρὰ πρόεισι τοῦ Διὸς συνωνύμως; οὐδὲ γὰρ τὸ ὅλον· ἀντιδιῄρηται γὰρ πρὸς τὰς ἀπὸ τῶν ἄλλων μερῶν ἑκάστου προϊούσας· οὔτε κατὰ πάντα ὁμοῦ τὰ μέρη, διὰ τὴν αὐτὴν αἰτίαν· εἰ δὲ καὶ αὕτη κατά τι τῶν ἐν αὐτῇ περιεχομένων, πῶς μόνη τῷ ὅλῳ συνωνυμεῖ; διαπλακείη δ' ἂν ἡ ἀπορία τετραχῶς.

1.237 Εἴτε γὰρ καθ' ὅλον παράγοιτο τὸ παραγόμενον, ποτὲ μὲν συνώνυμόν ἐστι τῷ παράγοντι, ὡς ὁ ἑπταχῇ προϊὼν ὅλος δημιουργὸς παρὰ τοῖς Χαλδαίοις, δὶς γὰρ ἕκαστος ἐπέκεινα ἀνυμνεῖται, καὶ πάντα ἐν αὐτῷ συνείληφεν ἅπερ καὶ ὁ πρῶτος, εἰ καὶ μερικώτερός ἐστι τῇ ὑφέσει τῆς τάξεως, ποτὲ δὲ ἑτερώνυμον, ὥσπερ ὁ Διόνυσο ς· εἴτε κατά τι μέρος παράγοιτο, πάλιν αὖ ποτὲ μὲν συνώνυμος ἡ παραγωγὴ ὡς ἡ σειρά, ἂν οὕτω τύχοι, τοῦ Διὸς ἀπὸ τοῦ ὅλου Διό ς, ποτὲ δὲ ἑτερώνυμος, 〈ὡσ〉 Ἀθηνᾶ ἀπὸ Διό ς . Μήποτε οὖν διττὸς ὁ ἑκάστου μερισμὸς τοῦ παράγοντος, καὶ ὁ τῶν παραγομένων, ὁ μὲν κατὰ βάθος τῆς καθ' ὕφεσιν ἀπορρεούσης ὅλης σειρᾶς, ὁ δὲ κατὰ πλάτος τῶν ἐν αὐτῷ περιεχομένων εἰδῶν ἢ μερῶν ἀνομοιομερῶν. Ὁ μὲν γὰρ κατὰ βάθος ἐν αὐτῷ προειλημμένος μερισμὸς ὁμοιομερής ἐστιν, διὸ καὶ συνώνυμος· ὁ δὲ ἄλλος ἀνομοειδής, ὅθεν καὶ ἡ κατὰ τοῦτον γέννησις ἑτερώνυμος· ὁ μὲν γὰρ πρῶτος καὶ δεύτερος δὶς πρόεισιν ἀπὸ τοῦ παντελοῦς καθ' ὅλον αὐτόν· διὸ συνωνυμεῖ· ἡ δὲ ἐπὶ μαγειῶν πηγὴ κατά τι τῶν ἀνομοιομερῶν. Ὁμοίως δὲ καὶ ἑκάστη τῶν καλουμένων μερικῶν πηγῶν, ὧν ἑκάστη σειρᾶς οἰκείας ἐξηγεῖται ὁμοειδοῦς, διὰ τὸν ὁμοιομερῆ κατὰ βάθος αὖ μερισμόν. Εἰ δὲ καὶ ἔν τινι τούτων περιέχοιτό τις ἀνομοιομερὴς κατὰ πλάτος, οἷον ἐν τῇ ἡλιακῇ πηγῇ ἡ ἀπολλωνιακ ή, καὶ ἐν ταύτῃ ἡ ἀσκληπιακ ή, πάντως ὅτι καὶ τούτων ἡ ἀπογέννησις ἀνομοειδής. Ἀλλὰ καὶ τὸν φιλόσοφον τρόπον ἀπὸ τοῦ ἁπλῶς νοῦ πρόεισιν ἡ κατὰ βάθος ἀπογέννησις ὁμοειδής, ὅλην πανταχοῦ συνεισάγουσα τὴν κατὰ πλάτος τῶν εἰδῶν περιοχήν.

1.238 Εἰ δὲ ψυχήν, ἢ φύσιν, ἢ σῶμα παράγοι ὁ νοῦς, ἀνομοειδῶς παράξει κατά τι τῶν ἐν αὐτῇ περιεχομένων. Ὥστε καὶ εἰ κατὰ τὸ καλὸν ἢ τὸ ἀγαθὸν ἢ τὸ δίκαιον, καὶ οὕτως ἀνομοειδής. Τὸ οὖν καλὸν ἢ τὸ δίκαιον γεννώμενόν τί ἐστιν· ἢ γὰρ νοῦς, ἢ ψυχή, ἢ ἐν θατέρῳ τούτων, ἢ ἐν ἑκατέρῳ. Διὰ τί οὖν ψυχὴ μὲν καὶ νοῦς καὶ σῶμα καθ' αὑτὸ καὶ αὐτοτελὲς ἕκαστον, τὸ δὲ καλὸν καὶ τὸ δίκαιον καὶ τῶν γενῶν ἕκαστον οὐ τοιοῦτον; τίς γὰρ ἡ ἀποκλήρωσις; καὶ διὰ τί ὕλη μὲν εἰς πάντα προῆλθε τὰ εἴδη, καὶ πάντα ὑπεδέξατο, τῶν δὲ ἄλλων ἕκαστον οὐκέτι; Ἢ πρῶτον μὲν τὰ ἁπλούστερα τῶν εἰδῶν καὶ στοιχείων ἢ μερῶν ἐπέχοντα λόγον, ἀεὶ συμπεφυκότα ἀλλήλοις, τὴν καθ' ἑαυτὴν κεχωρισμένην ἀπαρνεῖται ὑπόστασιν, τὴν μετ' ἀλλήλων ἡνωμένην τελειοτέραν ἔχοντα φύσιν τῆς διαστάσης εἰς αὐτοτέλειαν διακεκριμένην. Δεύτερον δὲ καὶ τὸ καλὸν καὶ ἡ στάσις, καὶ πάντα ἁπλῶς τὴν εἰς πάντα ἐποιήσατο πρόοδον, οἷον τὸ καλὸν εἰς ἕκαστον εἶδος ἐχώρησεν, διὸ καὶ προῆλθεν εἰς πᾶσαν πρόοδον. Τρίτον δὲ ὁ ἁπλῶς νοῦς καθ' ἕκαστον εἶδος τῶν ἐν ἑαυτῷ περιεχομένων ἀπογεννᾷ νοῦν πρῶτον, εἶτα ψυχήν, εἶτα ζῷον, καὶ φύσιν τινὰ ἔνυλον εἰδοποιουμένην τῷ εἴδει ἐκείνῳ καθ' ὃ πρόεισιν, ὡς ἄν τις εἴποι, τῷ μὲν καλῷ τὸν ἀφροδίσιον νοῦν, τῷ δὲ δικαίῳ τὸν τῆς Δίκης, τῷ δὲ ἀγαθῷ τὸν τοῦ ἀγαθοῦ δαίμονος, φέρε εἰπεῖν, κατὰ ἄλλο δὲ τῶν εἰδῶν ἄλλον νοῦν ἑστῶτα. Μήποτε γὰρ ὅλον τὸ βάθος μερίζεται καθ' ὅλον τὸ πλάτος, ἐξαλλαττόμενον τῇ ἐπικρατείᾳ τῶν εἰδῶν ἑκάστου ἀεί τινος· ἔχειν δὲ καὶ τὸ πλάτος οἴεσθαι χρὴ βάθος τι ἴδιον, ὡς πρώτων ἐν αὐτῷ καὶ μέσων καὶ τελευταίων θεωρουμένων, οἷον τῶν γενῶν, εἶτα τῶν ἐκ τούτων ὁλικωτέρων, εἶτα τῶν μερικωτέρων, ἕως τῶν μερικωτάτων, ἃ καὶ δοκεῖ διὰ τὴν πολλὴν σύνθεσιν εἶναι αὐτοτελῆ καὶ ἐφ' ἑαυτῶν ὑφεστῶτα, καὶ τούτων δὲ αὖ πάλιν ἕτερον τρόπον βαθυνομένων. Μετὰ γὰρ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νοερὰν ὑπόστασιν ἡ ψυχική, καὶ μετὰ ταύτην ἡ σωματοειδής· ὅθεν καὶ αὕτη ἀνομοειδής, ὅτι πλάτους ἐστὶ καὶ αὕτη πρόοδος, βαθυνομένου καὶ αὐτοῦ τοῦ πλάτους εἰς τὴν τῶν κοιλοτέρων ἀνομοειδῶν ἀπογέννησιν.

1.239 Ἀλλὰ ταῦτα μὲν ἐπὶ πλέον ἴσως τοῦ μέτρου. Τάχα δὲ πολλὴν περιελθόντες οὐδὲν ἠνύσαμεν· πάλιν γὰρ τὸ ἐξ ἀρχῆς ἐοίκαμεν λέγειν ὡς τὰ μὲν κατὰ τὴν ὕπαρξιν ὁμοειδῶς προϊέναι, τὰ δὲ κατὰ τὴν προειλημμένην αἰτίαν ἀνομοειδῶς. Τίς οὖν ἡ αἰτία, καὶ πῶς ἄλλη τις φύσις ἐν ἄλλῃ προείληπται; διὰ τί γὰρ ἡ ἄλλου ὕπαρξις οὐκ ἔστιν ἄλλου αἰτία; ἐπ’ αὐτὰ γὰρ ἥκομεν ἤδη τὰ πρεσβύτερα τῶν ἀπορημάτων. Καὶ δὴ λέγωμεν πρῶτον ὅτι ἄλλη μὲν ἡ τοῦ γεννῶντος ὕπαρξις, ἄλλη δὲ ἡ τοῦ γεννωμένου αἰτία, ἄλλως τε καὶ ἡ τοῦ ἀνομοειδοῦς. Εἰ γὰρ ὅ ἐστι κάτω τὸ δυνάμει παρὰ τὴν ὕπαρξιν, ὡς ἔδειξεν ἐναργῶς Ἀριστοτέλης, πάντως ὅτι καὶ τὸ κατ’ αἰτίαν ἄλλο παρὰ τὴν ὕπαρξιν. Ἔτι δέ, εἰ μόνη ἐστὶν ἡ τοῦ γεννῶντος ὕπαρξις, ἀφ’ ἑαυτῆς δὲ γεννᾷ καὶ καθ’ ἑαυτήν, πῶς ἔτι γεννήσει τι ἀνομοειδές, μηδενὸς ἑτέρου αὐτῇ ἐγκαταμεμιγμένου παρ’ ἑαυτὴν ὄντος; τῷ γὰρ εἶναι γεννῶσα κατὰ μετάδοσιν τῆς οἰκείας φύσεως ὑποστήσει τὸ γεννώμενον· δεῖ ἄρα προειληφέναι τινὰ καὶ αἰτίαν τοῦ ἀνομοειδοῦς, καθ’ ἣν ἄλλο τι οὖσα ἄλλο γεννήσει. Ἔτι τοίνυν εἰ ἄλλο ἁπλῶς ἄλλου γεννητικὸν ἄνευ τινὸς αἰτίας προειλημμένης, διὰ τί μὴ τὸ τυχόν γε ἀπὸ τοῦ τυχόντος πρόεισιν, ὕπαρξιν ἔχοντός τινα τὴν ἄνευ αἰτίας; Ταῦτα μὲν οὖν ἐστι τὰ πείσαντα τοὺς παλαιοὺς φιλοσόφους ἀπὸ τῶν κατ’ αἰτίαν προϋπαρχόντων τὰ παραγόμενα πάντα παράγειν. Ἀλλὰ μὴν δεινὸς ὁ λόγος, εἴ τις φῇ τὴν αἰτίαν προειλῆφθαι ἔν τινι, μὴ οὖσαν αὐτοῦ ὕπαρξιν. Πρῶτον μὲν γὰρ αὕτη ἡ αἰτία ὁπόθεν ἐγεννήθη; Εἰ μὲν γὰρ ἀπὸ ἄλλης αἰτίας, ἐπ’ ἄπειρον ἥξομεν, εἰ δὲ ἀπὸ τῆς ὑπάρξεως, πῶς ἀνομοειδὴς ἡ αἰτία καὶ ἀνομοιοειδοῦς; Ἔπειτα εἰ τὸ εἶναι γεννᾷ, τὸ δὲ εἶναι ἑκάστου ἡ οἰκεία ὕπαρξις, δῆλον ὡς καὶ τὸ ἀνομοιοειδὲς ἀπὸ τῆς οἰκείας γεννᾶται ὑπάρξεως· ὥστε καὶ ἡ λεγομένη αἰτία μέρος τι ἦν τῆς ὑπάρξεως, ἐπεὶ καὶ τὸ πρῶτον τῶν ἐπιχειρημάτων εὖ ἔχει πρὸς τὸ ἐναντίον. Καὶ γὰρ τὸ δυνάμει ἐνόν τινι μέρος ἐστὶ τῆς ὑπάρξεως· τὸ γὰρ εἶδος αὐτοῦ πεφυκέναι λέγεται πρὸς ἄλλο καὶ δυνάμει εἶναι, ὡς ὁ χαλκὸς ἀνδριάς· φύσει γὰρ εὔπλαστος ὁ χαλκός, καὶ τὸ εὔπλαστον οἷον μέρος ἐστὶ τῆς χαλκοῦ φύσεως.

1.240 Ἀλλ’ εἰ ταὐτὸν ὕπαρξις καὶ αἰτία, πῶς ἡ μέν ἐστιν ὁμοειδής, ἡ δὲ ἀνομοειδὴς γέννησις; ἢ ὅση μὲν κατὰ τὴν ὕπαρξιν, ὁμοειδής, ὅση δὲ οὐχ ἁπλῶς, ἀλλὰ τὴν νεύσασαν πρὸς ἑτέρου γέννησιν, ἀνομοειδής; Μήποτε γὰρ ἡ αἰτία μηδὲν ἄλλο εἴη ἢ ὕπαρξις εἰς ἑτερότητα νεύσασα, καὶ διὰ τοῦτο ἑτεροποιὸς γενομένη, ἡ δὲ ἐφ’ ἑαυτῆς μείνασα, ταυτοποιός. Ἀλλὰ μὴν καὶ ἡ ὁμοειδής, εἰ μὴ νεύσειεν ἡ ἁπλῶς ὕπαρξις, οὐκ ἂν γεννηθείη· καὶ γὰρ ὅλως τὸ γεννῶν αἴτιον τοῦ γεννωμένου. Τίς οὖν ἡ διαφορὰ τῆς αἰτίας, εἴπερ πᾶσα αἰτία νεῦσίς ἐστι τοῦ γεννῶντος πρὸς τὸ γεννώμενον; Τάχα οὖν ἄμεινον ὕπαρξιν λέγειν διττήν, τὴν μὲν κατὰ τὸν ὁμοιομερῆ μερισμόν, τὴν δὲ κατὰ τὸν ἀνομοιομερῆ μερισμόν, τὴν δὲ κατὰ πλάτος. Πάντα γὰρ ὅσα ἀπ’ αὐτοῦ πρόεισι περιέχεται ἐν τῷ προάγοντι, κατὰ μίαν συναίρεσιν, ἣν ὕπαρξιν ἐκείνου τίθεσθαι ἀναγκαῖον. Ὅσα γὰρ ἕκαστόν ἐστι, τοσαῦτα προβάλλεται ἀφ’ ἑαυτοῦ, καὶ ἔστι τὰ παραγόμενα πάντα ἀνέλιξις τῆς τοῦ παράγοντος συναιρέσεως, ὡς πᾶς ἀριθμὸς τῆς μονάδος ἐστὶ προποδισμός· οὕτω γὰρ καὶ τὸ μὲν ὁλικόν, τὰ δὲ μερικώτερα λέγομεν ὅσα διανέμεται κατὰ μέρη τὴν τοῦ ὅλου περιοχήν. Πῶς γάρ; οὐκ ἀνάγκη τὸ ἁπλῶς ζῷον πάντα ὅσα ἐστὶ ζῷα περιέχειν, οὐ μόνον κατὰ βάθος, οἷον οὐράνιον καὶ ἀέριον, καὶ ὑδραῖον καὶ χθόνιον, ἀλλὰ καὶ κατὰ πλάτος, οἷον ἄνθρωπον καὶ βοῦν καὶ ἵππον; Οὕτω δὲ καὶ ἡ νοῦ ὕπαρξις οὐ μόνον τὸ συνῃρημένον ἐν αὐτῷ βάθος, ἀλλὰ καὶ τὸ πολύμορφον τῶν εἰδῶν πλάτος, ὥσπερ καὶ ἐν τῷ διίῳ νῷ καὶ ἐν αὐτῷ τῷ θεῷ πάντες εἰσὶ καθ’ ὕπαρξιν, οἱ μὲν ὁλοτελῶς προϊόντες τὴν κατὰ βάθος συνῃρημένην, οἳ καὶ προέρχονται παντελεῖς, καὶ τῷ ὅλῳ συνωνυμοῦντες, ὡς οἱ ζ δὶς ἐπέκεινα δημιουργοὶ παρὰ τοῖς θεουργοῖς, οἱ δὲ κατὰ μέρος προερχόμενοι καὶ διανεμόμενοι τὴν τοῦ ὅλου διανομήν· καὶ διὰ

τοῦτο τῆς γεννώσης ἐξιστάμενοι φύσεως, καὶ ἑτερώνυμοι καθιστάμενοι πρὸς αὐτήν, ἀπ’ αὐτῆς μὲν γεννῶνται, κατὰ δέ τι τῶν τὴν ὕπαρξιν αὐτὴν συμπληρούντων, ἀλλ’ οὐ καθ’ ὅλην αὐτήν.

1.241 Οὕτως ἄρα καὶ ἡ ἀνομοειδὴς ἀπὸ τῆς ὑπάρξεως πρόεισι τῆς διῃρημένης, καὶ κατά τι τῶν ἐν αὐτῇ διῃρημένων. Ἀλλ’ ἡ Διὸς σειρὰ πῶς ἀπὸ Διὸς μία τῶν πολλῶν ἀπό του σειρῶν ἀπορρεουσῶν; ἢ πᾶσα συνωνυμία καθ’ ὅλον παράγεται τὸ παράγον· καὶ διὰ τοῦτο τῷ ὅλῳ συνωνυμεῖ, εἰ καί πη ἀποκλίνει μᾶλλον διὰ τὸ μερικώτερον· πᾶς γὰρ Ζεὺς πάντων θεῶν πατήρ, εἰ κατά τινα μᾶλλον τῶν ἐν αὐτῷ θεῶν προελήλυθεν. Ὁ μὲν γὰρ δὶς ἐπέκεινα πανταχοῦ ὅλος· εἰ δὲ καλοῖτο καὶ αὐτὸς Ζεύ ς, καὶ μία τῶν ἐν αὐτῷ μερικῶν πηγῶν Ζεύ ς, ὡς ἄλλη Ἥλιος, καὶ ἄλλη Ἀθην ᾶ· καὶ γὰρ ἑκάστη θεοῦ σειρὰ μερικὴ ἀπὸ πηγῆς τινος ἀπορρεῖ μερικῆς. Οὕτως οὖν εἴ τις εἴη πηγὴ Διὸς καλουμένη, ὁμώνυμος τῇ ὅλῃ, καὶ αὐτὴ παράξει σειρὰν ἀφ’ ἑαυτῆς μερικήν. Μήποτε δὲ ἡ μὲν ὅλη πηγὴ οὐκ ὀνομάζεται Ζεύ ς, ἡ δὲ μερικὴ μόνη, ἤγουν ἀνάπαλιν· εἰ δὲ κοινὸν τὸ ὄνομα, ὁμωνυμία ἔστω· φύσις γὰρ ἑκατέρας διάφορος, εἴπερ ἐστὶν ἡ μὲν τῶν ὅλων πηγῶν, καὶ σειρὰν πηγαίαν μόνον ἀφίησιν ἀφ’ ἑαυτῆς, ἡ δὲ τῶν μερικῶν καὶ πρόεισιν εἰς ἀρχὰς καὶ ἀρχαγγέλους, καὶ ἀζώνους καὶ ζώνας, ὡς νόμος ἐστὶ τῆς προόδου τῶν μερικῶν ὑμνουμένων πηγῶν· ἤδη γὰρ καὶ ἐπὶ ἄλλων πηγῶν ὁλικῶν τε καὶ μερικῶν ἡ ὁμωνυμία τεθεώρηται, εἰ καί τις ἅμα καὶ συγγένεια θεωροῖτο τῆς φύσεως, καὶ τὴν ὁμωνυμίαν παρασχομένη, καθάπερ διίων καὶ τῶν συνοχέων, καὶ τῶν τελεταρχῶν τῶν ἀρχικῶ ν. Πᾶσα γὰρ ἀρχὴ ἀπὸ μερικῆς πηγῆς ἀπορρεῖ. Τοιγαροῦν καὶ ἡ ἀρχικὴ ἑκάστη ἀπὸ τοῦ στεφάνου λέγεται ἀπορρεῖν, ὡς ἡ ἀρχικὴ ψυχὴ καὶ ἡ ἀρχικὴ ἀρετὴ ἀπὸ τῶν κατὰ τὸν ζωστῆρα μερικῶν πηγῶν. Οὕτω δὲ καὶ ἀμειλίκτων πηγὴν μερικὴν ἐγκαταριθμεῖ ταῖς μερικαῖς πηγαῖς ὁ Ἰάμβλιχος, ὥσπερ ταῖς ὅλαις. Τί οὖν θαυμαστὸν εἴ τις ποιοῖ μερικὴν πηγὴν δημιουργικὴν ἄλλην παρὰ τὴν ὅλην, καὶ πᾶσαν περιεκτικήν, οἵαν ποιοῦσι τὴν ἐπὶ μαγειῶν, ἀφ’ ἧς οἰκείαν σειρὰν ἀπορρεῖν μερικήν, τὸ δὲ τοῦ διὸς ὄνομα φέροι ἐφ’ ἑκατέρας, καὶ τὸ τοῦ δημιουργοῦ, ἀλλ’ ὅπου μὲν ὡς ἀντιδιῃρημένον τῷ τελεσιουργῷ καὶ φρουρητικῷ, καὶ καθαρτικῷ, καὶ τοῖς μερικοῖς ἰδιώμασι τῶν μερικῶν πηγῶν, ὅπου δὲ καλῶν δημιουργικὸν τὸ πᾶν τῶν περὶ ὕλης διατριβόντων αἰτίων περιεκτικόν.

1.242 Ταῦτα μὲν τοίνυν τοιούτους ἀνέχω τοὺς ἀπολογισμούς. Ἐκεῖνο δὲ ἐκ πάντων συλλογιστέον, ὅτι τὰ ἐν τῇ προόδῳ μεριζόμενα τῇ ἀφ’ ἑνὸς ἐν τῷ ἑνὶ πάντη προείληπται τούτῳ κατὰ συναίρεσιν, οἷον σειρὰ ἑκάστη ἐν τῇ οἰκείᾳ μερικῇ πηγῇ, καθάπερ μόνη διάριθμος, καὶ ἡ πηγαία σειρὰ ὅλη τῆς ἑβδομάδος ἐν τῇ ὅλῃ πηγῇ· ἀλλὰ καὶ ἅπας ὁ τῶν μερικῶν πηγῶν ἀριθμὸς ἐν τῇ ὅλῃ οἰκείᾳ πηγῇ· προείληπται γὰρ τῶν ἔξω περὶ τὰς ὅλας πηγὰς ὑφισταμένων μερικῶν πηγῶν ὁ τῶν εἴσω μεριζομένων πολλῶν μερῶν πηγῆς ἑκάστης ὁλοτελοῦς μερισμός. Ὁ γὰρ περικείμενος τοῖς μέρεσι κόσμος ἀναλογεῖ τοῖς κοσμουμένοις ὑπ’ αὐτοῦ μέρεσι τοῦ θείου μορφώματος. Ὁ μέν γε ζωστὴρ ἀναλογεῖ ταῖς ἐζωσμέναις λαγόσι τῆς θεοῦ, ὁ δὲ στέφανος τοῖς κροτάφοις καὶ τῷ μετώπῳ τῆς θείας κεφαλῆς. Πάλιν δὲ ὁ μερισμὸς οὗτος τῶν μερῶν κατὰ πλάτος ὢν τῆς θεοῦ καὶ ἀπὸ τῆς ἀπορρεούσης ἑβδομάδος, ἀριθμὸς ἐν τῇ μονάδι κατὰ βάθος προειλημμένος, ἐν τῷ ἀμερίστῳ καὶ ὅλῳ συνήνωται. Καὶ δὴ καὶ ἡ ἕλης τῶν πρώτων πηγῶν ἑβδομὰς ἐν ταῖς τριάσι τῶν πρεσβυτέρων πηγῶν συνῄρηται, καὶ αἱ τριάδες αὖ πάλιν ἐν τῇ μίᾳ πηγῇ τῶν πηγῶν· ὥστε καὶ πᾶς ὁ μετ’ αὐτὴν εἴτε πηγαῖος μερισμός, εἴτε μερικώτερος ἐν αὐτῇ συνῄρηται μονοειδῶς. Εἰ δέ ἐστιν ἐν αὐτῇ τὰ πολλὰ συνῃρημένα, ἀφ’ ὧν διαιρεῖται καὶ τὰ πολλὰ ἄλλα ἀλλαχοῦ διακρινόμενα, πάντως ὅτι ἐν τῇ ἀκρότητι τοῦ νοητοῦ καταπίνεται καὶ ἡ τοῦ πλήθους ἔμφασις ὑπὸ τῆς ἑνώσεως. Τοῦτό τε οὖν πειστέον ἐκ τῶν εἰρημένων καὶ ὅτι πανταχοῦ τὸ ἔξω πλῆθος διακρινόμενον ἐν τοῖς ἀπογεννωμένοις ἀπὸ τοῦ εἴσω συνῃρημένου ἐν τοῖς γεννῶσιν ἐκφύεται· ὥστε καὶ ἀντιστρέφοντα ἀληθὲς εἶναι εἰπεῖν, ὡς εἰ πολλὰ εἶναι ἐν τῷ γεννῶντι, πάντως ὅτι καὶ ἐν τῷ προσεχῶς γεννωμένῳ ταῦτα διαβαίνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.243 Καὶ εἰ ἐν τῷ γεννωμένῳ πολλὰ ἔξω διακριθείη, πάντως ὅτι καὶ ἐν τῷ προσεχῶς γεννῶντι τὰ πολλὰ προφαίνεται· αἴτιον δὲ τὸ γόνιμόν τε εἶναι, ὃ προϋπάρχει ἐν τῷ γεννῶντι, καὶ πᾶν ὅπερ ὁρᾶται ἐν τῷ γεννωμένῳ προϋπογράφεσθαί πως ἐν τῇ γεννώσῃ αἰτίᾳ κατὰ τὴν ἐκείνης ὕπαρξίν τε καὶ συναίρεσιν. Τρίτον δὲ τούτοις ἑπόμενον, ὡς πάντα ἀεὶ τὰ δεύτερα ἐν τοῖς προτέροις, καὶ τὰ μερικώτερα ἐν τοῖς ὁλικωτέροις προείληπται, τὰ μὲν ὁμοειδῆ κατὰ βάθος, τὰ δὲ ἀνομοειδῆ κατὰ πλάτος ἔχοντα τὴν πρόληψιν. Τέταρτον δὲ ὅτι πάντα μεμέρισται εἰς τὰς οἰκείας τάξεις τε καὶ ὑπάρξεις· οὐδὲν μέντοι ἧττον πάντα ἐν πᾶσιν ἐστίν, οἰκείως δὲ ἐν ἑκάστοις, ὅπου μὲν ἀδιάκριτα, ὅπου δὲ διακρινόμενα, ὅπου δὲ διακεκριμένα, καὶ τούτων αὖ πάλιν, ὅπου μὲν ὡς στοιχεῖα ἐν τῷ στοιχειωτῷ, ὅπου δὲ ὡς μέρη ἐν ὅλῳ, ὅπου δὲ ὡς εἴδη καὶ ἀριθμὸς εἰδῶν ἐν μονάδι. Ἀνάλογον δὲ τῷ εἴσω πλήθει καὶ τὸ ἔξω πρόεισιν, ὅπου μὲν ὡς ἀριθμὸς ἀπὸ μονάδος οἱ πολλοὶ νόες ἀπὸ τοῦ ἑνὸς νοῦ, ὅπου δὲ ὡς μέρη ἀφ’ ὅλου, οἷον αἱ πολλαὶ ζωαὶ ἀπὸ τῆς μιᾶς, ὅπου δὲ ὡς στοιχεῖα ἀπὸ τοῦ στοιχειωτοῦ, ὡς ἀπὸ μιᾶς οὐσίας αἱ πολλαὶ οὐσίαι. Διόπερ αὗται μὲν ἀλλήλαις ὅτι μάλιστα συμπεφύκασι, καὶ ἡνωμέναι εἰς τρόπον τινὰ ἀδιάκριτον, αἱ δὲ ζωαὶ διακρίνονται μᾶλλον, καὶ ὡς μέρη ὅλου πρὸς ἀλλήλας εἰσίν, οἱ δὲ ἀριθμοὶ καὶ οἱ νόες εἰς αὐτοτελεῖς διακέκρινται περιγραφάς· ὅθεν γνωριμώτερόν ἐστι πολλοὺς εἶναι νόας μετὰ τὸν ἕνα καὶ ἀπὸ τοῦ ἑνός, ζωὰς δὲ εἶναι πολλὰς αὐτοτελεῖς οὔσας πρὸ τῶν νόων οὐχ ὁμοίως γνώριμον, καὶ οὐσίας γε ἥκιστα διὰ τὴν πολλὴν ἕνωσιν καὶ στοιχειώδη. Εἰ δὲ μὴ καὶ σαφές ἐστιν, ἀλλ’ ὅμως ἀναγκαῖον ὁμολογεῖν καὶ ζωὰς εἶναι πολλὰς καὶ οὐσίας, εἴπερ ἡ μὲν οὐσία στοιχειωτόν ἐστι καὶ μικτὸν ἐκ στοιχείων, ἡ δὲ ζωὴ κατὰ τὸ διακρινόμενον ὑφεστῶσα ὅλων ἐστὶ καὶ ἐκ μερῶν, ὁ δὲ νοῦς εἶδος ἐξ εἰδῶν. Ἕκαστον ἄρα ἓν καὶ πολλά· πᾶν δὲ τὸ εἴσω πλῆθος, ὡς εἴρηται, γεννητικόν ἐστι τοῦ ἐκτός. Δεῖ ἄρα καὶ μετὰ τὴν μίαν οὐσίαν τὰς πολλὰς οὐσίας προϊέναι καθ’ ἕν τι τῶν πολλῶν στοιχείων ἐπικρατοῦν εἰδοποιουμένην ἑκάστην, καὶ μετὰ τὴν μίαν ζωὴν τὰς πολλὰς ζωὰς ἀπορρεῖν ἄλλην κατ’ ἄλλο τι τῶν μερῶν ἰδίωμα κρατουμένην, ὥσπερ καὶ μετὰ τὸν ἕνα νοῦν οἱ πολλοὶ προεληλύθασι νόες, ἄλλος κατ’ ἄλλο τι τῶν πολλῶν εἰδῶν κρατούμενος· ἀεὶ γὰρ τὸ εἴσω πλῆθος γεννητικόν ἐστι τοῦ ἐκτός· μᾶλλον δὲ ὧδε ῥητέον ὡς τὸ μὲν ὅλον γεννᾷ καὶ τὸ ὅλον, τὸ δεύτερον ὅλον, τὰ δὲ μέρη καθ’ ἑαυτὰ τὰ ἐν τῷ δευτέρῳ μέρη, τὸ δὲ ὅλον καθ’ ἕκαστον τῶν μερῶν ὅλον τι μερικώτερον.

1.244 Οὕτω δὲ καὶ ἐπὶ τοῦ στοιχειωτοῦ καὶ τῶν στοιχείων, καὶ ἐπὶ τῆς μονάδος καὶ τοῦ παντὸς ἀριθμοῦ· καὶ γὰρ ἡ μονὰς τὸ ἑκάστου ἀριθμοῦ γεννᾷ μοναδικόν, τὸ δὲ ἐν τῇ μονάδι πλῆθος τὸ πανταχοῦ πλῆθος· ἡ μέντοι μονὰς κατὰ τὸν ἐν ἑαυτῇ ἀριθμὸν πάντα τε ἀθρόως τὸν ἀριθμὸν καὶ ἕκαστον καθ’ ἓν εἶδος εἰδοποιούμενον, ὅλον τι συνειληφὸς ἐν ἑαυτῷ πλῆθος οἰκεῖον. Ἔτι τοίνυν πρὸς τούτοις ἐκεῖνο συναγάγωμεν, ὅτι πάντα ἐν τοῖς προτέροις συνῄρηται ὅσα ἐν τοῖς ὑστέροις ἐπιδιακρίνεται· διὸ πάντα καὶ ἐν τῷ νοητῷ καὶ ἐν τῷ νοερῷ διακόσμῳ καὶ ἐν τῷ μέσῳ· ἀλλὰ γὰρ καὶ ἐν ἑκάστῳ τῶν κοιλοτέρων μέχρι τοῦ αἰσθητοῦ· ἀλλ’ οἰκείως ἐν ἑκάστοις τά τε ἄλλα, καθ’ ὅσα ἄν τις ἀφορίσαιτο τὸ οἰκεῖον ἑκάστοις, καὶ δὴ καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον, μᾶλλον δὲ τὸ ἰδιότροπον ἑκασταχοῦ τῆς ἑνώσεως καὶ τῆς διακρίσεως, ἐπεὶ καὶ τῷ περιέχοντι καὶ περιεχομένῳ διοίσουσιν ἀλλήλων. Τί οὖν; ἡ πρόοδος τῶν δευτέρων ἀπὸ τῶν προτέρων οὐκ ἔστι γέννησις, ἀλλ’ ἔκφανσις μόνον καὶ διάκρισις, ὥς φαμεν, τῶν ἄνω κεκρυμμένων καὶ συνῃρημένων; ἢ διάκρισιν λέγομεν τὴν ἱστῶσαν ἕκαστον κατὰ τὴν ἑαυτοῦ ὕπαρξιν, ἣ πρότερον οὐκ ἦν αὐτοῦ ἰδιότης· οὔπω γὰρ εἰς ἰδιότητα διεκέκριτο κατὰ τὴν ὅλην συναίρεσιν· ἦν γοῦν αὕτη ἄλλου ὕπαρξις τοῦ κατ’ αὐτὴν ὁλοφυῶς ὑπάρξαντος, ὥστε ταὐτὸν εἰπεῖν διακρίνεσθαι καὶ γεννᾶσθαι τὰ δεύτερα ἀπὸ τῶν προτέρων. Ἆρα οὖν πάντα συνῄρηται ἐν τοῖς πρὸ αὐτῶν ὅσα μετὰ ταῦτα διακέκριται; οὕτω γὰρ ἔσται συνῃρημένα καὶ τὰ ἄτομα τῶν εἰδῶν· ἡ γὰρ διάκρισις καὶ ταῦτα ἀπὸ τῶν πρώτων παρήγαγεν. Τοῦτο δὲ ἀτοπώτατον· ἢ γὰρ ἀπολείψει καὶ τὴν συναίρεσιν τὰ αἴτια τῶν ἀτόμων, ὅταν μηκέτι ᾖ, ἢ ὅταν μήπω ᾖ· καὶ ἔσται τι μὴ ἀεὶ ἐν

τῷ αἰωνίῳ, ἢ μάτην ἔσται ἀεί, τῶν αἰτιατῶν μὴ ὄντων ἀεί· διὰ τοῦτο γὰρ οὐδὲ παραδείγματα τῶν ἀτόμων ποιοῦμεν· ὥστε οὐδὲ τὰς προσυναιρέσεις τῶν τοιούτων ποιητέον. Ἀλλὰ μὴν ἐκ τῶν προτέρων καὶ ταῦτα γεννᾶται οὐ κατὰ ἀναγκαῖον προσυνῃρῆσθαι ἐν τῷ γεννῶντι τὸ γεννώμενον; ἢ τάχα μὲν τὰ τὸ εἶναι ποιοῦντα καὶ ἀπὸ τῆς ἑαυτῶν οὐσίας προβαλλόμενα τὰ οἰκεῖα γεννήματα, ταῦτά ἐστι τὰ προειληφότα τῶν γεννωμένων τὰς συναιρέσεις, ὅσα δὲ ταῖς ἐκτὸς ἐνεργείαις ἔξω πλάττει τὰ εἴδη, ὡς ἐπὶ τῶν τεχνητῶν, ταῦτα οὐκέτι προείληφεν.

1.245 Οὕτω δὲ καὶ τὰ ἄτομα γίνεται τῶν εἰδῶν ταῖς ἔξω τεινομέναις ἐνεργείαις τῶν κινουμένων αἰτίων. Πόθεν οὖν ἡ τοιάδε εἰδοποιία προέρχεται; ἀλλ' ἔξω πλάττεται· καὶ πόθεν πλάττεται, εἰ μὴ προειλήφοι τὸ πλάττον αὐτήν; ἢ τὰς οἰκείας ἐνεργείας εἰδοποιεῖ πρὸς τὴν πλάσιν, καὶ γίνεται τῶν εἰδῶν πρόληψις οὐκ ἐν ταῖς οὐσίαις, ἀλλ' ἐν ταῖς ἄλλοτε ἄλλως ἐχούσαις ἐνεργείαις. Πόθεν δὲ αἱ ἐνέργειαι εἰδοποιοῦνται; ἢ ἀπὸ τῶν καθόλου προειλημμένων εἰδῶν αἱ ἀεὶ προχειριζόμεναι ἄτομοι ἐνέργειαι, μεταβαλλόμεναι τοιωσδί, πλαττόμεναι καὶ σχηματιζόμεναι, καί, τὸ ὅλον εἰπεῖν, εἰδοποιούμεναι, ἀποτελεστικαὶ γίνονται τῶν ἀτόμων· καὶ αὕτη ἐστὶν ἡ τῶν ἀτόμων πρόληψις ἡ ἐν ταῖς μεταβαλλομέναις ἐνεργείαις μεταβαλλομένη, καὶ αὐτὴ μεταρρυθμιζομένων ἄλλοτε ἄλλως τῶν ἐνεργειῶν. Ἤτοι οὖν οὕτω διοριστέον περὶ τούτων, ἢ εἴ τις ἡμᾶς ἀναγκάσειε λόγος, καὶ τὸ ἀκίνητον αἴτιον εἶναι τῶν κινουμένων, οἷον τῶν γιγνομένων καὶ φθειρομένων ἀτόμων τὸν νοῦν εἶναι δημιουργόν, καὶ ὅλως τὴν πρώτην οὐσίαν, καὶ τήν γε μίαν τῶν ὅλων ἀρχήν· τί γὰρ οὐκ ἂν ἐκεῖθεν προΐοι; πῶς δὲ οὐ πάντων αἰτία εἶεν ἂν αἱ προκαθήμεναι πάντων ἀρχαί; τί δὲ τῶν δευτέρων οὐ περιέχεται ὑπὸ τῶν προτέρων; Εἰ δ' οὖν ταῦτα πείθοιτό τις, ὡς ἔγωγε πείθομαι, τί ἐροῦμεν πρὸς τὴν ἀπορίαν; ἢ τὴν ἀκίνητον αἰτίαν ἐν τῷ ἑαυτῆς ἀκινήτῳ συνῃρηκέναι, καὶ ταῦτα τὸν κοινὸν τρόπον τῆς καὶ ταῦτα ἀεὶ γεννώσης, οἷον ἀενάου φύσεως πάμφορος ἡ αἰτία καὶ οἰστικὴ πάντων ἁπλῶς τῶν ἐπ' ἀπείρων γεννωμένων. Ὡς οὖν τοιούτων ἀθρόως ἁπάντων, καί, ὡς σαφέστερον εἰπεῖν, τῶν ἀεί ποτε ἀτόμων προείληφε μίαν αἰτίαν, οὐκ ἴδιον ἐμοῦ οὐδὲ σοῦ, καὶ ἐμοῦ δὲ ὅμως καὶ σοῦ καὶ τῶν πρότερόν ποτε καὶ τῶν αὖθίς ποτε· ταύτῃ οὖν συνῄρηται ἐν ἐκείνῃ τὰ ἄτομα· καὶ ταύτῃ ἀπ' αὐτῆς διακρίνεται, ὥσπερ τὸ ἡλίου φῶς μένει τε ἐν τῇ ἑαυτοῦ κοινότητι ἀΐδιον, καὶ ἐπιμερίζεται ἀτόμως ἑκάστοις, ὅτι φωτιστικὴν ἔχει τῶν ἀτόμων ὀφθαλμῶν ἁπάντων μίαν αἰτίαν.

1.246 Τοσαῦτα καὶ περὶ ταύτης εἰρήσθω τῆς ἀπορίας. Ἀλλὰ μὴν καὶ ἐκεῖνο προσθετέον τοῖς διωρισμένοις, ὅτι ὕπαρξίς ἐστι πανταχοῦ τὰ ἑκασταχοῦ ἢ συνῃρημένα ἢ διακεκριμένα, ὥστε ἡ μὲν ἐν Διὶ Ἀθηνᾶ ὕπαρξις τοῦ Διό ς, ἡ δὲ ἀναθοροῦσα ἀπὸ τῆς αὐτοῦ ἀκρότητος αὐτὴ δήπου ἡ Ἀθην ᾶ. Ἀλλὰ καὶ ἡ ἐν ἄλλῳ μέθεξις, οἵα ἡ ἐν τῇ κόρῃ Ἀθην ᾶ, τῆς κόρης ὕπαρξις. Καὶ εἰ οὕτως οἱ φιλόσοφοι λέγοιεν ὅτι τριττὸν ἕκαστον, ἢ κατ' αἰτίαν, ὡς ἐν Διί πως ὑπάρχουσα ἡ Ἀθην ᾶ, ἢ καθ' ὕπαρξιν, ὡς ἡ καθ' ἑαυτήν, ἢ κατὰ μέθεξιν, ὡς ἐν κόρῃ γεγονυῖα, καλῶς λέγουσιν, πλὴν ὅτι πάσας ὑπάρξεις διοριστέον, τὴν μὲν τοῦ Διό ς, ὅτι ἡ αὐτὴ συμπληροῖ τὴν διακεκριμένην ὕπαρξιν τοῦ Διό ς, τὴν δὲ αὐτῆς καθ' ἑαυτήν, τὴν δὲ τῆς κόρης, ὅτι καὶ αὐτὴ συμπληροῖ τῆς κόρης τὸ πλῆθος. Ἴδοι δ' ἄν τις αὐτὸ καὶ διαλεκτικώτερον. Τὰ γὰρ λεγόμενα γένη τοῦ ὄντος ἑκασταχοῦ συμπληροῖ τὴν ἐξ αὐτῶν συνεστῶσαν ὑπόστασιν, ἀλλὰ τὴν μὲν οὐσίαν ἡνωμένα, τὴν δὲ ζωὴν διακρινόμενα, τὸν δὲ νοῦν διακεκριμένα, καὶ τὸν μὲν ἁπλῶς κατὰ τὴν ἰσοστάσιον διάκρισιν, τὸν δὲ μερικώτερον ἀεὶ κατὰ τὴν ἐπικλίνουσαν πρὸς τόδε ἢ τόδε τῶν γενῶν ἢ τῶν μερῶν ἢ τῶν εἰδῶν κατὰ τὴν ἐπικράτειαν. Ἔστι δὲ λογικώτερον ὁ ἁπλῶς ἄνθρωπος ἐν τῷ ζῴῳ κατὰ τὴν ὁλοφυῆ καὶ πάντων ζῴων περιεκτικὴν τοῦ ζῴου μίαν ὕπαρξιν· ἀλλὰ καὶ μετὰ τὸ ζῷον καθ' ἑαυτὴν ἡ ἀνθρώπου ὕπαρξις· ἐκ δὲ τρίτων ἐν τῷ χερσαίῳ ἀνθρώπῳ καὶ ἐν ἐμοί γε τῷ ἀτόμῳ ὁ ἁπλῶς ἄνθρωπος, οἷον στοιχεῖον, ὡς ἐν ἀνθρώπῳ τὸ ζῷον· καθ' ὕπαρξιν ἄρα καὶ τοῦτο. Καὶ γὰρ εἰ ἄνωθεν ἐνδίδοται καὶ ταύτῃ μέθεξις, ἀλλ' ἡ ἔνδοσις αὕτη τοῦ εἰς ὃ ἐνδίδοται

μέρος γίγνεται τῆς ὑπάρξεως. Τοσαῦτα καὶ περὶ τούτων. Φέρε τοίνυν ἐξ ἀρχῆς ἐπανέλθωμεν εἰς τὰ ἐχόμενα τῶν ἐξ ἀρχῆς ἀπορημάτων. Ὅτι μὲν δὴ καὶ ἐν τῷ ὁμοειδεῖ ἐστί τι ἀνομοειδές, καὶ ἐν τῷ ἀνομοειδεῖ ὁμοειδές, ὡς ὁ ἀπορῶν διετείνετο λόγος, ἀνάγκη ὁμολογεῖν· ἀλλ᾽ οὐδὲν ἧττον, ἡ μέν ἐστιν ὁμοειδὴς πρόοδος, ἡ δὲ ἀνομοειδής· καθόσον Ἀφροδίτη μὲν πᾶσα καὶ Ἀθηνᾶ πᾶσα μένει πως ἐν τοῖς ὅροις τῆς πρώτης Ἀθηνᾶς καὶ τῆς πρώτης Ἀφροδίτης, κἂν ἐξαλλάττηται κατ᾽ εἶδος, ἕκαστον μερικώτερον τῆς αὐτῆς ἰδιότητος.

1.247 Κατὰ γοῦν τὸ κοινὸν καὶ μένον καὶ ἡ τοῦ ὀνόματος κοινωνία καὶ ἡ τοῦ μερισμοῦ ἐπιμένει· διὸ πάσης τῆς Ἥρας ἕως ἀφ᾽ ἑνὸς καὶ πρὸς ἓν προϊόντος. Ἐὰν μέντοι Ἔρως ἀπὸ Ἀφροδίτης ἢ ἀπὸ Διὸς Ἀθηνᾶ προΐοι, ἀνομοειδὴς ἡ πρόοδος, ὅτι ἐξέβη τοὺς ἀφροδισίους ὅρους ὁ Ἔρω ς, καὶ ἡ Ἀθηνᾶ τοὺς διίου ς· καίτοι πάντως ἔχει τι ἡ μὲν Ἀθηνᾶ δίιον, ὁ δὲ Ἔρως ἀφροδίσιον, καθὸ καί τι ὁμοειδὲς ἔχουσι πρὸς τοὺς παράγοντας· ἀλλὰ τοῦτο οἷον ὡς ἐν διαφέρουσι σώζεται ὅροις, καθάπερ ἐκεῖ τὸ διαφέρον ἐν τοῖς κοινοῖς ὅροις ἐμφαίνεται. Οὐκ ἄρα ταύτῃ ὁμοειδὴς Ἀθηνᾶ καὶ Ζεὺς ᾗ θεοὶ καὶ ᾗ νόες καὶ ᾗ δημιουργοί· ταῦτα γὰρ κοινὰ καὶ τοῖς ὁμοειδέσι σύνεστιν, οἷον ταῖς πολλαῖς Ἀφροδίται ς· δημιουργικαὶ γὰρ αἵγε πάνδημοι αὐτῶν· καὶ νόες καὶ θεαὶ πᾶσαι· καὶ δὴ καὶ Ἔρωτες καὶ Ἀφροδίται οὕτως ὁμογενεῖς. Οὐ τοίνυν τοῖς κοινοτέροις γένεσι τὸ ὁμοειδὲς ὁριστέον, ἀλλὰ ταῖς κυριωτέραις ὑπάρξεσιν, ἐφ᾽ ὧν θεωρεῖται καὶ τὰ κύρια τῶν ὀνομάτων. Ἀφροδίται μὲν ἄρα πᾶσαι ὁμοειδεῖς μετά τινος ἑτερότητος, Ἔρωτες δὲ καὶ Ἀφροδίται ἀνομοειδεῖς μετά τινος ταυτότητος· εἰσὶ δὲ γενικώτεραι ὁμοειδεῖς ἐπωνυμίαι καὶ ἀνομοειδεῖς, αὗται μὲν ὡς ἀπὸ ἑνάδος οὐσία, καὶ ἀπὸ οὐσίας ζωή, καὶ ἀπὸ ζωῆς νοῦς, καὶ ἀπὸ νοῦ ψυχὴ καὶ ἀπὸ ψυχῆς τὸ σωματοειδές, ἄλλον δὲ τρόπον ἀπὸ ἑνὸς τὸ ἡνωμένον, καὶ ἀπὸ τούτου τὸ διακρινόμενον, καὶ ἀπὸ τούτου τὸ διακεκριμένον· καὶ μέχρι τοῦ ταῦτα ἀκίνητον, εἶτα τὸ αὐτοκίνητον, εἶτα τὸ ἑτεροκίνητον, ἐκεῖναι δὲ ὡς ἀπὸ θεοῦ θεοί, καὶ ἀπὸ οὐσίας οὐσίαι, καὶ ἀπὸ ζωῆς ζωαί, καὶ ἀπὸ νοῦ νόες, καὶ ἀπὸ ψυχῆς ψυχαί, καὶ ἀπὸ τοῦ ἑνὸς φυσικοῦ ζῴου τὰ πολλὰ τοιαῦτα ζῷα. Τίς οὖν ἂν εἴη τῶν δυεῖν πρεσβυτέρα; πότερον ἡ ὁμοειδὴς ἢ ἀνομοειδής; ἀλλ᾽ εἰ τὸ ὅμοιον πρὸ τοῦ ἀνομοίου γεννᾶται, καὶ εἰ οἱ νοητοὶ θεοὶ πρὸ τῶν νοητῶν οὐσιῶν ἀπὸ τοῦ ἁπλῶς θεοῦ προΐασιν, καὶ ἐπὶ τῶν ἄλλων ἑξῆς ὁ αὐτὸς λόγος. Ἔτι δὲ εἰ ἡ μὲν ὑποβεβηκότα κόσμον ὑφίστησιν, οἷον τὴν νοερὰν καὶ νοητὸν ἀπὸ τοῦ νοητοῦ καὶ νοεροῦ, καὶ οὕτως ἑξῆς, ἡ δὲ τὸν αὐτὸν κόσμον ποιεῖ, οἷον ὁ Κρόνος γεννᾷ τὸν τιτανικὸν ἑαυτοῦ διάκοσμον, γεννᾷ δὲ τὸν δημιουργικὸν ὑποβεβηκότα· εἰ οὖν ταῦτα ἀληθῆ, δῆλον ὡς ἡ ὁμοειδὴς πρεσβυτέρα ἐστὶ τῆς ἀνομοειδοῦς.

1.248 Ἀλλὰ καθόλου, φαίη τις ἄν, ἡ πρόοδος ἔκστασίς ἐστιν ἀπὸ τοῦ παράγοντος, πᾶσα δὲ ἔκστασις εἰς τὸ ἀνομοειδὲς ὑποφέρει τὸ γεννώμενον. Τοῦτο μὲν τὸ ἀνομοειδὲς ἐκεῖνό ἐστιν ὃ σύνεστι τῷ ὁμοειδεῖ, καὶ ἴσως τοῦτο συγχωρήσει τις εἶναι πρεσβύτερον. Οὐ μὴν οὐδὲ τοῦτο ἀληθές· καὶ γὰρ καὶ πρὸ τούτου εἶναι τὸ ὁμοειδὲς ἀναγκαῖον, ᾧ σύνεστι τὸ ἀνομοειδές· ἕκαστον γὰρ μένον πρόεισι, τὸ δὲ μένειν ἐν τῷ αἰτίῳ τὴν πρὸς ἐκεῖνο ποιεῖ ὁμοιότητα καὶ ταυτότητα. Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον ἀνήχθω τοῦ λόγου. Τὰ δὲ ἐπέκεινα τῶν ἀπορημάτων ἑξῆς ἀνασκεψώμεθα. Περὶ μὲν γὰρ τῆς ἀνομοειδοῦς τε καὶ ὁμοειδοῦς προόδου, ἣν ἔχουσι διαφοράν, εἴρηται πρότερον, καὶ οὐ χρὴ συγχεῖν τὰς προόδους, ἐπειδὴ ἑκατέρα ἔχει τι τῆς ἑτέρας. Περὶ δὲ τοῦ ἡνωμένου ῥητέον εἰ δεκτικόν ἐστι προόδου τινός, καὶ ταύτης ὁποίας. Ὅτι μὲν γὰρ νοερὰ πρόοδός ἐστι, καὶ πολλοὶ νόες προέρχονται ἀπὸ τοῦ ἑνὸς νοῦ, δώσει τις εἰκότως. Οὐ μέντοι, ἀλλ᾽ ἡμῖν καὶ τοῦτο ζητητέον, εἰ καὶ νόες πολλοί εἰσιν, εἰ καὶ ψυχαὶ πολλαί. Μήποτε γὰρ οἱ δεικνύντες λόγοι πρὸ τοῦ ἑτεροκινήτου δεῖν εἶναι τὸ αὐτοκίνητον, καὶ πρὸ τοῦ αὐτοκινήτου τὸ ἀκίνητον, ἀναγκάζουσιν ἡμᾶς ὑποθέσθαι νοῦν ἕνα πρὸ τῆς ψυχῆς, καὶ μίαν ψυχὴν πάντα ψυχοῦσαν μετὰ τὸν ἕνα νοῦν τεταγμένην. Εἰ δὲ καὶ πρὸ τοῦ νοῦ τὴν ζωὴν ὁ λόγος ἀποδείκνυσιν εἶναι, καὶ πρὸ ζωῆς τὴν οὐσίαν, πάλιν ἀναγκάζει μίαν οὐσίαν καὶ μίαν ζωὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προτετάχθαι τοῦ ἑνὸς νοῦ. Τὰ δὲ αὐτὰ καὶ περὶ μιᾶς ἑνάδος εἴποι τις ἂν προτιθεμένης τῆς μιᾶς οὐσίας. Πόθεν οὖν δῆλον ὅτι πολλοὶ θεοὶ καὶ πολλαὶ οὐσίαι καὶ πολλαὶ ζωαὶ καὶ πολλοὶ νόες καὶ πολλαὶ ψυχαὶ μετὰ τὰς οἰκείας μονάδας ἕκαστοι ἀριθμοὶ προϊόντες; ἢ ἕνα μὲν ἀποδείξεως τρόπον, περὶ ὃν ὁ παρὼν διατρίβει λόγος, ἀπὸ τῶν εἴσω πολλῶν γονίμων ὄντων, καὶ τούτων προϊόντων, τῶν ἐκτὸς ἤδη πληθυομένων κατὰ τὴν ἀνομοειδῆ πρόοδον, ἢ τὴν ὁμοειδῆ, καθάπερ διήρηται πρότερον κατὰ βάθος ἢ πλάτος. Ἓν γὰρ καὶ πολλὰ τὸ αἴτιον ὂν γεννήσει κατὰ τὸ ἓν καὶ κατὰ πολλά, καὶ ἔτι κατὰ τὸ συναμφότερον ἓν ὁμοῦ καὶ πολλά· ἑνὸς μὲν ἕκαστον εἰδοποιοῦντος κατὰ τὴν ἐπικράτειαν, ἓν ὄντων δὲ ὅμως καὶ τῶν πολλῶν ἐν τῷ ἑνὶ τούτῳ.

1.249 Οὕτω γὰρ ἀπὸ τοῦ ἁπλῶς νοῦ ὁ συνοχικὸς πρόεισι, καὶ ἀπὸ τούτου ὁ τιτανικός, καὶ ἔτι ἀπὸ τούτου ὁ δημιουργικός. Ἐν μὲν δὴ τῷ ἁπλῶς νῷ πᾶς ἐστιν, ἕκαστον δὲ εἰδοποιεῖ τι τῶν ἐν ἐκείνῳ πολλῶν, οἷον τὸ συνοχικὸν εἶδος, ἢ τιτανικὸν ἢ δημιουργικόν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν μερικωτέρων πολλῶν· ἀπὸ γὰρ τοῦ δημιουργικοῦ ὁ ἀπολλωνιακὸς καὶ ὁ ἀρεϊκὸς καὶ ὁ ἀθηναϊκό ς· καὶ ἔτι μερικώτερον καθ’ ἕκαστον εἶδος εἰ κρατοῖ γεννᾶσθαί τινα νοῦν ὅλον ἐφ’ ἑαυτοῦ ἑστῶτα, κατὰ τοῦτο τὸ εἶδος εἰδοποιουμένων, οἷον, εἰ τύχοι, κατὰ τὸν ἄνθρωπον καὶ τὸν ἵππον· ἀνάγκη γὰρ οὕτως ἀπὸ τοῦ εἴσω τῶν εἰδῶν πλήθους παράγεσθαι νόων πλῆθος ἔξω. Δῆλον δὲ ὅτι καὶ ἀπὸ τῶν μερῶν κατὰ τὰ μέρη πολλαὶ ἔξω μερῶν ὑποστάσεις. Εἰ δὲ τὸ ὅλον καὶ μέρη ζωή ἐστιν ἡ πρώτη στᾶσα κατὰ τὸ διακρινόμενον, ὡς ἐν τοῖς πρόσθεν ἐλέγομεν, δῆλον ὡς αἱ ὑποστάσεις ἐκεῖναι ζωαί τινές εἰσιν ὁλόκληροι κατὰ τὸ εἴσω τῶν μερῶν πλῆθος ὑποστᾶσαι καὶ μερῶν ἐπέχουσαι τάξιν πρός τε ἀλλήλας καὶ πρὸς τὴν παραγαγοῦσαν αἰτίαν. Πῶς οὖν ὅλαι; πῶς δὲ ἡ ὁλότης ὅλων αἰτία; μερῶν γὰρ ἡ ὁλότης γεννητική, ἀλλ’ οὐχ ὅλων· πῶς δὲ αὐτοτελεῖς αἱ μερῶν τάξεις εἰδοποιούμεναι τῶν οὐκ αὐτοτελῶν; ἤ, ὡς μὲν ζωαί τινες, οὔπω περιγεγραμμέναι εἰσίν· νοῦ γὰρ ἴδιον τὸ τοιοῦτον καὶ τῶν διακεκριμένων ἁπάντων· αἱ δὲ ἐν τῷ διακρίνεσθαι τὸ εἶναι ἔχουσιν, ὥστε ὑπὲρ τὸ αὐτοτελὲς ἐκεῖνο τὸ νοερὸν ὑφεστᾶσιν, ἄλλον τρόπον αὐτοτελὲς ὂν ἡ πρώτη ζωὴ κατὰ τὸ ὅλον καὶ τὰ μέρη, καί, ὡς ἓν εἰπεῖν, κατὰ τὸ διακρίνεσθαι ὑφεστῶσα. Οὕτως οὖν καὶ ὅλαι· ἀπὸ γὰρ ὅλης τῆς οὕτως ὅλης αἰτίας καὶ μερῶν ἐπέχουσι τάξιν, ὅτι κατὰ τὴν τῶν μερῶν προεληλύθασι φύσιν, καὶ οἷον ἀριθμός εἰσιν τῆς ἐν τῷ διακρίνεσθαι ὁρωμένης, ὥσπερ μονάδες οὐκ ἐν τῷ διωρίσθαι, ἀλλ’ ἐν τῷ διορίζεσθαι τὸ εἶναι ἔσχον· ἐπεὶ καὶ τὸ πρῶτον μικτὸν παράγει τὰ πολλὰ μεθ’ ἑαυτὸ μικτά, τὸ στοιχειωτὸν λέγω τὰ στοιχειωτὰ κατὰ τὸ περιεχόμενον ἐν αὐτῷ τῶν στοιχείων πλῆθος, ὡς εἴρηται πολλάκις. Καὶ ἔστιν ταῦτα αἱ πολλαὶ οὐσίαι μετὰ τὴν μίαν, καὶ ἀπὸ τῆς μιᾶς προελθοῦσαι, οἷόν τις οὕτως ἄλλος ἀριθμὸς ἀπὸ τῆς οἷον μονάδος προϊὼν ἡνωμένος ἀπὸ ἡνωμένης, καὶ οὐσία ἀπὸ οὐσίας, στοιχείων ἐπέχουσα τάξιν, πρός τε ἀλλήλας καὶ πρὸς τὴν γεννῶσαν αἰτίαν διὰ τὴν πολλὴν ἕνωσιν συγκράσεως αὐτοτελεῖς οὖσαι, ἄλλον τινὰ τρόπον τὸν ἀπερίγραφον καὶ συγκίρνασθαι πρὸς ἕνωσιν ἐφιέμενον.

1.250 Τοιαῦτα γὰρ ἦν τὰ στοιχεῖα, ὧν κατὰ τὸ πλῆθος ἡ πρόοδος ἐγένετο τῶν πολλῶν οὐσιῶν· ὡς γὰρ τὰ ἔξω πλήθη γεννᾶται ἀπὸ τῶν εἴσω, οὕτω καὶ εἰδοποιεῖται κατὰ τὴν ἐκείνων φύσιν. Καὶ αἱ μὲν οὐσίαι τῇ συγκράσει χαίρουσι καὶ εἰς τὸ ἀδιάκριτον σχεδὸν ἀναφεύγουσιν, αἱ δὲ ζωαὶ διακρίνονται τοσοῦτον ὅσον τὰ μέρη ἀπό τε τοῦ ὅλου καὶ ἀλλήλων. Οἱ δὲ νόες πρῶτοι περιεγράφησαν ἀπ’ ἀλλήλων τε καὶ τοῦ ὅλου, ἅτε διακεκριμένην ὑπόστασιν ποιησάμενοι κατὰ τὴν οἰκείαν περιγραφήν. Τὸ δὲ οὖν ἐκ πάντων συναγόμενον καὶ περὶ πάντων λεγόμενον ἐκεῖνό ἐστιν, ὅτι ὅπου πλῆθος ὁποιονοῦν εἴσω περιέχεται τοῦ οἰκείου ἑνὸς ἐκείνου, καὶ ἔξω γεννᾶται πλῆθος οἰκεῖον, οἷον ἀριθμός τις ἀπὸ τῆς οἰκείας μονάδος ἐκφυόμενος· δεῖ γὰρ εἶναι πανταχοῦ τὸ ἓν γόνιμον, ἓν δὲ ὂν καὶ πολλὰ περιέχον ἑνός τε εἶναι καὶ πολλῶν γεννητικόν. Ἆρα οὖν τὰ πολλὰ ἁπλῶς οὐχὶ τὰ πολλὰ εἴδη, οὐδὲ τὰ πολλὰ μέρη, οὐδὲ τὰ πολλὰ στοιχεῖα,

ἀλλ’ αὐτὰ ἅπερ ἐστὶ πολλὰ μόνον καὶ πολλὰ ἁπλῶς, ἃ πρεσβύτερα ἀπεδείκνυμεν πρότερον τῶν ἄλλων πολλῶν; Ἆρα οὖν καὶ ἐκεῖνα ποιεῖν τὸ ἔξω πλῆθος ἀνάλογον ἑαυτοῖς; εἰ δὲ ἐν τῷ νοητῷ ἐκεῖνα, καὶ τοῦ νοητοῦ ἔσται τις πρόοδος; τοῦτο δὲ ἦν ὅπερ ἐξ ἀρχῆς ἐζητοῦμεν, εἰ διακρίνεται τὸ ἡνωμένον εἰς τὴν ἀφ’ ἑαυτοῦ πρόοδον, καὶ τίς ἂν εἴη διάκρισις τοῦ κατὰ ἕνωσιν πᾶσαν τὸ εἶναι λαχόντος. Οὐ γὰρ πολλὰ τὰ ἐν αὐτῷ οὕτως ὡς ὁπωσδήποτε διαφέροντα ἀλλήλων· οὔπω γὰρ ἑτερότης ἐν ἐκείνοις, οὐδὲ διαφορά τις, οὐδὲ ὁστισοῦν διορισμός. Δηλοῖ δὲ καὶ ὁ Παρμενίδης ὁμοιομερῆ τὴν δοκοῦσαν διαίρεσιν ποιησάμενος καὶ τὴν ἑτερότητα τὴν πρώτην κατωτέρω παραγαγών, καὶ τὸν ἀριθμὸν τὸν πρῶτον μετὰ τῆς ἑτερότητος ταύτης καὶ διὰ ταύτης ὑποστησάμενος. Εἰκότως· ὅπου γὰρ ἑτερότης, ἐκεῖ διορισμός, ὅπου δὲ οὗτος, οὐχὶ ὁ εἰδητικός· οὐδὲ γὰρ ὁ διορισμὸς εἰδητικός, οὐδὲ ἡ ἑτερότης, οἵα ἡ ἀντικειμένη ταυτότητι. Ἀμέλει οὐδέ ἐστιν ἐκεῖ σὺν αὐτῇ ταυτότης, ἀλλ’ οὐδὲ ᾗ τὰ μέρη ἀλλήλων ἕτερα γέγονεν, ἀλλ’ ᾗ τὰ στοιχεῖα διέφυ καὶ ὁπωσοῦν, καὶ γέγονε πολλὰ οὐχ ἁπλῶς, ἀλλὰ τοιάδε οἷον πολλὰ παιδεύοντα πρὸς τὴν ἀλλήλων σύγκρασιν· τὸ δὲ τοιόνδε διαφορά τις· ὅθεν κατὰ τὴν διαφορὰν τῶν στοιχείων τὴν εἴσω συγκεκραμένην ἡ ἔξω διέστη τῶν πολλῶν οὐσιῶν γεννηθεῖσα πρόοδος, εἰ καὶ πόθῳ τῆς ἀρχαίας φύσεως καὶ αἱ πολλαὶ προελθοῦσαι οὐσίαι σπεύδουσι πρὸς τὴν ἀλλήλων ὁμογενῆ σύγκρασιν.

1.251 Τὰ δὲ πολλὰ ἐκεῖνα πάντη ἦν ἀδιάφορα, καὶ ἄποια, καὶ διὰ τοῦτο πάντη ἡνωμένα, καὶ ὡς φύσις εὔπορος μία, οὕτω πολλὰ λεγομένη. Διὸ καὶ ἄπειρον πλῆθος ἐκεῖνα· οὐδὲν γὰρ ἐν αὐτῷ πέρας οὔτε τοσόνδε· ἀνάριθμον γὰρ καὶ ἄποσον· οὔτε τὸ τοιόνδε· ἀδιάφορον γὰρ καὶ ἄποιον· οὐδὲ ὅλως διεκρίθη ἐκεῖ ποσὸν καὶ ποιόν· ἡνωμένη γὰρ ἡ ἁπλότης ἐκείνη, ἥγε οὐδὲ σχίσιν ἑνὸς καὶ ὄντος ὑπέμεινεν. Ὅθεν ἐν δίκῃ τις ἂν ὑπονοήσειεν ἐκεῖνο τὸ πλῆθος εἴσω μένειν ἐν τῷ νοητῷ καὶ οὐδαμῇ προϊέναι εἰς τὴν τοῦ ἔξω πλήθους ὑπόστασιν. Οἰκεία μὲν οὖν πρόοδος οὐκ ἂν εἴη ἐκείνου· ἐπειδὴ δὲ ὅλως πολλά, πάντα ἐκεῖθεν γεννᾶται μέχρι τῶν ἀτόμων, ἐπεὶ καὶ ἡ τῶν ἀτόμων ἀπειρία ἐκεῖθεν, ὡς εἴρηται πρόσθεν, κατὰ τὴν πάμφορον μίαν ἀπειρόγονον τοῦ νοητοῦ δύναμιν· Πάντα γὰρ ἔνθεν ἄρχεται εἰς τὸ κάτω τινα σαγητάς, ἔνθεν ἀποθρώσκει γένεσις πολυποικίλου ὕλης ... καὶ ὅσα τοιαῦτα περὶ τῆς τάξεως ἐκείνης οἱ θεοὶ χρησμῳδοῦσιν. Ἀλλὰ καὶ Ὀρφεὺς τὸν πολυτίμητον τοῦτον θεὸν ἀνευφήμησε Μῆτιν σπέρμα φέροντα θεῶν, κλυτὸν Ἠρικεπαῖον. Καὶ ἐξ αὐτοῦ ποιεῖ προϊοῦσαν ἅπασαν τὴν τῶν θεῶν γενεάν.

1.252 Ὡς μὲν δὴ κατὰ πλάτος εἰπεῖν, ἐκεῖ πάντα προείληπται σποράδην, ὥς φησιν ὁ θεολόγος, κατὰ τὴν ἡνωμένην περίληψιν, ἣν σπέρμα πάντων ἐκάλεσε. Πάντα γὰρ ἦν καὶ τὸ ἡνωμένον ἀδιακρίτως, διὸ πάντα ἀπ’ αὐτοῦ διεκρίθη. Καὶ τί θαυμαστὸν ὅτε γε καὶ τὸ ἁπλῶς ἓν πάντα προειλήφει κατὰ τὴν ἑνιαίαν αὐτοῦ παντελῆ ἁπλότητα· βάθος δὲ οὐκ ἦν ἐν τῷ ἑνί, ὅτι μηδὲ κατὰ πλάτος διάφορον πλῆθος· τῷ γὰρ πλάτει διαφόρου τὸ βάθος ἐν ταῖς προόδοις. Οὕτω δὴ καὶ τὸ ἡνωμένον πλῆθος ἀδιάφορόν ἐστι καὶ μόνον πλῆθος τῶν πολλῶν, ἑκάστου μὴ διαιρουμένου καθ’ ἕνωσιν, οὐ κατὰ κρᾶσιν· αὕτη μὲν γὰρ ἦν τῶν διαφερόντων στοιχείων, ἡ δὲ ἕνωσις τῶν ἀδιαφόρων πολλῶν. Διόπερ αὕτη μὲν ἡμῖν ἐποίει τὸ ἡνωμένον, ἐκείνη δὲ τὸ στοιχειωτόν· διόπερ ἡ μὲν πρόοδος τοῦ στοιχειωτοῦ καὶ ἔξω προῆλθεν κατὰ τὰς διαφορὰς ὑποβᾶσα τῶν στοιχείων, ἡ δὲ τοῦ ἡνωμένου πᾶσα εἴσω ἔμεινεν, ἅτε καὶ τοῦ βάθους καὶ τοῦ πλάτους ἐν αὐτῷ διαφορὰν μὴ ἔχοντος εἰς τὴν ἔξω πρόοδον· διαφορᾶς γὰρ μὴ οὔσης, εἰς τὸ εἴσω πᾶν τε καὶ ὅλον συννεῦσαν ἔμεινεν· οὐκ ἔστι δὲ ταὐτὸν τὰ ἄλλα προϊέναι ἀπ’ αὐτοῦ τινος καὶ αὐτὸ ἀφ’ ἑαυτοῦ. Πάντα γοῦν τὰ ἔνυλα καὶ περικόσμια ἀπὸ τοῦ ὅλου πρόεισι δημιουργοῦ, καίτοι οὐ προῆλθεν αὐτὸς εἰς τὴν ὅλην, οὐδὲ εἰς τὴν περίκοσμον τάξιν τὴν μεριστήν. Οὕτως ἄρα καὶ ὁ νοητὸς θεὸς πάντας μὲν ἀφ’ ἑαυτοῦ παρήγαγεν τοὺς θείους διακόσμους, αὐτὸς δὲ διέμεινεν ἐν τῇ ἑαυτοῦ ὡς ἀληθῶς ὑπερκόσμῳ περιωπῇ, τοσοῦτον μόνον εἰς αὐτοὺς προελθὼν ὅσον τὴν ἑαυτοῦ μονάδα βασιλείαν πάντων καταστήσασθαι· αὐτὸς οὖν ὅλος ἀμέριστος μείνας

καὶ νοητὸς συνετάχθη πως τοῖς ἀπ’ αὐτοῦ προρρέουσι κόσμοις· τῶν δὲ μετὰ αὐτὸν ἕκαστος ὁλικωτάτων θεῶν ἢ τριπλασιάζεται κατὰ τὴν πρόοδον, ἢ ἑπταπλασιάζεται, τῶν δὲ μερικωτέρων ἄλλοις μείζοσι καὶ ἄλλοις πολλαπλασιάζεται ἀριθμοῖς, αὐτὸς δὲ πάντων ἐστὶ τῶν προοδικῶν ἀριθμῶν μία μένουσα τῷ ὄντι μονάς, μᾶλλον δὲ μονὰς οὖσα, πασῶν τῶν μονάδων ὑπερέχουσα καὶ τοῦ μονοειδοῦς παντὸς πλήθους καὶ πηγαίου φάναι, κατὰ τοὺς θεουργού ς.

1.253 Ὅθεν καὶ παρ’ ἐκείνοις ἀνυμνεῖται πηγὴ τῶν πηγῶ ν. Ἀλλ’ εἰ διάφορον πάντη τὸ ἡνωμένον καὶ ἀπρόοδον, διὰ τοῦτό πως ἔχομεν καὶ τὸ νοητὸν τριττῇ διελεῖν εἰς πρῶτον καὶ μέσον καὶ ἔσχατον, ἢ εἰς οὐσίαν καὶ ζωὴν καὶ νοῦν, ἢ εἰς πατέρα καὶ δύναμιν καὶ νοῦν, ἢ ὅπως ἄλλως ἐθέλοι τις λέγειν. Εἰ δὲ καὶ τὰς τρεῖς τριάδας τὰς νοητὰς ἐν νῷ βαλοίμεθα, πολλαχῇ ἂν εἴη τὸ ἡνωμένον διῃρημένον, ἐπεὶ καὶ ὁ Πλάτων τρεῖς τάξεις ἡμῖν παραδέδωκε τοῦ νοητοῦ κατὰ τὸν Παρμενίδην, τὴν μὲν πρώτην καλέσας ἓν ὄ ν, τὴν δὲ μέσην ὅλον καὶ μέρ η, τὴν δὲ τρίτην ἄπειρον πλῆθο ς. Καὶ ἡμεῖς δὲ ἐν τοῖς πρόσθεν ἐλέγομεν, ἐν τῷ διακρίτῳ τὸ μὲν ἀδιάκριτον εἶναι ὁμολογοῦντες. Οὐχὶ δὲ καὶ Ὀρφεὺς ἀπὸ τοῦ ᾠοῦ παράγει καὶ τῆς νεφέλης ῥαγείσης τὸν πολυτίμητον Φάνητα, πρόοδον καὶ ἐκεῖνος ἐν τῷ νοητῷ ὑποστησάμενος; Ἢ ῥητέον πρὸς ταῦτα ἓν μὲν ὅτι ταῦτα ἀπὸ τῶν κάτω φέροντες ἀνάγομεν εἰς τὸ νοητόν, ἐνδείξασθαί τι περὶ ἐκείνου ἐφιέμενοι κατὰ τὴν τῶν γνωριμωτέρων ἀναλογίαν· τό τε γὰρ ἓν καὶ τὸ ὂν ἔξω τοῦ νοητοῦ διακρίνεται. Καὶ τὸ ὅλον καὶ τὰ μέρη σαφῶς ὁ Πλάτων ἐν μέσῳ τίθεται τῶν νοητῶν καὶ νοερῶν· καὶ τὸ ἄπειρον πλῆθος ἀποδιαιρεῖται, ὅπου καὶ διάκρισις ἐκφαίνεται. Καὶ τί θαυμαστὸν ὅτε καὶ περὶ τῶν μέσων διακόσμων ἀπὸ τῶν νοερῶν ἐνδείκνυσθαι προθυμούμεθα; πάντα γὰρ εἰδητικὰ νοοῦμεν, ἴσως δὲ καὶ ψυχικά. Οὐκ ἔστιν οὖν τὸ ἡνωμένον διῃρημένον, ὅ γε οὐδὲ διαιρούμενον· αὐτὸ γάρ ἐστι τὸ μόνως ἡνωμένον καὶ πρώτως. Οὐκ ἄρα οὐδὲ πολλὰ ἐκεῖ εἴδη, οὐδὲ μέρη, οὐδὲ στοιχεῖα· διόπερ οὐδὲ πρόοδος οὔτε εἴσω οὔτε ἐκτὸς κατὰ ἀλήθειαν, ὅθεν ἡ τριὰς ἐξεφάνη μετὰ τὸ νοητόν. Ἐς τρία γὰρ νοῦς εἶπε πατρὸς τέμνεσθαι ἅπαντα, οὗ τὸ θέλειν κατένευσε, καὶ ἤδη πάντ’ ἐτέτμητο· καὶ μήποτε διὰ τοῦτο τριγλῶχις ἀνυμνεῖται ὁ θεός, οὐχ ὅτι τριάδων ὑποστάτης, μᾶλλον δὲ αὐτεπιτακτικὸς τῆς τριαδικῆς διαιρέσεως, ἀλλ’ οὐχὶ ποιητικός.

1.254 Οὕτω μὲν οὖν ἔχει τὸ ἀληθῶς ἡνωμένον. Ἀλλ’ ἐπειδὴ οὐκ ἔστιν αὐτὸ τὸ ἡνωμένον, καθόσον οὐχ ἓν ἰδεῖν αὐτὸ πειραθέντες, οὐ δυνηθέντες αὐτοῦ θεάσασθαι τὴν μίαν ἕνωσιν, κατὰ ἀναλογίαν αὐτὸ ἐπληθύναμεν τῶν κατωτέρω πεπληθυσμένων τὸν πρῶτον πληθυσμόν· πρῶτον δὲ πλῆθος ἡ τριάς. Διὸ καὶ ἐκεῖνο τριαδικὸν ὑπεθέμεθα κατὰ ἀναλογίαν· διὸ καὶ προΐοι ἂν ὁμοειδῶς κατὰ ἀναλογίαν· ἡ γὰρ εἴσω τριὰς τὸ νοητὸν καὶ τὸ νοερὸν καὶ τὸ μέσον ὑπέβη, καὶ ἔξω συνώνυμος οὕτως ἀκοῦσαι τῶν αὐτῶν ὀνομάτων τε καὶ πραγμάτων. Ἤτοι οὖν οὕτω ῥητέον, ἢ χαλάσαντας τι τῆς πολλῆς ταύτης ἑνώσεως ἐκεῖνο χρὴ ἐννοεῖν, ὅτι πᾶς κόσμος αὐτὸς ἐν ἑαυτῷ προελθὼν ἄχρις ὅσου πεφύκῃ προϊέναι, ἔπειτα χώραν ὑποστάσεως παρέσχετο τῷ μετ’ αὐτόν, οὐκέτι δὲ καὶ εἰς τοῦτον αὐτὸς καταβέβηκεν, οἷον ὁ τῆς ψυχικῆς οὐσίας κόσμος ἄχρι τινὸς προελθὼν ἔστη, καὶ τὸ ἐντεῦθεν ὁ σωματικὸς διεδέξατο κόσμος. Οὕτω δὲ καὶ ὁ νοερὸς εἰς τὸν ψυχικὸν ἐτελεύτησεν, καὶ δὴ καὶ εἰς τὸν νοερὸν ὁ νοητός· καὶ νοερόν. Οὕτως ἄρα καὶ ὁ νοητὸς ἐφ’ ἑαυτοῦ ἑστήξεται, καὶ διαδέξεται αὐτὸν ὁ νοητὸς καὶ νοερός. Οὐ τοίνυν πρόεισιν ἡ τοῦ νοητοῦ φύσις ἔξω τοῦ νοητοῦ κόσμου· οὐδὲ γὰρ ἄλλου κόσμου οὐδενὸς εἰς τὴν ἄλλου ὑπόβασιν. Εἰ δὲ τοῦ ἀεὶ ὑποβεβηκότος τὰ πρῶτα συντέτακται, καὶ συνήρηται ὡς ὀχήματα τοῖς πρεσβυτέροις, ὥσπερ τὰ τελευταῖα ἀφίεται τῆς τοιᾶσδε συναρτήσεως· οὐ γὰρ πάντα σώματα ψυχῶν ἐξέχεται οἰκείων, οὐδὲ νόων πᾶσαι ψυχαί, οὐδὲ ἐπὶ τῶν ἄλλων τὰ δεύτερα πάντα τῶν πρὸ αὐτῶν, τοῦ δὲ νοητοῦ οὐδὲν πρόεισιν εἰς τὸ κάτω ὡσὰν ἐξαρτηθείη τὰ δεύτερα κατὰ τὴν μίαν σύνταξιν τῶν ἐποχουμένων, καὶ οἷς ἐποχεῖται· ἀλλ’ ἀμέθεκτον ὅλον εἶναι τὸ νοητὸν τούτου αἴτιον, τὸ πάντων ἀκρότητα εἶναι τῶν κόσμων τὸν νοητόν, ὥστε ἐπ’ αὐτῆς ἡδρᾶσθαι τῆς πάντων κορυφῆς. Καὶ ἐπειδὴ πάντα ἐστὶν ἀδιακρίτως, ἢ πάντων ὁμοίως ἐξῄρηται τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διακρινομένων, ἢ πᾶσιν ὁμοίως ἐποχεῖται· πᾶσι γὰρ ἐπαρκεῖ αὐτοῦ ἡ ὁλότης· οὐ γὰρ ὅτι συνέσταλται εἰς τὸ ἀδιάκριτον, διὰ τοῦτο οὐ πάντων ἐστὶ τῶν κόσμων μέγιστος.

1.255 Τίς δ' ἂν ἦν αὐτοῦ καὶ διαφορὰ προϊόντος εἰς ὄχημα καὶ ὀχούμενον; τὸ γὰρ ἄλλο ἐποχούμενον ἄλλου γίνεται ὄχημα, ὥστε, εἰ προΐοι εἰς τὸ ὀχεῖσθαι τοῖς ἄλλοις, ὡς ὁ νοῦς τῇ ψυχῇ, καὶ ἡ ψυχὴ τῷ σώματι, ἔσται ἄλλο καὶ αὐτὸ ὄχημα, ὡς ἡ ψυχὴ τῷ νῷ καὶ ὁ νοῦς ἄλλῳ τινί. Τίνος οὖν ὄχημα τὸ νοητόν; οὕτω γὰρ ἔσται καὶ ὁ πρῶτος θεὸς μεθεκτός· δεῖ δὲ πανταχοῦ τὸ πρῶτον μεθεκτὸν εἶναι, ἀλλ' ἴσως τὸ μὲν σῶμα ὄχημα μόνον, τὸ δὲ νοητὸν ὀχούμενον μόνον, τὰ δὲ μέσα καθ' ἑκάτερον θεωρεῖται. Ἀλλ' εἰ καὶ τοῦτο διαιρεθήσεται εἰς μεθεκτὸν καὶ ἀμέθεκτον, καὶ οὐ μόνον ἓν μεθεκτόν, ἀλλὰ πλείω καὶ ὑπὸ πλειόνων μετεχόμενα, τὸ μὲν ὑπὸ οὐσίας, τὸ δὲ ὑπὸ ζωῆς, τὸ δὲ ὑπὸ νοῦ, τὸ δὲ ὑπὸ ψυχῆς, τὸ δὲ ὑπὸ σώματος, καὶ χρὴ τὰ ὀχούμενα διαφέρειν ἀλλήλων κατ' εἶδος, ὡς τοῦ ἐγκοσμίου θεοῦ τὸ ὑπερκόσμιον, καὶ τούτου τὸ νοερόν, καὶ ἔτι τούτου τὸ νοητὸν καὶ νοερόν. Τίς οὖν ἂν εἴη καὶ πόθεν ἡ τοσαύτη διαφορὰ ἐν τῷ ἡνωμένῳ, χαλεπὸν καὶ πλάσαι· ἔτι δὲ τὸ μὲν ἓν οὔτε ἑαυτῷ προῆλθεν οὔτε μεθ' ἑαυτό, τὸ δὲ μετὰ τὸ νοητὸν ὅθεν ἄρχεται ὁπωσοῦν ἡ ἑτερότης; καὶ ἐν ἑαυτῷ καὶ μεθ' ἑαυτὸ ἄρα τὸ νοητὸν ἐν μέσῳ δικαίως ἔμεινεν, ἐν ἑαυτῷ μὲν προελθόν, μεθ' ἑαυτὸ δὲ οὐδεμίαν πρόοδον ποιησάμενον. Ἐπὶ δὲ τούτοις ἐκεῖνο προσθετέον, ὅτι πρῶτον ὀχούμενον ἡ ἑνάς ἐστι, ᾧ δὲ ἐποχεῖται πρῶτον, οὐσία· τὸ δὲ ἡνωμένον ἦν πρὸ ἀμφοῖν, πρὸ ὀχοῦντος ἄρα καὶ ὀχουμένου· οὐκ ἄρα ἐνδέχεται αὐτοῦ ἡ φύσις τὴν τοῦ ὀχουμένου διαφοράν, ὅτι πρὸ τοῦ ἑνὸς ἦν, ὃ πρῶτον ὀχούμενον ἐγένετο κατ' αὐτὴν τὴν πρὸς τὸ ὂν ὡς δεύτερον πρῶτον διάστασιν. Εἰ δὲ καὶ τοῦτό τις ἐννοήσειεν ὅ φησιν ὁ Ἰάμβλιχος, ὅτι περὶ τὸ ἓν ὑπέστη τὸ νοητόν, καὶ τἀγαθῷ συμπέφυκε, καὶ τῇ πρὸς ἐκεῖνο ῥοπῇ τῆς ὅλης φύσεως, οἷον ἐπάγη, σαφὲς ὅτι σὺν ἐκείνῳ μένει καὶ ἀδιάκριτον καὶ ἀπρόοδον εἰς τὸ ἐκτός. Εἴπερ δὲ ἄρα καὶ ὁπωσοῦν ἐν ἑαυτῷ τινα ἄκραν ἔμφασιν ὑποβάσεως ἐπεδείξατο, καὶ ταύτην οὐκ ἀριθμῷ οὐδὲ πλήθει διακριθεῖσαν, οὐδὲ μὴν ἑτερότητι, ἀλλ' ὅ φησι πάλιν Ἰάμβλιχος, ἡ ἐκεῖ τριὰς οὐκ εἰσὶ τρεῖς μονάδες, οὐδὲ ἐπεγένετο τρισὶ μονάσιν, ἀλλ' ἔστι μόνον αὐτὸ τὸ εἶδος τὸ ἐπιγινόμενον ταῖς μονάσι.

1.256 Μᾶλλον δὲ ῥητέον, οὐδὲ τὸ εἶδος, οὔπω γὰρ εἶδος ἐκεῖνο, οὐδὲ οἷον στοιχεῖον, οὐδὲν γὰρ τούτων ἐκεῖ, ἀλλὰ μόνον αὐτὸ τὸ τῆς τριάδος ἕν, καὶ ἓν οὐ τὸ διωρισμένον πρὸς οὐσίαν, ἀλλ' ὃ πρὸ ἀμφοῖν εἶναι λέγομεν ἡνωμένον. Πῶς ἂν οὖν τὸ τοιοῦτον ἐπεφύκει προελθεῖν εἰς πλείους ὑποστάσεις; τί οὖν; οὐκ ἔστιν ἐκεῖ τὰ πολλά; ἢ καὶ πρὸ τοῦ ἡνωμένου τὰ πολλὰ μετὰ τὸ ἕν, ἀλλ' οὐχὶ τοσάδε· ἀλλ' ἑνὰς ἀπειρόγονος ἦν τὰ πολλὰ ἐκεῖνα, τὸ δὲ πρῶτον αὐτῆς γέννημα τὸ νοητόν ἐστι πλῆθος, ἀντὶ ἑνὸς ἡνωμένον γεγονός, οὔπω δὲ οὐδὲ τοῦτο τοσάδε· οὔπω γάρ τις διορισμός, οὔπω γάρ τις ἑτερότης· ὅπου δὲ ταῦτα, ἐκεῖ λέγεται καὶ ὁ πρῶτος ἀριθμὸς ὑποστῆναι μετὰ τὸ ἡνωμένον εὐθύς, οὐκ εἰδητικὸς ὢν ἀριθμός, ἀλλ' ὁ κατὰ τὸν πρῶτον διορισμὸν μετὰ τὸ πάντη ἀδιόριστον ὑποστάντα κατὰ τὸ πρῶτον διάφορον πλῆθος. Τοῦτο δὲ ἦν τῶν πρώτων στοιχείων, ὅπου πρῶτον ὑπέστη διορισμὸς τῶν πρώτων διορισθέντων, ἑνὸς καὶ οὐσίας, μᾶλλον δὲ οὐδὲ τούτων ἤδη διορισθέντων, ἀλλ' ἔτι διοριζομένων, ἄλλως τε καὶ ἐν τῇ ἀκρότητι τῶν κάτω διακρίνεσθαι τὸ εἶναι λαχόντων. Τούτων μὲν οὖν ἅπτεσθαι καὶ εἰσαῦθις ἀναγκαῖον ἔσται πολλάκις. Ἡμεῖς δὲ ἄλλον προχειρισώμεθα τρόπον λόγων περὶ τῶν αὐτῶν, ἀπὸ τῶν κάτω καὶ ὑπὸ αἴσθησιν κειμένων ἐπανιόντες ἐπὶ τὰ πρώτιστα τῶν νοητῶν, εἴ τινα βεβαίωσιν τῇ ἑαυτῆς ἀληθείᾳ παράσχοιτο ἡμῖν καὶ ἡ ἀπὸ τεκμηρίων αὐτὴ γιγνομένη κατὰ ἀνάλυσιν ἀπόδειξις. Ἐπιζητεῖ δὲ ὁ λόγος οὐ περὶ τῶν μονάδων αὐτῶν, ἀλλὰ περὶ τῶν ὑπὸ ἑκάστην πολλῶν τεταγμένων καὶ ἀφ' ἑκάστης δὴ προϊόντων. Οὐκοῦν ὅτι μὲν πρὸ τοῦ ἑτεροκινήτου τὸ αὐτοκίνητον, καὶ πρὸ τούτου τὸ ἀκίνητον μέν, διακεκριμένον δέ, καὶ πρὸ τούτου τὸ διακρινόμενον, καὶ ἔτι πρὸ τούτου τὸ ἀδιάκριτον. Ἀλλὰ καὶ ἕτερον τρόπον, ὅτι πρὸ σώματος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεῖ εἶναι ψυχὴν τὴν τὸ σῶμα κινοῦσαν καὶ ζωοποιοῦσαν, καὶ πρὸ ψυχῆς νοῦν τὸν ἅμα πάντα γιγνώσκοντα καὶ οὐ μεταβατικῶς, καὶ πρὸ τοῦ νοῦ ζωή, καὶ πρὸ ζωῆς οὐσία.

1.257 Ταῦτα μὲν τοίνυν ὑποκείσθω δεδειγμένα καὶ ὡμολογημένα πᾶσι τοῖς κλεινοτάτοις τῶν φιλοσόφω ν. Ἀλλὰ ζητοῦμεν εἰ μετὰ τὴν μίαν οὐσίαν πολλαὶ οὐσίαι καὶ μετὰ τὴν μίαν ζωὴν πολλαὶ ζωαί, καὶ μετὰ τὸν ἕνα νοῦν πολλοὶ νόες, καὶ μετὰ τὴν 〈μίαν〉 ψυχὴν πολλαὶ ψυχαί. Μήποτε γὰρ εἴποι τις ἀπὸ μιᾶς ψυχῆς ἥκειν εἰς τὰ πολλὰ σώματα πολλὰς ἐλλάμψεις, καὶ ἔχειν ἕκαστον σῶμα τὴν ἐπιβάλλουσαν αὐτῷ ζωὴν λογικὴν ἀπὸ τῆς μιᾶς ψυχῆς ἐλλαμπομένην, καὶ εἶναι τὸ δοκοῦν πλῆθος τῶν πολλῶν ψυχῶν, οὐκ αὐτοτελῶν ψυχῶν, ἀλλὰ ψυχικῶν ἐλλάμψεων πλῆθος, ὁμοίως δὲ καὶ νόων πλῆθος τὰς νοερὰς ἐλλάμψεις, τὰς εἰς ἑκάστην ψυχὴν ἡκούσας ἀφ’ ἑκάστου εἴδους, τῶν ἐν τῷ ἑνὶ νῷ διωρισμένων εἰδῶν. Ἀνάγκη γὰρ ὁμολογεῖν τὰς ἐλλάμψεις εἶναι πολλὰς καὶ διαφόρους κατ’ εἶδος, εἰ μὴ ἐθέλοι τις πρὸς τὰ ἐναργῆ φιλονεικεῖν, εἶναι δὲ μόνον ἐλλάμψεις καὶ ἀπὸ τῶν διαφόρων λόγων προϊέναι τῶν ἐν τῇ μιᾷ ψυχῇ περιεχομένων, καὶ τῶν εἰδῶν τῶν ἐν τῷ ἑνὶ νῷ διωρισμένων· ῥᾴδιον γὰρ ἀποδεῖξαι τὸ τῶν εἰδῶν πλῆθος ὑφεστάναι πρὸ τοῦ πλήθους τῶν λόγων, καὶ τὸ τῶν λόγων πρὸ τῶν σωματοειδῶν καὶ ἐνύλων εἰκόνων. Πρῶτα γὰρ δῆλον ὅτι τὰ ἀληθῆ μετὰ τὰ αἰώνια καὶ ἀκίνητα· ὡσαύτως δὲ φαίη τις ἂν καὶ τὰς πολλὰς εἶναι δοκούσας ζωὰς ἐλλάμψεις εἶναι ζωτικὰς ἀπὸ τῆς μιᾶς ζωῆς ὑφεστώσης ἀπορρεούσας εἰς πάντα τὰ ζῶντα, καὶ τὰς πολλὰς αὖ πάλιν οὐσίας ἐνδόσεις εἶναι κατὰ ἔλλαμψιν ἀπὸ τῆς μιᾶς οὐσίας προϊούσας εἰς πάντα ὄντα. Τί δεῖ πολλὰ λέγειν ὅτε καὶ τοὺς θεοὺς οὕτως ὑποτίθενται τοὺς πολλοὺς οἱ πρὸ Ἰαμβλίχου σχεδόν τι πάντες φιλόσοφοι, ἕνα μὲν εἶναι τὸν ὑπερούσιον θεὸν λέγοντες, τοὺς ἄλλους οὐσιώδεις εἶναι ταῖς ἀπὸ τοῦ ἑνὸς ἐλλάμψεσιν ἐκθεουμένους, καὶ εἶναι τὸ τῶν ὑπερουσίων πλῆθος ἑνάδων οὐκ αὐτοτελῶν ὑποστάσεων, ἀλλὰ τῶν ἐλλαμπομένων ἀπὸ τοῦ μόνου θεοῦ, καὶ ταῖς οὐσίαις ἐνδιδομένων θεώσεων.

1.258 Ὅπερ οὖν λέγω πολλάκις, ἐπιζητεῖ ὁ λόγος περὶ ἑκάστου ἀριθμοῦ τοῦ ὑπὸ ἑκάστην ἀρχικὴν μονάδα λεγομένου τετάχθαι, πότερον αὐτοτελής ἐστιν, ἢ μόνον κατ’ ἔλλαμψιν πληθυόμενος. Διττὴ δὲ καὶ ἡ ἔλλαμψις, ἡ μὲν ἀπῃωρημένη τοῦ ἐλλάμποντος, καὶ ἐκείνῳ συνοῦσα κατὰ μίαν συνέχειαν, ἡ δὲ ἐμφυομένη τῷ ἐλλαμπομένῳ καὶ ἐκείνου γιγνομένη, καὶ ἐν ὑποκειμένῳ αὐτῷ ὑφισταμένη. Ζητητέον οὖν ποτέρως ὑποθησόμεθα τὰς ἐλλάμψεις, εἴ τις αὐτὰς ἀντὶ τῶν ὑποστάσεων παραδέχοιτο τῶν αὐτοτελῶν. Διωρίσθω δὲ καὶ τοῦτο πρότερον, ὡς ἡ μὲν αὐτοτελὴς ὑπόστασις κρείττων ἐστὶ τῆς ὁμοταγοῦς ἐλλάμψεως, οἷον τὸ ἡλίου φῶς, εἰ καθ’ αὑτὸ ὑφεστήκει καὶ μὴ ᾖ ἑτέρου τινὸς ἀπαιώρημα, καὶ οὐσία τις ἦν, ἀλλὰ μὴ τρόπον τινὰ τῆς οὐσίας ἐνέργεια, καὶ αὐτάρκες ἐφ’ ἑαυτοῦ ἑστώς, ἀλλὰ μὴ τῷ ἑτέρου εἶναι συνουσιωμένον κρεῖττον ἀνωμολόγητο. Δῆλον δὲ ὅτι καὶ ἡ τοιάδε ἔλλαμψις ἀμείνων ἐστὶ τῆς ἑτέρας· αὕτη μὲν γάρ, εἰ καί τινος ἑτέρου ἐστίν, ἀλλὰ τοῦ κρείττονος, αὐτοῦ τε τοῦ ἐλλάμποντος, ἐκείνη δὲ τοῦ χείρονος, τοῦ γὰρ ἐλλαμπομένου· καὶ ἡ μὲν χωριστή, ἡ δὲ ἐν ὑποκειμένῳ καὶ ἀχώριστος· σαφὲς δὲ ποτέρα πότερον. Ἔτι τοίνυν ἠξιούσθω καὶ ἐκεῖνο πρὸς τούτοις, ὡς εἴ τι κρεῖττον εἴη τῷ χείρονι, καὶ τῷ κρείττονι ἔσται πολλῷ μειζόνως· οἷον εἰ ἡ χείρων φύσει ψυχὴ αὐτοτελὴς οὐσία ἐστί, καὶ οὐκ ἔλλαμψις οὐδετέρα, πάντως ὅτι καὶ ἡ φύσει κρείττων εἴη ἀνθρωπίνη καὶ ἡ θεία πολὺ μᾶλλον· ὥστε, εἰ ἡ ψυχή, καὶ ὁ νοῦς κατὰ τὸν αὐτὸν λόγον· καὶ εἰ ὁ νοῦς, καὶ ἡ ζωὴ ὡσαύτως· εἰ δὲ ἡ ζωή, καὶ ἡ οὐσία· εἰ δὲ ἡ οὐσία, καὶ τὸ ἕν· τὸ γὰρ αὐτοτελὲς καὶ αὐτάρκες καὶ ἐφ’ ἑαυτοῦ ἱδρυμένον ἐν τοῖς ὑπερτέροις ἂν εἴη μᾶλλον ἢ ἐν τοῖς ὑποδεεστέροις· εἰ ἄρα ἐν τούτοις, καὶ ἐν ἐκείνοις. Λέγω δὲ τὸ καθ’ ἑαυτό τε καὶ ἐν ἑαυτῷ οὐσιωμένον ἐπὶ τῶν πεφυκότων ὧδε ἔχειν· τοιαῦτα δὲ οὐσία καὶ ζωὴ καὶ νοῦς καὶ ψυχὴ καὶ σῶμα· διορίζομαι δὲ τοῦτο διὰ τὰ ἐν τούτοις ἔχοντα τὸ εἶναι, ἃ καλοῦμεν στοιχεῖα καὶ μέρη καὶ εἴδη καὶ λόγους τοὺς ἐν ψυχῇ καὶ τὰ τοῦ σώματος ἕτερα τοιαῦτα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.259 Τούτων δὲ οὕτως ἐχόντων, ὅτι μὲν τὰ σώματα πολλά ἐστιν, καὶ διέστηκεν ἀπ' ἀλλήλων καθ' ἕκαστα, φανερὸν καὶ τυφλῷ τὸ λεγόμενον· τὰ δὲ ἔμψυχα τούτων ἢ μιᾷ ψυχῇ ἐψύχωται κοινῇ πάντων, ἢ μετὰ τὴν μίαν εἰσὶ καὶ πολλαὶ ψυχαὶ ἑκάστου μία τις ἴδιος, οὐσία τις ἑκάστη αὐτοκίνητος. Ἀλλ' ὅτι μὲν οὐ μία πάντων ἡ ζωή, καὶ τοῦτο φανερόν· ἄλλης γὰρ ἄλλως αἰσθανόμεθα ζωῆς. Ἴδιοι μὲν οὖν αἱ ψυχώσεις ἑκάστων, ἤτοι δὲ ἐλλάμψεις εἰσὶν ἰδιούμεναι πρὸς τὰ ὑποκείμενα, ἢ ἀπὸ λόγων καθήκουσαι τῆς μιᾶς ψυχῆς ἰδιοτρόπων, ἐν ὑποκειμένῳ δὲ ἐγγιγνόμεναι τῶν σωμάτων ἑκάστῳ· τοῦτο δὲ ἀδύνατον, τὸ γὰρ αὐτὸ ἑαυτὸ κινοῦν πάντως ἐστὶ χωριστὸν τῶν ὑποκειμένων ἢ ψυχουμένων παρ' αὐτοῦ σωμάτων. Ἢ τούτοις μὲν οὐκ ἐμπεφύκασιν αἱ ἐλλάμψεις, οὐδὲ ἐν τούτοις ἔχουσι τὸ εἶναι, ἀποκρέμανται δὲ τῶν ἐλλαμπόντων, καὶ ἐκείνων εἰσὶν εἴτε ἐνέργειαί τινες, εἴτε οὐσίαι δευτέραι συνηρτημέναι ταῖς πρώταις, καὶ ἐκείνων ἀπορρέουσαι, ὡς τὰ φῶτα τῶν φωτιζόντων, εἴτε ὅ τι βούλοιτό τις λέγειν· ἀλλ' ἔσονται πάντως οὐχ ἑαυτῶν ἕκασται, ἀλλὰ μιᾶς φύσεως οἷον ἀποφύσεις, ἢ μέρη ἢ λόγοι οὐσιώδεις. Εἰ δὲ τοῦτο, ποίαν ἕξει χώραν ἡ κακία καὶ ἡ ἄγνοια ἐν ταῖς μερικαῖς ψυχαῖς οὐκέτι οὔσαις; ἔσται ἄρα ταῦτα πάθη τῆς ὅλης· εἰ γὰρ μηδὲν ἦν ἄλλο παρὰ τὸ ἡλίου φῶς ἐν τῷδε τῷ τόπῳ, τὸ σβέννυσθαι πάθος ἦν ἂν τοῦ ἡλιακοῦ φωτός, εἴπερ καὶ τὸ λυχναῖον ἐκείνου ἦν. Τοῦτο δὲ οὐδὲ λέγειν θεμιτόν· οὐκ ἄρα ὡς αἱ ἀνθρώπιναι ψυχαὶ τῆς ὅλης εἰσὶν ἀποφύσεις· αὐτοτελεῖς ἄρα καὶ ἐφ' ἑαυτῶν ἱδρυμέναι, καὶ ἐν ἑαυταῖς ἑαυτῶν οὖσαι καὶ οὐχ ἑτέρων, ὅπερ εἰσὶν αὐτεξούσιοι καὶ αὐτοκίνητοι ὡς ἀληθῶς. Εἰ δὲ τὸ ἀνθρώπειον σῶμα ἔχει μὲν καὶ τὴν ἐν αὐτῷ κατερριζωμένην ἐμψυχίαν, ἔχει δὲ πρὸ ταύτης τὴν ἐμπνέουσαν αὐτοτελῆ ταύτην ψυχήν, ψυχοῦται δέ πως καὶ ὑπὸ τῆς τοῦ παντός, πάντως ὅτι τὰ κρείττονα τῶν ἐμψυχῶν οὐ μόνην ἕξει τὴν ἐν ὑποκειμένῳ ζωήν, οὐδὲ μόνην τὴν κοινὴν καὶ πόρρωθεν ἐμπνέουσαν, ἀλλὰ καὶ τὴν ἴδιον αὐτῶν ἑκάστου· κρείττων γὰρ ἡ τοιάδε ψύχωσις τῆς οὐκ ἐχούσης τὴν αὐτοτελῆ καὶ οἰκείαν ψυχήν. Ὅλως δὲ εἰ τὴν χειρίστην ἔχει κατὰ ἐμψυχίαν, καὶ τὴν κρατίστην κατὰ τὸ κοινὸν τῆς μιᾶς ψυχῆς, διὰ τί μὴ ἂν ἔχοι τὴν ἐν μέσῳ τούτων τεταγμένην; Ἔτι δὲ καὶ ἄλλως, εἰ ἔστιν ἡ ἡμετέρα ψυχὴ ἴδιός τις οὐσία, ἔστι δὲ καὶ ἡ ὅλη καὶ μία, ὥσπερ μονὰς οὖσα τῶν ψυχῶν, διὰ τί μὴ καὶ ὁ πᾶς ἀριθμὸς ὁ μεταξὺ τῆς μιᾶς καὶ τῶν εἰς ἔσχατον μεμερισμένων; πῶς γὰρ οἷόν τε ἦν ἀπὸ τῆς ὅλης προελθεῖν τὰς μερικωτέρας ἁπασῶν ψυχῶν ἄνευ τῶν μέσων πληρωμάτων; ἀνάγκη ἄρα ἕκαστον ἔμψυχον οἰκείαν αὐτοτελῆ κεκλῆσθαι ψυχήν.

1.260 Εἰ δέ τις καὶ ἀκριβολογούμενος διττὴν εἶναι φαίη τὴν ἀπὸ τῆς ὅλης καὶ μιᾶς ψυχῆς ζωοποιίαν, τὴν μὲν προλαμβάνουσαν τὴν ἴδιον, οἵα ζωοποιεῖ καὶ τὰ ἄψυχα τῶν ἐν τῷ παντί, χείρω ταύτην οὖσαν τῆς ἰδιοτρόπου, καὶ μερικωτέρας, οἵαν προσλαβόντα τὰ ἔμψυχα ζωτικώτερα γέγονε, τὴν δὲ ταύτῃ ἐπιγιγνομένην τῇ ἰδίῳ κοινὴν ζωήν, ἀπὸ τῆς ὅλης ἐνδεδομένην ψυχῆς, καθ' ἣν ὁλοῦται τὰ μερικά, καὶ οὕτως ὅμως ἀνάγκη ἢ πάντα ἄψυχα εἶναι καὶ μόνην ζωὴν τὴν κοινήν, καὶ ἀλλοτρίαν ζωὴν τοῦ παντὸς οὖσαν, ἤ, εἰ ἔστι καὶ τὸ ἔμψυχον, εἶναί τινα καὶ ἴδιον ψυχὴν τούτου, δι' ἧς τεύξεται μειζόνως καὶ ὁλικώτερον τῆς τοῦ παντός· εἰσὶν ἄρα μετὰ τὴν μίαν αἱ πολλαὶ ψυχαὶ αὐτοτελεῖς, ὡς ἀπὸ τῶν φαινομένων συλλογίσασθαι. Εἰ δὲ οὕτως ἔχει τὸ ἔμψυχον πρὸς ψυχὴν ὡς τὸ ἔννουν πρὸς τὸν νοῦν, ἀναγκαῖον, οἶμαι, καὶ ἐπὶ τούτων τὸν αὐτὸν λόγον κρατύνειν. Τὸ μὲν οὖν ἔμψυχον σῶμά ἐστιν ἐψυχωμένον, οὐκ ἔλλαμψιν ἔχον μόνην ψυχῆς, ἀλλὰ καὶ ψυχῇ αὐτοτελεῖ συνηρημένον· ἦν γὰρ αὐτῷ τοῦτο κρεῖττον ἐκείνου· τὸ δὲ ἔννουν ψυχή ἐστι νενοωμένη, οὐ μόνην ἔχουσα τὴν νοερὰν ἔλλαμψιν, ἀλλὰ κοινῷ οἰκείῳ συνηρτημένη κατὰ φύσιν, ὃ κρεῖττόν ἐστιν αὐτῇ τοῦ μόνην ἔλλαμψιν ἔχειν νοεράν. Οὐ γὰρ δὴ τοῦτο τὸ κρεῖττον εἶδος ἐν μὲν τοῖς χείροσι συνέστη, καὶ τοῖς χείροσιν ἐνουσιώθη, τοῖς δὲ κρείττοσι καὶ ἐν τοῖς κρείττοσιν οὐκ ἂν ἐγένετο· λέγω δὲ τὸ αὐτοτελεῖ μὲν ψυχῇ συνεζεῦχθαι τὸ ἔμψυχον σῶμα, νῷ δὲ τὴν ἔννουν ψυχὴν μὴ συνεζεῦχθαι αὐτοτελεῖ. Κρεῖττον γὰρ ὂν τοῦτο, πῶς οὐκ ἂν μειζόνως ὑπάρξειεν τοῖς κρείττοσιν; Ἀλλὰ μὴν ὁ αὐτὸς τῆς μεθόδου τρόπος καὶ ἐπὶ

νοῦ καὶ ζωῆς· ζῇ μὲν γὰρ ὁμολογουμένως ὁ νοῦς, ἀλλ' ἡ ζωὴ αὕτη τοῦ νοῦ ἐστι καὶ ἐν τῷ νῷ ὑφέστηκεν.

1.261 Δεῖ ἄρα πρὸ ταύτης εἶναι ζωὴν αὐτοτελῆ, ἧς ὁ νοῦς μεθέξει κατὰ συνάρτησιν αὐτῇ, καὶ ὡς κρείττονι συνεζευγμένος, ὥσπερ σῶμα ψυχῇ, καὶ δι' ἧς μεθέξει καὶ τῆς ἀμεθέκτου ζωῆς, ὥσπερ τὸ σῶμα διὰ τῆς ἑαυτοῦ ἰδίας ψυχῆς καὶ τῆς τοῦ εἰληχότος φέρε εἰπεῖν. Ὡσαύτως δὲ ἀναβησόμεθα καὶ ἀπὸ ζωῆς ἐπ' οὐσίαν καὶ τὴν μεθεκτὴν καὶ τὴν ἀμέθεκτον. Ἆρα οὖν οὐ τοῦτο λέγοι τις ἂν καὶ ἐπὶ τοῦ ἡνωμένου, ὡς ὄντος τριττοῦ καὶ αὐτοῦ, τοῦ μὲν κατὰ ἕξιν τὴν ἐν τῇ οὐσίᾳ, τοῦ δὲ κατὰ τὴν μεθεκτὴν ὑπόστασιν, τοῦ δὲ κατὰ τὴν ἀμέθεκτον; Ὁ δὲ αὐτὸς ἀπαιτήσει λόγος καὶ τοῦ ἁπλῶς ἑνὸς καὶ πρὸ πάντων ἑνὸς εἶναι τριττὴν ὑπόστασιν· τὸ μὲν γὰρ εἶναι τῆς ἐν ἄλλῳ γεγονυῖαν ἔλλαμψιν, καθ' ἣν ἕκαστον ὁπώσποτε ὑφεστὼς ἓν λέγομεν, τὸ δὲ κατὰ τὴν ἀμέθεκτον ὕπαρξιν, τὸ δὲ κατὰ τὴν μέσην τὴν μεθεκτήν, δι' ἧς τὰ μετέχοντα καὶ τῆς ἀμεθέκτου τι παραπολαύει. Ἀλλ' αὕτη μὲν ἡ ἀπορία καὶ εἰσαῦθις ἡμᾶς περιμένει. Βούλομαι δὲ κατὰ ἄλλην ἔφοδον λόγων ἀναδραμεῖν πάλιν κάτωθεν ἄνω, διὰ τεκμηρίων ἀποδεικνὺς ὡς ἀναγκαῖον ἄρα μὴ μόνον τὰς μονάδας εἶναι τὰς ὑπερτέρας ἀεὶ πρὸ τῶν καταδεεστέρων, ἀλλὰ καὶ τοὺς ἀριθμοὺς ἑκάστους τοὺς ἀπὸ τῶν οἰκείων μονάδων διακρινομένους· οἷον ὃ νῦν δὴ ἔλεγον, ὅτι καὶ ψυχαὶ πολλαὶ γεγόνασι μετὰ τὴν μίαν, καὶ νόες μετὰ τὸν ἕνα πολλοί, καὶ ζωαὶ καὶ οὐσίαι πολλαὶ μετὰ τὴν μίαν ζωὴν καὶ οὐσίαν, ἐφ' οἷς πάλιν ἡ αὐτὴ ἡμῖν ἀπορία ἀπαντήσεται περὶ τοῦ ἡνωμένου καὶ τοῦ ἑνός. Ὅτι μὲν τοίνυν τρία τὰ ἐφεξῆς ἀναγκαῖον ὑποτίθεσθαι, τὸ ἑτεροκίνητον, τὸ αὐτοκίνητον, τὸ ἀκίνητον, ἱκανῶς, οἶμαι, καὶ οἱ παλαιότεροι δεικνύουσιν. Εἰ γὰρ ὑφ' ἑτέρου κινεῖται τὸ κινούμενον σῶμα, οὐ γὰρ ὑφ' ἑαυτοῦ, ἢ σῶμα τὸ κινοῦν, καὶ αὐτὸ ὑφ' ἑτέρου, καὶ τοῦτο ἐπ' ἄπειρον, ἢ ὑπ' ἀκινήτου· καὶ πῶς τοῦτο ποτὲ μὲν κινήσει, ποτὲ δὲ οὔ; τὸ γὰρ ἑτεροκίνητον ἐν μεταβολῇ θεωρεῖται, τὸ δὲ ἀκίνητον οὐκ ἂν ἐξάρχοι μεταβολῆς, ἵνα μὴ καὶ αὐτὸ μεταβάλλοι· ὑπόκειται δὲ ἀκίνητον· ἢ εἰ ταῦτα ἀδύνατα, τὸ αὐτοκίνητον ἄρξει μεταβολῆς τῆς τε ἑαυτοῦ καὶ τῆς τοῦ ἑτεροκινήτου.

1.262 Ἀνάγκη ἄρα πρὸ τοῦ ἑτεροκινήτου τὸ αὐτοκίνητον ὑποτίθεσθαι· καὶ μὴν τὸ κινοῦν, ᾗ κινεῖ, πάντως ἀκίνητον· εἰ γὰρ καὶ τοῦτο κινοῖτο, ἐπ' ἄπειρον ἥξομεν· εἰ δὲ τὸ αὐτοκίνητον λέγοι τις εἶναι τὸ πρῶτον κινοῦν, ἀκίνητον ἂν εἴη, καὶ οὐκ αὐτοκίνητον· εἰ δὲ ταὐτὸν ἅμα κινοῦν καὶ κινούμενον, καὶ ᾗ μὲν κινοῦν, ἀκίνητον, ᾗ δὲ ὑφ' ἑαυτοῦ κινούμενον, αὐτοκίνητον, οὐκ ἔσται καθαρῶς ἀκίνητον, ἀλλὰ πρῶτον μὲν τῶν κινουμένων, ὅτι οὐχ ὑπὸ ἄλλου, ἀλλ' ὑφ' ἑαυτοῦ, ἔσχατον δὲ τῶν κινούντων, ὅτι οὐ μόνον ἐστὶ κινοῦν, ἀλλὰ καὶ κινούμενον. Δεῖ δὲ τὸ ἀμιγὲς πρὸς τὸ χεῖρον πρὸ τοῦ μεμιγμένου τίθεσθαι ὡς πρῶτον· εἰ γὰρ δεῖ εἶναι πρὸ τοῦ κινουμένου τὸ κινοῦν, ὅπερ ἐξ ἀνάγκης ἀκίνητον, οὐ δύναται πρῶτον εἶναι κινοῦν τὸ ἅμα κινούμενον· οὐδὲ γὰρ κυρίως τοῦτό ἐστι τὸ κινοῦν. Τί γὰρ μᾶλλον κινοῦν ἢ κινούμενον τὸ αὐτό; καὶ τί μᾶλλον τῶν ἀκινήτων ἢ τῶν κινουμένων εἶναι λέγοιτο; κἂν ἑαυτὸ γὰρ μεταβάλῃ, μεταβάλλεται ὅμως· οὐκ ἄρα ἀκίνητον ὡς ἀληθῶς. Δεῖ ἄρα πρὸ τοῦ αὐτοκινήτου τὸ ἀκίνητον, ὃ πάλιν τριττὸν ἂν εἴη τὴν φύσιν· δύναται γὰρ ἀκίνητον εἶναι παντελῶς ὁ νοῦς, ἡ ζωή, ἡ οὐσία· αὕτη μὲν ὡς ὑπεραιώνιος, ὁ δὲ νοῦς ὡς αἰώνιος, ἡ δὲ ζωὴ ὡς αἰὼν αὐτός· ἢ ἄμεινον ἴσως τὸ μὲν φάσκειν εἰς εἴδη περιγεγράφθαι καὶ διακεκρίσθαι, τὸ δὲ ἀπερίγραφον εἶναι καὶ ἀδιάκριτον, τὸ δὲ οὕτω μέσως ἔχειν ὡς ἐγείρεσθαι μὲν πρός τε διάκρισιν καὶ περιγραφήν, οὔπω δὲ ἐν τῷ διακεκρίσθαι καὶ περιγεγράφθαι τελέως ἑστάναι· δήλη δὲ τούτων καὶ ἡ τάξις, ἔσται δὲ πρὸ τούτων καὶ ἀναπαρατεινόμενον πᾶσι τὸ ἕν· οὐ γὰρ ταὐτὸν ἓν καὶ ἡνωμένον· τοῦτο γὰρ ἦν τὸ ἀδιάκριτον. Τούτων δὲ εἰς τοσοῦτον ὑπεμνησμένων, ἡ ζήτησις ἡμῖν προκείσθω τῶν ὑφ' ἕκαστον γένος, οἷον πολλῶν εἰδῶν, εἰ καὶ ταῦτα πρὸς τοῖς κοινοῖς ἀναγκάσει τις λόγος· προδιοριστέον δὲ καὶ ταῦτα πρὸς τούτοις εἰρημένοις, ἓν μὲν ὅτι τὰ μέρη τῷ οἰκείῳ ὅλῳ συνειδοποιεῖται, καὶ τῇ τοῦ ὅλου ἐνεργείᾳ καὶ τὴν τοῦ μέρους χαρακτηριστέον, οἷον τὸ δοξαστικὸν οὐ ταὐτὸν κατ' εἶδος τό

τε τῆς θείας ψυχῆς, καὶ τὸ τῆς δαιμονίας καὶ τὸ τῆς ἀνθρωπίνης, ἀλλὰ τὸ μὲν καὶ αὐτὸ ἀνθρώπινον, τὸ δὲ δαιμόνιον, τὸ δὲ θεῖον· ὁμοίως δὲ ἔχει καὶ λόγος ἕκαστος ὁ ἑκάστη· καὶ τὸ αὐτοκίνητον ἄρα ἄλλο καὶ ἄλλο κατ’ εἶδος, ὥστε καὶ τὸ φαινόμενον αὐτοκίνητον εἴδει διάφορον, τὸ ἀπὸ τῆς ἄλλης καὶ ἄλλης καθῆκον.

1.263 Οὐκοῦν καὶ ἀντιστρέψαντι ῥητέον ὅτι τὰ φαινόμενα διάφορα κατ’ εἶδος ὄντα ἀπὸ διαφόρων κατ’ εἶδος ἀληθινῶν προέρχεται· ὥστε τὰ πολλὰ εἴδη φαινόμενα τῶν πολλῶν ἀληθινῶν εἰδῶν ἐστι τεκμήρια, ἐπεὶ καὶ τὸ κοινὸν φαινόμενον τοῦ κοινοῦ ἀληθοῦς ἀποδεικτικόν. Εἰ τοίνυν ἁπλῶς τὸ φαινόμενον ἐν τῷ ἑτεροκινήτῳ αὐτοκίνητον, τεκμήριον ποιούμεθα τοῦ ἀληθοῦς αὐτοκινήτου, ὡς ἐν Φαίδρῳ δείκνυται τελειότερον. Εἰ πολλὰ εἴη τὰ εἴδη τῶν φαινομένων, πολλὰ ἂν εἴη καὶ τὰ εἴδη τῶν ἀληθινῶν· ἕκαστον γὰρ φαινόμενον τοῦ οἰκείου ἀληθινοῦ τεκμήριον γίνεται, ὡς ἑκάστη εἰκὼν διαφέρουσα κατ’ εἶδος ὅλον τοῦ οἰκείου παραδείγματος. Εἰ δὴ ἕκαστον ἔμψυχον φαινόμενόν ἐστιν αὐτοκίνητον, καὶ οὐ ταὐτὸν εἴδει ἕκαστον, σαφὲς ὅτι καὶ τὰ ἀληθῶς αὐτοκίνητα πολλὰ εἴδη ἔσται· πολλαὶ ἄρα αἱ ψυχαί. Ἀλλ’ ἴσως ὡς πολλὰ παραδείγματα ἐν τῷ ἑνὶ νῷ, οὕτω πολλαὶ ψυχαὶ οἱ πολλοὶ ψυχικοὶ λόγοι, διωρισμένοι κατ’ εἶδος ἐν τῇ μιᾷ ψυχῇ τῇ ὅλῃ καὶ μονοειδεῖ· ἀλλὰ τὰ μέρη ἐκείνης θεῖά ἐστι πάντα καὶ παντελοῦς μέρη φύσεως, ὥστε ἐν μέρει παντελῆ καὶ αὐτά· ὁλικὸν γὰρ ἕκαστον καὶ τῷ ὄντι κοσμικόν· οὐ πᾶν δὲ ἔμψυχον τοιαύτας ἀποδίδωσιν ἐνεργείας, οὐδὲ τοιοῦτον τὴν φύσιν ἐστίν, ἀλλὰ τὸ μὲν θεῖον, τὸ δὲ δαιμόνιον, τὸ δὲ ἀνθρώπειον, καὶ τὸ μὲν Πυθαγόρου ἔμψυχον, τὸ δὲ Κύλωνος, καὶ τὸ μὲν Πλάτωνος, εἰ τύχοι, τὸ δὲ Κλέωνο ς. Ἀνάγκη ἄρα καὶ τὰς κυρίως αὐτοκινήτους ψυχὰς ἄλλας εἶναι καὶ ἄλλας τοῖς αὐτοῖς εἴδεσι, καὶ ἔτι μειζόνως διαφερούσας καὶ τὰ φαινόμενα αὐτοκίνητα· πολλαὶ ἄρα αἱ ψυχαὶ μετὰ τὴν μίαν καὶ ὅλην, ἀλλ’ ἴσως οὐ συντεταγμέναι τοῖς ἐμψύχοις, χωρισταὶ δὲ ἐφ’ ἑαυτῶν οὖσαι, καὶ πόρρωθεν ἐλλάμπουσαι τὰς ἐμψυχίας, καθ’ ἃς ἔμψυχα τὰ σώματα γίγνεται. Ἀλλ’ εἰ καὶ ἀληθὲς ὑποθοῖτό τις εἶναι τὸ λεγόμενον, οὐδὲν ἂν εἴη πρός γε τὸ παρόν· ὅτι γὰρ ἕκαστον ἔμψυχον οἰκείαν ἔχει ψυχήν, τὴν τὸ φαινόμενον αὐτοκίνητον αὐτῷ χορηγοῦσαν διάφορον, τοῦτο ἠβούλετο δεικνύναι ὁ λόγος, εἴτε πόρρωθεν, εἴτε ἔγγυθεν εἴτε ὅπη καὶ ὅπως τοῦτο διαπράττοιτο· ἔπειτα ἄλλαι μέν εἰσιν αἱ τοῦ ἐμψύχου ἐνέργειαι ἀχώριστοι καὶ ζῳώδεις, ἄλλαι δὲ αἱ τῆς ψυχῆς αὐτῆς ἢ μαχομένης τῷ ἐμψύχῳ, ἢ ταττούσης αὐτὸ καὶ διακοσμούσης, ἢ ἀναχωρούσης ἀπ’ αὐτοῦ προτροπάδην, ἢ οὐδὲ παρεῖναι δοκούσης διὰ τὸν πολὺν χωρισμόν.

1.264 Καὶ ταῦτα ἐναργῆ ἐφ’ ἡμῶν γέ ἐστιν, ἐπὶ δὲ τῶν δαιμονίων γενῶν ἧττον μὲν διὰ τὸ ἀφανές, ἤδη δὲ καὶ πολλοὶ τοιούτοις ἐγένοντο προστυχεῖς, ἐπὶ δὲ τῶν θείων δυσκολώτερον διακρῖναι τάς τε τοῦ ἐμψύχου καὶ τὰς τῶν ψυχῶν ἐνεργείας, καὶ ἔτι τὰς αὐτῶν τῶν θεῶν, ὧν ἐξημμέναι ψυχαί. Συλλογίσαιτο δ’ ἂν ὅμως ἄν τις ῥᾳδίως τὰ αὐτὰ καὶ περὶ τούτων· οὐ γὰρ ἡ μὲν ἡμετέρα ὡς ὀργάνῳ χρῆται τῷ ἐμψύχῳ, ὡς δηλοῖ ποτὲ μηδὲ χρωμένη, ἡ δὲ θεία οὐκ ἂν οὕτω κινοῖ τὸ ἑαυτῆς ἔμψυχον, κἂν ἀεὶ κινῇ, ἀεὶ καὶ τὸ χωριστὸν ἀπ’ αὐτοῦ προβεβλημένη. Εἰ τοίνυν ἑκάστης ὡς ὄργανον ἐξῆπται τὸ ἔμψυχον, σαφὲς ὅτι σύνεστιν αὐτῷ ὡς τῷ ὀργάνῳ τὸ χρώμενον· τοῦτο δέ ἐστιν ἡ ἑκάστου λογικὴ ψυχὴ κατὰ σύνταξιν ὁρωμένη πρὸς τὸ οἰκεῖον ὄργανον, ὃ δὴ καὶ ὄχημα καλοῦμεν. Πολλαὶ ἄρα ψυχαὶ τῶν πολλῶν ἐμψύχων ἡγοῦνται, αἱ διαφέρουσαι εἴδει ἀλλήλων τῶν εἴδει ἀλλήλων διαφερόντων, αἱ ἀληθῶς αὐτοκίνητοι τῶν φαινομένων αὐτοκινήτων. Ἀνάβηθι δὴ ἀπὸ τοῦ αὐτοκινήτου ἐπὶ τὸ ἀκίνητον, ὥσπερ ἀπὸ τοῦ ἑτεροκινήτου ἐπὶ τὸ αὐτοκίνητον ἀναβέβηκας. Ἔστι γάρ τι καὶ φαινόμενον ἀκίνητον, οἷον τῶν οὐρανίων περιφορῶν, τὸ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως περιπολεῖν, ἔστω ἀπὸ ψυχῆς· μεταβολὴ γὰρ καὶ αὕτη τις. Τὸ δὲ ὡσαύτως καὶ ἀεὶ καὶ ὅσα τοιαῦτα κατὰ τὸ ἀμετάβλητόν ἐστί τε καὶ λέγεται· διὸ ταύτῃ τὸν νοῦν μιμεῖται ἡ κύκλῳ φορά, ὥς φησι Πλωτῖνο ς , μᾶλλον δέ, ὡς αὐτὸς ὁ Πλάτων ἐν τῷ τῶν Νόμω ν , εἰκόνα ταύτην προὐβάλετο τῆς τοῦ νοῦ κινήσεως, ὡς τοῦ ἀληθινοῦ ἀκινήτου

τὸ φαινόμενον ἀκίνητον· φαινόμενον γὰρ ὡς ἀληθῶς, ὅτι συγκέκραται μὲν τὸ ἀεὶ τῷ ποτέ · ἀεὶ γὰρ ὅτε κινεῖται, καὶ ὡσαύτως τῷ ἄλλοτε ἄλλως.

1.265 Ἐν μεταβολῇ γὰρ τῇ κατὰ ἀριθμὸν καὶ τὸ ὡσαύτως · ὥστε καὶ καθόλου τῷ ἀκινήτῳ τὸ κινούμενον. Εἰ δὲ καὶ ἐν τῇ κυκλοφορίᾳ τῶν ψυχῶν θεάσαιο τὴν εἰκόνα τοῦ νοῦ, ὄψει καὶ ἐκεῖ ἀνάλογον τῷ ἀκινήτῳ τὸ κινούμενον συμπεφυρμένον. Ἀλλ' ἴσως εἴποι τις ἂν οὐ τοῦ νοεροῦ ἀκινήτου ἔνδοσιν εἶναι καὶ εἰκόνα τὸ τοιοῦτον ἀκίνητον, ἀλλὰ τοῦ ψυχικοῦ, οὗ καὶ τὸ ἐν σώμασιν ἀμετάβλητον, λέγω δὲ τὸ κατ' οὐσίαν· εἶναι γάρ τοι καὶ ἀμετάβλητόν τι κατὰ τὸ οὐσιῶδες ἔν τε τοῖς σωματικοῖς εἴδεσι καὶ ἐν ταῖς ψυχαῖς· ἀθάνατοι γὰρ καὶ οὔτε εἴσθεσιν οὔτε ἀφαίρεσιν οὐδεμίαν ἐπιδεχόμεναι, οὐδὲ ὅλως μεταβολήν· ἡ γὰρ οὐσία αὐτῶν ἤτοι αἰώνιός ἐστιν, ὡς πλεονάκις οἱ φιλόσοφοι βούλονται, ἢ γεννητὴ μέν, ἀμετάβλητος δὲ τὸ πάμπαν· εἶναι γάρ τινα καὶ τοιαύτην γένεσιν ἀναγκαῖον ὁμολογεῖν, καὶ οὐ πᾶν τὸ ἀμετάβλητον πάντως αἰώνιον· ἡ γὰρ ἡλίου, φέρε εἰπεῖν, οὐσία καὶ ὑπόστασις, ἀΐδιος οὖσα καὶ ἀμετάβλητος, οὐκ ἂν αἰώνιος εἴη. Πῶς γὰρ ἂν εἴη τὸ σῶμα αἰώνιον ἄλλο ἀλλαχοῦ διαστὰν καὶ διαπεφορημένον; ἀμέριστον γὰρ τὸ αἰώνιον καὶ κατὰ τόπον καὶ κατὰ χρόνον. Ταῦτα μὲν οὖν ἀληθῆ, καὶ ἀποδείκνυται ἡμῖν ἐν ἄλλοις ἀκριβέστερον. Οὐ μὴν τὸ φαινόμενον ἀκίνητον ἐπὶ τοῦτο ἡμᾶς ἀνάξει τὸ πρῶτον ἀκίνητον· εἰ γὰρ καὶ εἰς τοῦτο προσεχέστερον, ἀλλ' οὔτι γε καὶ εἰς πρῶτον καὶ ἀληθινόν· οὐ γὰρ τοῦτο τὸ ἀκίνητον ἐτιθέμεθα ἀντιδιαιροῦντες πρὸς τὸ αὐτοκίνητόν τε καὶ ἑτεροκίνητον, ὃ γενητὸν ὂν ἦν ἀμετάβλητον, ἀλλ' ὅπερ ὄντως αἰώνιον ἢ καὶ ὑπεραιώνιον· τοῦτο γὰρ ἦν τὸ ἀληθῶς καὶ πρώτως ἀκίνητον, ἐπεὶ τὸ γενητόν, κἂν ᾖ ἀμετάβλητον, ἢ ἑτεροκίνητόν ἐστι (τοῦτο δέ ἐστιν ἐν τῷ ἑτεροκινήτῳ φαινόμενον ἀκίνητον), ἢ αὐτοκίνητον, καὶ ἐν τῷ αὐτοκινήτῳ φαινόμενον ἀκίνητον.

1.266 Ὡς γοῦν τὸ ἀληθὲς ἑτεροκίνητον φαινόμενόν ἐστιν αὐτοκίνητον, οὕτω καὶ τὸ ἀληθὲς αὐτοκίνητον φαινόμενόν ἐστιν ἀκίνητον. Ὅ τι γὰρ ἡ οὐσία τῆς ψυχῆς οὔτε κινοῦν καὶ αὐτοκινούμενον· ᾗ δὲ κινούμενον, πῶς αἰώνιον; ἅμα δὲ ὂν κινοῦν καὶ κινούμενον, οὐκ ἂν εἴη κυρίως ἀκίνητον, καὶ ὃ μόνως ἀκίνητον οὐ μέντοι ἅμα καὶ κινούμενον. Τὸ γὰρ κινούμενον γενητοῦ τινός ἐστι σημαντικόν· διὸ καὶ τὸ αὐτοκίνητον αὐτογένητον ἑρμηνεύεται· γιγνόμενον μὲν γάρ, ἀλλ' ὑφ' ἑαυτοῦ, καὶ ταύτῃ τοῦ ἑτεροκινήτου διαφέρον, καὶ αὐτοκίνητον οὐκ ἀληθινόν ἐστιν, ἀλλὰ φαινόμενον ἐγκεκραμένον τῷ κινουμένῳ, ὡς τὸ φαινόμενον αὐτοκίνητον ἅμα καὶ ἑτεροκίνητον. Ὥσπερ οὖν τὸ ἐν ταῖς ἐνεργείαις τῶν ἐμψύχων αὐτοκίνητον ἀνῆγεν ἡμᾶς προσεχῶς ἐπὶ τὴν οὐσιώδη φαινομένην αὐτοκινησίαν, κυρίως δὲ ἐπὶ τὴν ἀληθινήν, οὕτω καὶ τὸ ἐν ταῖς μεταβολαῖς ἀεὶ κατὰ αὐτὰ καὶ ὡσαύτως ἔχον ἀνάγει ἡμᾶς προσεχῶς ἐπὶ τὴν οἰκείαν οὐσίαν, ἥ ἐστι καὶ αὐτὴ φαινομένη ἀκινησία, εἰ καὶ μᾶλλον ὡμοιωμένη πρὸς τὸ ἀκίνητον, κυρίως δὲ καὶ ἀληθῶς ἀνάξει εἰς τὸ πρῶτον ἀκίνητον. Εἰ ἄρα ἐστὶ τὸ αὐτοκίνητον, ἔστι τὸ ἀκίνητον πρὸ αὐτοῦ· καὶ εἰ ἔστι πολλὰ αὐτοκίνητα διαφέροντα κατ' εἶδος ἀλλήλων, ἕκαστον ἡμᾶς ὁμοειδῶς εἰς τὸ οἰκεῖον ἀνοίσει ἀκίνητον. Ἀλλ' ἴσως εἴποι τις ἂν ὅτι πολλὰ εἴδη ἐν ἑνὶ ἀκινήτῳ συνειλημμένα, ὡς τὰ παραδείγματα ἐν τῷ νῷ, καὶ οὐκ ἄρα πολλοὶ νοῖ μετὰ τὸν ἕνα, καὶ ἀπ' αὐτοῦ προελθόντες; ἢ οὐ ταὐτὸν εἰπεῖν τοῦ ἑνὸς νοῦ τὸ ἡλιακὸν μέρος ἢ σεληναῖον, καὶ τὸν ἡλιακὸν νοῦν ἢ σεληναῖον, οὐδὲ γὰρ τὸ φαινόμενον ἀκίνητον τῆς ὅλης ψυχῆς ταὐτὸν καὶ τὸ ἐν μέρει αὐτῆς διειλημμένον ἡλιακὸν ἢ σεληναῖον, καὶ τὸ τῆς καθ' αὑτὴν ἡλιακῆς ψυχῆς ἢ σεληναίας· οὐδὲ γὰρ τὸ ἐμοῦ ψυχικὸν ἀκίνητον φαινόμενον ταὐτὸν καὶ τὸ ἐν τῇ ὅλῃ προειλημμένον κατὰ τὸ αἴτιον τῆς ἐμῆς ψυχῆς. Ἐπεὶ οὖν εἴδει διαφέρουσιν ἡ μὲν ἐμὴ ψυχὴ τῆς ἐν Κρόν ῳ , εἰ τύχοι, προλήψεως, τῆς ἐμῆς ὡς μέρους ἐκεῖ θεωρουμένης, ἡ δὲ Κρόνου τῆς ἐν τῇ ὅλῃ ψυχῇ προειλημμένης κρονίας ψυχικῆς αἰτίας, δῆλον ὅτι ὡς καὶ τὰ φαινόμενα αὐτῶν ἀκίνητα κατ' εἶδος ἀλλήλων διοίσει, ὥστε καὶ ἐπὶ διαφέροντα κατ' εἶδος αἰτίας τὰ ἀληθῶς ἀκίνητα ἡμᾶς ἀνοίσει τὸν τεκμηριώδη τρόπον. Οὐκ

ἄρα ταὐτὸν ἀκίνητον ἀναφανήσεται ἔκ τε τῆς ἐν τῇ ὅλῃ προλήψεως τῆς Κρόνου ψυχῆς καὶ αὐτῆς τῆς τοῦ Κρόνου ψυχῆς. Ἐκ μὲν ἄρα ταύτης ἐπὶ κρόνιον ἴδιον ἀκίνητον νοῦν, ἐκ δὲ ἐκείνης ἐπὶ μέρος τὸ ἐν τῷ ὅλῳ νῷ καὶ τοῦτο κρόνιο ν .

1.267 Τῷ ἄρα πολλὰς εἶναι ψυχὰς αὐτοτελεῖς μετὰ τὴν καὶ ἀπ' αὐτῆς προελθοῦσαν ἕπεται πολλοὺς εἶναι νόας αὐτοτελεῖς μετὰ τὸν ἕνα προελθόντας. Διὸ καὶ χρὴ ζητεῖν εἰ, κατὰ πᾶν φαινόμενον ἀκίνητον, καὶ ἀληθὲς ὑποθησόμεθα. Οὕτω γὰρ ἔσται καὶ τῆς ἐμῆς ψυχῆς ἴδιος νοῦς αὐτοτελής. Καὶ τί γὰρ οὐχί, φαίη τις ἄν, εἴπερ καὶ κατὰ ἔμψυχον ἕκαστον, λέγω δὲ καθ' ἕκαστον φαινόμενον αὐτοκίνητον, ἔστι ψυχή τις αὐτοτελὴς ἴδιος; Ἀλλὰ τοῦτο μὲν ἡμᾶς περιμενέτω ἐζητημένον. Νῦν δὲ πάλιν ἐκεῖνα προσεξετάσωμεν, εἰ μὴ μόνον δείκνυσιν ὁ λόγος πολλοὺς νόας ἁπλῶς, ἀλλὰ καὶ συντεταγμένους ταῖς πολλαῖς ψυχαῖς, ὡς ὀργάνοις ἢ ὡς ὀχήμασιν; Ὅτι μὲν δὴ τὸ ἡλιακὸν φαινόμενον ἀκίνητον ἡλιακὸν αὐτοτελῆ νοῦν ἡμῖν ἀποδείκνυσι, καὶ πᾶν σεληναῖον αὖ σεληνιακόν, φανερόν. Εἰ δὲ ὁ μέν ἐστιν ἡλιακὸς μερικός, ὁ δὲ σεληνιακός, ὁ μὲν ἐνδώσει τῇ σελήνῃ, ὁ δὲ τῇ ἡλίου ψυχῇ τὸ φαινόμενον ἀκίνητον, καὶ διὰ τῆς ἑτέρας ὁ ἕτερος τοῖς φυσικοῖς εἴδεσι τὸ ἐπιβάλλον καὶ τούτοις ἴχνος ἢ εἴδωλον τοῦ ἀκινήτου· συντάξεται ἄρα κατὰ οἰκειότητα ὁ μὲν τῇ ἡλίου, ὁ δὲ τῆς σελήνης, καὶ χρήσεται ὡς ὀργάνῳ πρὸς τὴν τῶν τριῶν τελείωσιν, ὁ ἕτερος τῇ ἑτέρᾳ, δῆλον δὲ ποτέρᾳ πότερος. Οὗτος ἄρα ὁ τρόπος τῆς ἀποδείξεως οὐκ ἐπὶ τοὺς ἀμεθέκτους πολλοὺς νόας ἀνάγει, ὡς ἄρτι ἔδοξεν, ἀλλὰ πᾶν τοὐναντίον ἐπὶ τοὺς μεθεκτούς. Καὶ γὰρ ἀπὸ τῶν ἐμψύχων ἀνηγόμεθα κατὰ λόγον ἐπὶ τὰς συντεταγμένας τούτοις καὶ μετεχομένας ὑπὸ τούτων ψυχάς· καὶ πῶς γὰρ εἰκὸς ἦν ἀπὸ τῶν ἐνδιδομένων ἀνιόντας μὴ ἐπὶ τούτοις ἀνελθεῖν τοὺς ἐνδιδόντας; ἐνδιδόασι δὲ τὸ μὲν ἔμψυχον τοῖς φυσικοῖς εἴδεσιν αἱ συνηρτημέναι ψυχαί, καὶ προσεχῶς αὐτῶν ἐπιβατεύουσαι, τὸ δὲ ἔννουν ταῖς ψυχαῖς οἱ συνεζευγμένοι αὐταῖς ὁμότροποι νοῖ καὶ ὁμοειδεῖς· συνάπτει γὰρ τὰ μεθεκτὰ τοῖς μεθεκτικοῖς ἥ τε ὁμοιότης τῶν ἰδιοτήτων καὶ ἡ συμμετρία τῶν ἴσων μέτρων τοῦ ἀπὸ τῶν ὅλων μερισμοῦ. Ἆρα οὖν ἓν τὸ μεθεκτόν, τὰ δὲ πολλὰ πανταχοῦ μεθεκτά; ἢ καὶ ψυχὰς οἱ φιλόσοφοι γιγνώσκουσι πρὸ τῶν ἐγκοσμίων ὑπερκοσμίους, καὶ νόας ὑπὸ τῶν ὑπερκοσμίων καὶ μεθεκτῶν τοὺς νοεροὺς καὶ ἀμεθέκτους.

1.268 Τίς οὖν ἡ κάτωθεν ἐπὶ τὸ ἀμέθεκτον πλήθους ἀνάβασις; ἢ τρόπος ὁ αὐτὸς μεθόδου προδιωρίσθω μόνον ἐκεῖνο, ὅτι, ὥσπερ ἡ ἐποχουμένη τῷ νῷ θεότης προείληφε τὴν τοῦ νοῦ ἰδιότητα καὶ ἔστι νοῦς ἑνιαῖος, οὕτω καὶ νοῦς ὁ ἐποχούμενος τῇ ψυχῇ προειληφὼς ἂν εἴη τὴν τῆς ψυχῆς ἰδιότητα, καὶ εἴη ἂν ψυχὴ νοερά· νοῦς μὲν γὰρ καθ' ὑπόστασιν, ψυχὴ δὲ τῇ ἰδιότητι. Καὶ γὰρ ἡ τοιαύτη ἑνὰς ἡ τούτων προκαθημένη πρώτη τὸ ψυχικὸν ἰδίωμα προὐβάλετο, καὶ ἔστι ψυχὴ ἑνιαία κατὰ τὸν αὐτὸν λόγον· καὶ γὰρ οὐσίαν ἑνιαίαν τὸν ἐποχούμενον τῇ καθ' ὑπόστασιν οὐσίᾳ καλοῦμεν θεό ν , καὶ ζωὴν ἑνιαίαν τὸν τῇ ζωῇ ἐποχούμενον· ὥστε καὶ φύσιν ἢ εἶδος ὅλον φυσικόν τε καὶ σωματοειδές, ἢ εἶδος ἁπλῶς ἔνυλον, ἢ εἶδος ἐγκόσμιον, ἥ τε ψυχὴ ἂν εἴη δικαίως ἡ ἐποχουμένη τῷ τοιούτῳ ζῴῳ, καὶ πρὸ ταύτης ὁ νοῦς· καὶ ἔστι πρὸ πάντων ἡ ἑνάς. Ἀμέλει θεοὺς ἐγκοσμίους καὶ θεοὺς αἰσθητοὺς καὶ θεοὺς ἐνύλους τρόπον δή τινα καλοῦμεν τοὺς ἐσχάτους θεούς, οὐ δήπου ὡς οἱ φιλόσοφοι δοκοῦσι λέγειν, ἀπὸ τῶν ἐσχάτων ὀχημάτων εἰδοποιουμένους· οὐδὲν γὰρ ἀπὸ τοῦ χείρονος οὔτε χαρακτηρίζεται οὔτε ὀνομάζεται κατὰ δίκην· ἀλλ' ὅτι πανταχοῦ πρὸ τῶν ἄλλων αἱ ἑνάδες τὰς ἰδιότητας προβαλλόμεναι μεταδιδόασι τούτων καὶ τοῖς οἰκείοις ὀχήμασιν· ὥστε πρῶτοι οἱ θεοὶ γεγόνασιν ἐγκόσμιοί τε καὶ ἔνυλοι καὶ αἰσθητοὶ καὶ σωματικοὶ τὸν ἑνιαῖον τρόπον, εἶτα μετ' αὐτοὺς οἱ νοῖ τὸν νοερόν, καὶ μετὰ τοὺς νόας αἱ ψυχαὶ τὸν αὐτοκίνητον, ἐφ' οἷς καὶ αὐτὸ προῆλθε καὶ ἀφ' ὧν ἐγεννήθη τὸ τοιοῦτον εἶδος, οὐ κατὰ μόνην ἰδιότητα, ὥς φαμεν, ἀλλ' ἤδη καὶ καθ' ὑπόστασιν τὴν ἐσχάτην, ἣν ἑτεροκίνητον καὶ σῶμα αὐτόθεν καὶ αἰσθήσει περίληπτον εἶναι ἀξιοῦμεν· τοῦτο γάρ ἐστιν ὃ καὶ πάλαι πρὸ τῶν φιλοσόφων διατεθρύληται καὶ δέδεικται, ὥσπερ ἰδιότης ἀγαθότης οὖσα ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεῶν ἄρχεται. Τί γὰρ οὐκ ἂν εἴη γέννημα θεοῦ καὶ ἑνός; Τοῦτο μὲν τοίνυν οὕτως ἡμῖν κείσθω διωρισμένον, καὶ πρὸς τὰ παρελθόντα καὶ πρὸς τὰ μέλλοντα χρήσιμον φαινόμενον. Εἰ δὴ δεῖ ἀπὸ τοῦ φαινομένου αὐτοκινήτου εἰς τὸ ἀληθινὸν αὐτοκίνητον ἀναδραμεῖν, πότερον ἔσται ἀληθέστερον τὸ συγκεκραμένον τῇ ἰδιότητι τοῦ ἑτεροκινήτου, καὶ εἰ καθ' ὑπόστασίν ἐστιν αὐτοκίνητον; ἢ τὸ κατ' ἄμφω τοιοῦτον κατά τε ἰδιότητα καὶ ὑπόστασιν αὐτοκίνητον, καὶ ὃ μόνον αὐτοκίνητον, ἄλλο δὲ οὐδέν· ἢ ἐφ' ἑκάτερον μὲν ἡ μετάβασις, ἀλλὰ προσεχῶς μὲν διὰ τὸ συγγενέστερον εἰς τὸ μεθεκτόν, πορρωτέρω δὲ διὰ τὸ ἀληθέστερον εἰς τὸ ἀμέθεκτον.

1.269 Οὕτως ἄρα καὶ ἀπὸ τοῦ φαινομένου ἀκινήτου ἀναβησόμεθα πρῶτον μὲν ἐπὶ τὸν ψυχικὸν νοῦν, τὸν κατὰ ἰδιότητα μόνην αὐτοκίνητον, ἀκίνητον δὲ καθ' ὑπόστασιν, δεύτερον δὲ εἰς τὸν πάντη ἀκίνητον καὶ ὡς ἀληθῶς τοιοῦτον· οὗτος δέ ἐστιν ὁ ἀμέθεκτος νοῦς. Καὶ δῆλον ὅτι πλῆθος νόων τοιοῦτον, καὶ πλῆθος ψυχῶν. Ὡς γὰρ πολλὰ μετεχόμενα, οὕτω καὶ ἀμέθεκτα πολλὰ ἀναγκαῖον εἶναι. Ἑκάστη γὰρ μεθεκτὴ ἰδιότης οἰκείαν ἕξει διακάθαρσιν ἐν τῷ οἰκείῳ ἀληθέστερον καὶ πάντη τοιοῦτον οἷον βούλεται εἶναι τὸ ἀληθινὸν ἀπὸ τοῦ φαινομένου λαμβανόμενον. Εἰ δὲ μή, ἀπὸ παντὸς φαινομένου ἡ ἀνάβασις ἐπὶ τὸ ἀμέθεκτον πάντως· οὐ γὰρ δὴ ἀπὸ τῆς ἀνθρωπίνης ψυχῆς ἐπὶ τὴν ἀμέθεκτον ἥξομεν ψυχήν, ὡς εἶναι Πλάτωνο ς , εἰ τύχοι, ψυχὴν καὶ ὑπερκόσμιον καὶ ἀμέθεκτον, οὐδὲ ἀπὸ τοῦ δαιμονίου νοῦ ἐπὶ τὸν ἀμέθεκτον νοῦν. Πᾶς γὰρ δαίμων ἐγκόσμιος, ὥστε οὐδὲ ψυχὴν ὑπερκόσμιον θησόμεθα κατὰ δαίμονα ἕκαστον· οὐδὲ γὰρ πᾶς θεὸς ἐγκόσμιος εἴη ἂν πρότερον ὑπερκόσμιος, οὐδὲ πᾶς ὑπερκόσμιος ἤδη καὶ νοερὸς προϋφέστηκεν· οὐδὲ γὰρ ὁ νοερὸς καὶ νοητὸς εἴη ἄν· ἢ οὕτω γε πάντα ποιήσομεν πανταχοῦ διωρισμένα, καὶ εὐθὺς ἐν τῷ νοητῷ τὸ τῶν θεῶν ἅπαν πλῆθος διακριθῆναι· λέγω δὲ τὸ τῶν ὅλων ἰδιοτήτων, καὶ τὸ τῶν μερικῶν· καὶ οὐκ ἄρα τὰ ἄνω πρὸς τὰ κάτω παραβαλλόμενα τῷ μὲν ποσῷ συνῄρηται, τῷ δὲ ποιῷ τῆς ἀξίας ὑπερφέρει. Ταῦτα δ' οὖν εἴ τις ἀποροῖ πρὸς τὸν ῥηθέντα λόγον καὶ ἀπαιτοῖ διορίζειν ἀπὸ τίνων μέν ἐστιν ἀνάβασις εἰς τὸ ὑπέρτερον, ἀπὸ τίνων δὲ οὐκ ἔστιν, ἠπόρηται καὶ τοῦτο πρότερον καὶ ἐπιλυσόμεθα αὖθις ὡς δυνατὸν τὴν ἀπορίαν. Νῦν δὲ τοσοῦτον μόνον ἀπαιτεῖν ὑπολαμβάνω τὸν λόγον εἶναί τι καὶ πλῆθος ἀμέθεκτον πρὸ τῶν μετεχομένων καὶ ψυχῶν καὶ νόων, διὰ τὸ καὶ συναπτὸν εἶναι τὸ ἁπλῶς ἀμέθεκτον πρὸς τὸ πλῆθος τῶν μετεχομένων, καὶ ὡς ἓν πρὸς πλῆθος ἀντικείμενον, καὶ ὡς ἀμέθεκτον πρὸς μετεχόμενα; μέσον γὰρ ἂν εἴη τὸ ἀμέθεκτον μέν, πλῆθος δὲ ὄν.

1.270 Εἰ δέ ἐστι καὶ πρῶτον μεθεκτόν, ἡγεῖται δὲ οἰκείου πλήθους τὸ πρῶτον μεθεκτόν, ἡγήσεται ἄρα καὶ τὸ πρῶτον ἀμέθεκτον πλήθους ἰδίου· πᾶς γὰρ ὁμοειδὴς ἀριθμὸς τῇ οἰκείᾳ μονάδι· οὕτως ἄρα καὶ τὸ ἀκίνητον διελοῦμεν τριχῇ. Ἐπεὶ γὰρ ὁ νοῦς διακεκριμένον τί ἐστι καὶ περιγεγραμμένον αὐτός τε καὶ τὰ ἐν αὐτῷ, οὐ μὴν διαπεφορημένον ἀτεχνῶς, ἀλλά πη συναγόμενον, ἐν τῷ διακρίνεσθαι ἔχων τὸ εἶναι, καί, ἵνα σαφέστερον εἴπω, ἐπειδὴ νοῦς ὢν ἔχει ζωήν, ἡ δὲ ζωὴ νοερά πώς ἐστι καὶ οὐ μόνον ζωὴ ἀκραιφνής, δεῖ πρὸ τῆς ἐν ἄλλῳ οὔσης καὶ ἄλλῃ ἰδιότητι τῇ εἰδητικῇ συγκεκραμένης εἶναι τὴν ὑπερείδεον ζωὴν καὶ μόνην ζωὴν καθ' ἑαυτὴν ὑφεστῶσαν, ἐν τῷ διακρίνεσθαι μόνῳ οὐσιωμένην, ἀλλ' οὐχὶ καὶ τὸ διακεκρίσθαι προβαλλομένην. Ἀλλ' ἐπειδὴ καὶ ἡ ζωὴ οὐσίαν ἔχει, ζωτικὴ δὲ αὐτὴ ἡ οὐσία, ἀλλ' οὐχὶ ἁπλῶς οὐσία καὶ διακρινομένη, ἀλλ' οὐχὶ ἁπλῶς ἡνωμένη, δεῖ καὶ πρὸ ταύτης εἶναι τὴν ἀληθῶς οὐσίαν, καὶ μόνην οὐσίαν, καὶ τελέως ἡνωμένην. Καὶ δῆλον ὅτι οὐ μόνον τὰς μονάδας οὕτως ἔχειν τάξεως πρὸς ἀλλήλας, ἀλλὰ καὶ τὰ πλήθη, καὶ οὐ μόνον τὸ μεθεκτὸν ἀναβαίνοντι ἀπὸ τῶν πολλῶν νόων ἐπὶ τὸ τῶν μεθεκτῶν ζῴων πλῆθος, ἀλλὰ καὶ ἀπὸ τούτων ἐπὶ τὸ ἀμέθεκτον πλῆθος. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν οὐσιῶν· ὁ γὰρ αὐτὸς ἐπὶ πάντων λόγος ἁρμόσει. Οὐκοῦν φαίη τις ἂν καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτό, καὶ ἐπὶ ἄρα τοῦ ἡνωμένου μηδὲν κωλύειν τὴν αὐτὴν ἐπάγειν τοῦ λόγου ἀνάγκην. Ἔσονται ἄρα πρὸ τῶν μεθεκτῶν πολλῶν πολλαὶ ἑνάδες μεθεκτοί· ἀλλ' ᾗ μὲν εἰς οὐσίαν προελθοῦσαι, οὐσιώδεις εἰσί, καὶ εἰς ζωήν, ζωτικαί· καὶ γὰρ αἱ νοῦν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξάψασαι ἑαυτῶν νοεραί. Ἀνάγκη ἄρα πρὸ τῶν οὐσιωδῶν θεῶν εἶναι θεοὺς ἀμεθέκτους πολλούς, ἀλλ' οὐχ ἕνα μόνον, εἶναι δὲ καὶ ἕνα πρὸ τῶν πολλῶν, τὸν ἁπλῶς θεόν. Τίς οὖν οὗτος ἂν εἴη; καὶ τίνες ἀμέθεκτοι μετ' αὐτόν; δεῖ μὲν γὰρ αὐτοὺς ἑνιαίους εἶναι καὶ οὐσιώδεις, οὐ μήν γε τοιούτους οἵους φαμὲν τοὺς πρὸ ἑνὸς καὶ οὐσίας ἀδιακρίτους, κατὰ τὸ ἓν ὂν τὸ Πλάτωνος ἡνωμένους. Ἐκεῖνοι γὰρ οὐκ ἦσαν ἑνάδες ἑστῶσαι κατὰ τὸ ἓν μόνον ἀντιδιῃρημένον πρὸς τὸ ὄν, κατὰ τὴν πρώτην ἑτερότητα φανεῖσαν. Ἔοικε γὰρ ἡ ἑτερότης αὕτη, χωρίσασα τὸ ἓν ἀπὸ τῆς οὐσίας, ὀφείλειν τὸ ἓν ἁπλῶς προτάξαι ἁπάντων, εἶτα τὰς πολλὰς ἀμεθέκτους ἑνάδας, μεθ' ἃς ἐφεξῆς τὰς μετεχομένας ὑπὸ οὐσιῶν καὶ ζῴων, καὶ νόων, καὶ ψυχῶν, καὶ σωματοειδῶν φυσικῶν εἰδῶν.

1.271 Ἀλλ' ὁ Πλάτων μετὰ τὸ ἀδιάκριτον ἓν ὂν τοὺς δύο στίχους ἀντέθηκεν τῶν μεθεκτῶν ἑνάδων καὶ τῶν μεθεκτικῶν οὐσιῶν, καί, ὅλως εἰπεῖν, ὑποστάσεων. Ὅλως δὲ εἰ ἀπὸ τοῦ ἁπλῶς ἑνὸς ἀληθὲς εἰπεῖν διττὸν παράγεσθαι πλῆθος, ὡς ἀπὸ τῆς ἁπλῶς οὐσίας καὶ τῆς ἁπλῶς ζωῆς καὶ τοῦ ἁπλῶς νοῦ καὶ τῆς ἁπλῶς, εἰ βούλει, ψυχῆς, τὸ μὲν ἀμέθεκτον, τὸ δὲ μεθεκτόν, (πῶς δὲ οὐκ ἂν λέγοι τις ἐν δίκῃ;) σαφὲς ὅτι καὶ ἀπὸ τοῦ ἁπλῶς ἡνωμένου διττὸν φανεῖται πλῆθος ἡνωμένων, τὸ μὲν ἀμέθεκτον, καὶ οὐ συμπαρατεινόμενον τοῖς μετέχουσιν ἕως τῶν ἐγκοσμίων ζῴων, τὸ δὲ μεθεκτὸν ἄχρι τούτων, καθάπερ τῶν ὅλων ἕκαστον, ὥστε γίγνεται καὶ τοῦ ἡνωμένου πρόοδος ἔξω κατὰ τὰ εἴσω πολλὰ τῶν ἔξω διχῇ προϊόντων. Εἰ δὲ θέμις ἀποροῦντας καὶ περὶ τοῦ ἁπλῶς καὶ ὑπὲρ τοῦ ἡνωμένου ἑνὸς τὰ αὐτὰ συλλογίζεσθαι, τάχα ἂν εἴη καὶ περὶ ἐκείνου τὰ αὐτὰ διαπορεῖν. Διὰ τί γὰρ οὐκ ἔστι καὶ τοῦ ὑπὲρ τὸ ἡνωμένον ἑνὸς ἴδιος πρόοδος ὑπὲρ τὸ ἡνωμένον, ἡ μὲν ἀμέθεκτος, ἡ δὲ ὑπὸ τοῦ ἡνωμένου μετεχομένη; ἢ οὔπω ἐκεῖ διεκρίθη τὸ μετέχον καὶ μετεχόμενον, οὐδὲ τὸ μεθεκτὸν καὶ ἀμέθεκτον, οὐδὲ τὰ πολλὰ καὶ τὸ ἕν· ἓν γὰρ μόνον ἦν ἡ φύσις ἐκείνη, καὶ ἡ δευτέρα ἀρχὴ πολλὰ ἐλέγετο ὡς μία φύσις, αἰτία τῶν κατὰ πάντα τρόπον διακρινομένων, δύναμις οὖσα αὐτόθεν τοῦ ἑνὸς διακριτικὴ καὶ γόνιμος. Οὐκ ἄρα πέφυκεν ἡ τοιαύτη φύσις ὑπομένειν τὰς κατὰ διάκρισιν ἡντιναοῦν γιγνομένας ἀφ' ἑνὸς προόδους· ἓν γὰρ εἶναι βούλεται μόνον καὶ ἓν τὸ παντοῖον καὶ πρὸ πάντων, ἀφ' οὗ δεύτερα ἢ τρίτα φαίνεται τὰ τοιαῦτα γιγνόμενα. Ἔτι δὲ ὅπου πάντα ἕν, οὐ δήπου ἐνταῦθα ἂν συσταίη διαφορά τις, οὐδὲ μία· οὐκ ἄρα τὸ μὲν ἔσται ἓν ἁπλῶς, τὸ δὲ ἀμέθεκτον ἕν, τὸ δὲ μεθεκτὸν ἕν· διαφοραὶ γὰρ αὗται ἔσονται, τῆς τοῦ ἑνὸς φύσεως ἀδιαφόρου παντάπασιν οὔσης· οὐδὲ ἄρα δεκτική ἐστιν, οὐδὲ ὁπωστιοῦν, οὔτε κατὰ ἔμφασιν, οὔτε κατὰ ἀναλογίαν τοῦ μένειν καὶ προϊέναι καὶ ἐπιστρέφειν, ἢ τοῦ γεννῶντος καὶ γεννωμένου· διαφοραὶ γὰρ καὶ αὗταί τινες. Ἔτι ἐπειδὴ πρὸ πάντων ἐκείνη ἐστίν, ἔστι καὶ πάντων ἀρχή, οὐδὲν ἂν ὑπομένοι τῶν ἀπ' αὐτῆς προϊόντων· οὐδὲ ἄρα τούτων τι ὑπομείνειεν ἂν ἡ ἀρχικὴ τῶν πάντων φύσις. Καὶ ταῦτα δὲ τῶν πάντων ἐστὶ καὶ ἤδη τῶν κατὰ διάκρισίν τινα ὑφεστώτων.

1.272 Οὐδὲ τούτων ἄρα τι ἐνδείξεται, οὐ μόνον ἓν εἶναι φαμέν, ἀλλ' οὐδὲ οὐδέν. Ἔτι εἰ ἐν τῷ πάντων ἐξῃρῆσθαι καὶ πάντων εἶναι κοινὴν ἀρχὴν ἔχει τὸ εἶναι, πῶς μὲν ἔτι κοινὴ ἡ φύσις ἐκείνη, εἴπερ ἴδιός ἐστιν οἷον μονὰς τοῦ ὑφ' ἑαυτῆς ἀμεθέκτου πλήθους, πῶς δὲ ἀσύντακτος αὐτῆς ἡ φύσις, εἴπερ ἔχει μεθεκτὸν πλῆθος· πᾶν δὲ τὸ τοιοῦτον συντάττεται τοῖς αὐτοῦ μετέχουσι. Περὶ μὲν δὴ τῆς πρώτης αἰτίας τί δεῖ ἀπομηκύνειν, οὐδὲν ἄλλο κοινὸν πρὸς τὰ ἄλλα πάντα ἐχούσης; ἢ τοῦτο μόνον ὅτι πάντων ἐξῄρηται, καὶ πάντων αἰτία ἐστίν, οὐδὲ τὸ αἰτία διωρισμένον ἔχουσα παρὰ τὸ ἕν. Ἀλλὰ διὰ τί τὸ ἡνωμένον οὐκ ἂν προέλθοι εἰς διττὸν ἀφ' ἑαυτοῦ παραγόμενον πλῆθος, ἀμέθεκτόν τε καὶ μεθεκτόν; μᾶλλον δὲ τὸ μὲν ἀμέθεκτον ὁμολογοῦμεν· εἶναι γὰρ πολλὰ τὸ νοητόν· τριαδικὸν γὰρ αὐτὸ διατελοῦμεν θεωροῦντες, ἵνα μὴ καὶ τριπλασιάσω τὴν τριάδα ταύτην εἰς ἐννεάδα. Ἔδει οὖν καὶ τὸ μεθεκτὸν προϊέναι μετὰ τὸ ἀμέθεκτον; ἢ τάχα ἀληθέστερον εἰπεῖν ὅτι οὐδὲ τὸ ἀμέθεκτον πρόεισιν· οὐ γὰρ μόνον τὸ ἓν ἀναίνεται τὸ διακρινόμενον πλῆθος, ἀλλὰ καὶ τὸ ἡνωμένον συννεῦον ὅλον πρὸς τὸ ἕν, καὶ κατὰ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκείνου φύσιν οἷον εἰδοποιούμενον καὶ μηδαμῇ μηδαμῶς αὐτοῦ ὑφίστασθαι βουλόμενον. Ἐν τούτῳ γὰρ ἔχει τὸ εἶναι τὸ πρῶτον ἡνωμένον. Ὡς οὖν τὸ πρῶτον ἕκαστον ἀληθέστατον εἶναι ἀνάγκη (τί γὰρ ἂν εἴη πρὸ αὐτοῦ, πρὸ τοῦ ὄντος;) οὕτω καὶ τοῦτο πάντως ὅτι ἀληθέστατά ἐστιν ἡνωμένον. Οὐδαμῇ ἄρα οὐδεμίαν οὐδὲ τὸ ἡνωμένον ἐπιδέχεται διάκρισιν, οὐδὲ ἄρα πρόοδον οὐδὲ ἡντιναοῦν· τοιοῦτον γὰρ εἴη ἂν κατὰ τὸ δικαιότατον οἷα καὶ τὰ δοκοῦντα αὐτοῦ στοιχεῖα εἶναι δικαίως ἂν ὑποτεθείη· τὸ γὰρ ἡνωμένως μὲν κάτωθεν εἰπεῖν ἀπὸ τῶν μετ᾽ αὐτό, καὶ ἀπ᾽ αὐτοῦ προϊόντων, ἓν ὄν ἐστιν ἁπλοῦν προτεταγμένον τοῦ τε ἑνὸς καὶ τοῦ ὄντος. Εἰ τοίνυν ταῦτα προόδους ποιεῖται ἀφ᾽ ἑαυτῶν, ὅ γε μηδέτερόν ἐστιν, ἀλλὰ πρὸ ἀμφοῖν, πῶς οὐκ ἂν εἴη καὶ τῆς προοδικῆς ἀνάγκης ὑπέρτερον; αὕτη δέ ἐστιν ἡ διακρίνουσα τὸ ἓν καὶ τὸ ὂν ἀπ᾽ ἀλλήλων· πρώτη γὰρ αὕτη διάκρισις ἀναπέφηνεν. Ὡς δὲ ἄνωθεν ἀπὸ τῶν δυεῖν ἀρχῶν αὐτὸ θεάσασθαι, ἓν ἅμα ἐστὶ καὶ πολλὰ κατὰ μέθεξιν, ὡς ἐκεῖνα ἦν κατ᾽ αἰτίαν. Ἀλλὰ τὸ ἓν καὶ τὰ πολλὰ οὐ πρόεισιν· οὐδὲ γὰρ τὰ πολλά, προόδων γάρ ἐστιν αἰτίον, ἀλλ᾽ οὐ προϊὸν αὐτό· οὐδὲ γὰρ οὕτω πολλὰ ὡς ἓν πλήθει, ἀλλ᾽ ὡς ἓν τοιονδὶ οἷον ἐκτένεια τοῦ ἑνός· διὸ καὶ δύναμις αὐτοῦ ὑμνεῖται, καὶ τὸ πάμφορον αὐτοῦ καὶ πάντων αἴτιον· ᾗ γὰρ ἕν, οὐδὲ αἴτιον πάντων, ἀλλὰ μόνον πρὸ πάντων.

1.273 Ὡς οὖν ἐκ τοιούτων οὐσῶν τῶν δυεῖν ἀρχῶν προϊὸν τὸ ἡνωμένον, καθὸ μὲν ἔχει τι τοῦ ἑνὸς ἡνωμένον, καθὸ δὲ ἐπιφαίνει τι καὶ τῶν πολλῶν, οὐχ ἓν μεῖναν, ἀλλ᾽ ἡνωμένον γενόμενον ἀνθ᾽ ἑνός, καὶ οὐχ ἕκαστον, καὶ ταύτῃ τὸ πολλὸν ἐμφαῖνον (τοῦτο ἦν ἡ δευτέρα ἀρχή), ἀλλ᾽ οὐχ ὃ διακρίνεται ὁπωσοῦν. Τοιοῦτον δὴ οὖν τὸ ἡνωμένον τοῦτο ὄν, πῶς ἂν εἰς πρόοδόν τινα διακρίνοιτο; ἢ ἐν ἑαυτῷ ἢ ἀφ᾽ ἑαυτοῦ, ἢ ἀμέθεκτον, ἢ μεθεκτόν; ἢ πόθεν ἕξει τὰς τοιαύτας διαφοράς, μηδενὸς ἐκεῖ στάντος καθ᾽ ἑαυτό; μὴ τοίνυν μηδὲ διαφορᾶς ἢ ἑτερότητος ἢ διακρίσεως, ἢ προόδου, ἢ ὑφέσεως ἢ ὑπεροχῆς, ἢ γεννῶντος ἢ γεννωμένου, ἢ ἄλλου ὁτουοῦν πρὸς ἄλλο διακριθέντος ἢ διακρινομένου, ἢ μένοντος ἐν ἑαυτῷ, ἢ ὁπώσποτε ἄλλως διοριζομένων τῶν τοιούτων· πάντα γὰρ καταπέπωκεν ἡ τοῦ ἡνωμένου φύσις εἰς μίαν τῶν πάντων ἕνωσιν, ὥσπερ, εἰ θεμιτὸν εἰπεῖν, αὐτὸ τὸ ἓν εἰς μίαν τῶν ἁπάντων ἁπλότητα. Τὸ μὲν οὖν ἀληθὲς ὧδε ἔχειν πείθομαι παντὸς μᾶλλον, καὶ ὁ Ἰάμβλιχος πολλαχοῦ πολὺς ἀναγκάζων ἡμῖν τὰς πολλὰς νοήσεις οἷον εἰς ἓν κέντρον συνερείδεσθαι, καὶ τὴν περιφορὰν κέντρον ποιεῖν, καὶ οὕτω προσιέναι τῷ ἡνωμένῳ καὶ νοητῷ ἡνωμένως καὶ νοητῶς μιᾷ μεγάλῃ νοήσει καὶ ἀδιακρίτῳ καὶ νοητῇ. Ἐπειδὴ δὲ οὐ ῥᾴδιον τὴν τοιάνδε νόησιν ἄνθρωπον ὄντα προβάλλεσθαι, ἄλλως τε καὶ ἐπὶ γῆς ἔτι διαιτώμενον, ἐθέλομεν δὲ ἀμηγέπη καὶ τὰ ἐκεῖ θεωρεῖν ἐν βάθει τῷ ἐκεῖ κεκρυμμένα, καὶ οἷον συγκεχυμένα, πρός γε τὴν ἡμετέραν ἐπιβολήν, ἐπιχειρήσαντες οὖν τὴν φύσιν ἐκείνην συνελεῖν οὕτως ὡς ἔχομεν, οὔπω συνῃρημένοι κατὰ τὴν μίαν νόησιν, ἣν κέντρον ἐλέγομεν πασῶν τῶν νοήσεων, διχῇ τὴν πρώτην διέστημεν περὶ τὴν ἀδιάστατον ἕνωσιν, πῶς μὲν αὐτὴν ἡνωμένην, πῶς δὲ πεπληθυσμένην ἰδόντες, οὐχ οὕτω δέον· οὐδὲ γὰρ ἄλλο μὲν αὐτῆς τὸ ἡνωμένον, ἄλλο δὲ τὸ πεπληθυσμένον, ἀλλὰ καὶ ταῦτα ἄμφω κατὰ τὸ ἡνωμένον συνέπτυκται· ἀλλ᾽ ὅμως ἡμεῖς ἀγαπῶμεν καὶ οὕτω νοεῖν τε καὶ ὀνομάζειν, ᾗ μὲν οὐκ αὐτὸ τὸ ἓν πεπληθυσμένον καλοῦντες, ᾗ δὲ αὖ πεπονθὸς τὸ ἓν ἡνωμένον ἀνευφημοῦντες· ἔστι δὲ μία ἡ φύσις ἐκείνη ἣν ὡς μίαν ἑλεῖν οὐ δυνηθέντες διχῇ ἐννοοῦμεν, ἢ ὡς ἓν καὶ οὐχ ἕν, ἢ ὡς οὔτε ἓν οὔτε οὐχ ἕν, ἢ ὡς ἓν καὶ πολλά.

1.274 Τί οὖν; ψευδόμεθα ταῦτα περὶ αὐτῆς; ἢ τῇ μὲν διακρίσει ψευδόμεθα, τῇ δὲ καὶ τούτων ἑνώσει ἀληθεύομεν· καὶ μήπω τῇ ἀληθείᾳ ταύτῃ δυνάμεθα ἐντυχεῖν. Ἔπειτα κόσμους πάντας ὁρῶντες προερχομένους ἀπὸ τοῦ ὡς ἀληθῶς ὑπερκόσμου βυθοῦ, καὶ τὸν βυθὸν ἐκεῖνον κρύφιον κόσμον κεκλήκαμεν, συνῃρηκότα ἐν αὐτῷ πάντας τοὺς κόσμους, οἷον κόσμον ὄντα τῶν κόσμων ἁπάντων, ἢ μᾶλλον ὠδῖνα αὐτῶν ἀδιάκριτον, οὔπω μὲν ἀνεχομένην τῆς κοσμικῆς ἰδέας, ὅμως δὲ προωδίνουσαν αὐτὴν ἀτεχνῶς· ἔστι γάρ, εἰ θέμις εἰπεῖν, τοῦ πάντων αἰτίου, καὶ πρὸ πάντων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὠδὶς μία κοινὴ καὶ ἀδιάκριτος τῶν ἀπ’ αὐτῆς ὅλων καὶ πάντων τόκων προτεταγμένη τῶν νοητῶν, ὃ δή φαμεν καὶ ἡνωμένον μεθόριον τῶν κόσμων, ὅσοι ποτέ εἰσι, καὶ τῶν ἐν αὐτοῖς περιεχομένων πληρωμάτων, καὶ ἄνωθεν τῆς μιᾶς ἐξῃρημένης ἁπλότητος. Ἐπεὶ οὖν κατὰ τοσοῦτόν γε κόσμον ὑπενοήσαμεν εἶναι τὸν ὑπέρκοσμον βυθὸν ὄντα τῷ ὄντι, διὰ δὴ τοῦτο καὶ τάξις ἡμῶν τῇ ἐννοίᾳ ταύτῃ συνεισέδραμεν πρώτων καὶ μέσων καὶ τελευταίων, οὐκ οὔσης διακρίσεως οὐδὲ τοιαύτης ἐκεῖ ποθεν· οὐδὲ γὰρ ἐν τοῖς μετ’ αὐτὸν κόσμοις ἅπασι τὸ τοιοῦτον ἔνεστιν, ἀλλ’ ἀπὸ τοῦ πέρατος τῶν νοητῶν καὶ νοερῶν ἤδε προφαίνεται ἡ διάκρισις, ὡς Παρμενίδῃ λέγεται. Ἔστω δὲ καὶ ἐν τοῖς προτέροις ἄλλως πως ὁρωμένη ἡ τριαδικὴ πρόοδος, ἐν δὲ τῷ νοητῷ καὶ ταύτην ἀδύνατον ἐμφανῆναι· ἀλλὰ νόει μοι καὶ ταύτης ὠδῖνα, τὴν ἐκεῖ λεγομένην τριχῇ διαίρεσιν, καὶ εἴ τι τῆς ὠδῖνος ἑνοειδέστερον, οἷον σπερματικῶς, τὸ γὰρ δὴ σπέρμα τῆς ὠδῖνος ἀμερέστερον, ἢ καὶ τῆς σπερματικῆς ἀναλογίας ἐπέκεινα· καὶ γὰρ ἁπάσης τῆς ὁπωσοῦν διακρινομένης, ταύτης οὖν ἐπιλαβέσθαι βουλόμενοι τῆς ἀδιορίστου βυθίας ὄντως τῶν πάντων περιοχῆς ἐμερίσθημέν τε καὶ περὶ αὐτήν, καὶ φοβηθέντες τὸν τῶν ἡμετέρων ἐννοιῶν σπαραγμὸν δεινόν τε καὶ τιτανικὸν ὄντα ὡς ἀληθῶς, οὐ περί τινα μεριστὸν νοῦν σπαραττόμενον, ἀλλ’ ἀνοσίως καὶ θρασύτατα περὶ τὸ πάντῃ πάντως ἀμέριστον, ἀγαπητῶς ἀντελαβόμεθα τῆς τριάδος, ὑποσυρῆναι κινδυνεύσαντες εἰς τὸν ἔσχατον μερισμόν, καὶ ἀρκούμενοι ταύτῃ τῇ πτώσει ἐτολμήσαμεν κατηγορῆσαι τοῦ νοητοῦ τὴν τριχῇ διαίρεσιν, ἀναπαῦσαι βουλόμενοι τὰς ἡμετέρας ἐπιπλέον συναιρηθῆναι μὴ δυναμένας, ἀλλὰ μηδὲ ἀπαλλαγῆναι δυναμένας τῆς περὶ τὸ νοητὸν θεωρίας, πόθῳ τῶν ἀρχαίων αἰτίων τῆς ὅλης φύσεως.

1.275 Οὐ μέντοι ἀλλὰ διακαθαίροντες αὐτὰς καὶ συναιροῦντες εἰς τὸ δυνατόν, πρῶτον μὲν οὐκ ἀπὸ τῶν τυχόντων ἐκεῖσε ἐπιχειροῦμεν ἀναβαίνειν, ἀλλ’ ἀπὸ τῶν ἐκεῖ προελθόντων, οὐσίας, καὶ ζωῆς καὶ νοῦ· δεύτερον δὲ οὐκ ἀπὸ τῶν κεχωρισμένων ἰδιοτήτων, οἷον ἀπὸ τῆς συνθέτου ἢ ἀπὸ τῆς ἑνιαίας, ἀλλ’ ἀπὸ τῆς πρὸ τοῦ χωρισμοῦ μιᾶς πρὸ ἀμφοῖν. Ὡς γὰρ ἁπλῶς τὸ ἡνωμένον πρὸ ἑνὸς καὶ ὄντος ἐλέγομεν, οὕτω καὶ ἡ ἐκείνων οὔτε σύνθετός ἐστιν, οὔτε ἁπλῆ, ἀλλ’ ἡνωμένη πρὸ ἀμφοῖν. Οὕτω γὰρ καὶ ἡ ζωὴ ἣν λέγομεν νοητήν, ἡνωμένη ἐστὶ ζωὴ πρὸ τῆς ἑνιαίας καὶ τῆς οἷον μικτῆς. Οὕτω δὲ καὶ νοῦς ὁ νοητὸς οὔτε ἑνιαῖός ἐστιν, οὔτε ὁ πρὸς τοῦτον ἀντιδιῃρημένος ὡς ὄχημα πρὸς ὀχούμενον, ἢ οὐσιώδης καὶ σύνθετος πρὸς ἑνιαῖόν τε καὶ ἁπλοῦν, ὁ δὲ πρὸ ἀμφοῖν καὶ πρὸ τῆς διακρίσεως. Διόπερ ὁ μὲν κεχωρισμένος ἑκάτερός τίς ἐστι νοῦς· ὁ μὲν γὰρ ἑνιαῖος, ὁ δὲ οὐσιώδης. Καλείσθω γὰρ οὐσία κοινότερον τὸ ἀντικείμενον τῇ μονάδι κατὰ τὸν Παρμενίδη ν· ἁπλῶς δὲ οὐδέτερος, ἀλλ’ ὁ νοητὸς ἁπλῶς νοῦς· καὶ γὰρ ἐκεῖνος ὁ πρῶτος νοῦς, ἀφ’ οὗ διεκρίθησαν ὅ τε πρῶτος ἑνιαῖος καὶ ὁ πρῶτος οὐσιώδης, πρῶτος μὲν ὤν, πρός τι δὲ ὅμως ἑκάτερος, ὁ δὲ ἦν ἁπλῶς πρῶτος. Οὕτω δὲ καὶ ἡ ἁπλῶς ζωὴ πρὸς ἑκατέραν τὴν κεχωρισμένην εἰς τὸ ἑνιαῖον καὶ οὐσιῶδες ἁπλῶς οὖσα καὶ πρώτη ζωή· καὶ ἡ οὐσία δὴ τὸν αὐτὸν τρόπον πρὸ ἑκατέρας τινὸς οὔσης ἁπλῶς οὖσα οὐσία· κατὰ γὰρ τὸ συναμφότερον ὁ πρὸ ἑκατέρου πάντως ἐστί, καὶ οὐ ταῦτα μόνα, ἀλλὰ καὶ τὰ ἐν τούτοις, καὶ ἀπὸ τούτων διακρινόμενα πάντα ἐκεῖ συνήρτηται κατὰ τὸ συναμφότερον· “πάντα ἐστὶ γάρ, ἀλλὰ νοητῶς,” φησὶ τὸ λόγιο ν. Διὰ τί οὖν μὴ καὶ εἰς πάντα διαιρεῖται ἀναλόγως; ἢ ὅτι οὐδ’ εἰς ταῦτα κατὰ ἀλήθειαν, ἔστι δὲ ὅμως πάντα ἐκεῖ τὸν ἀδιάκριτον τρόπον· εἰ δὲ ἀναγκαῖον ἐκφαίνεσθαι ἐκεῖ, τὰ πρῶτα ἂν μᾶλλον ἐκφαίνοιτο. Καὶ ταῦτα ἂν εἴη πρὸς γοῦν τὴν ἀναλογίαν ἕτοιμα, ὅσα γενικώτατα καὶ ἁπλούστατα καὶ θειότατα καὶ πρῶτα τυγχάνει ὄντα τῶν ἀπὸ τοῦ νοητοῦ προϊόντων· οὐ γὰρ ἂν πρῶτα ἐφάνη, εἰ μὴ καὶ ἐκεῖ ἐν τῇ ὠδῖνι προεβέβλητο τῶν ἄλλων οὐ κατὰ τὴν πλείω διάκρισιν ἑαυτῶν, ἥνωται γὰρ μάλιστα πάντων, ἀλλὰ κατὰ τὴν ἄκραν ἑαυτῶν τελειότητα, καὶ τρόπον τινὰ νοητήν, καὶ διὰ τοῦτο ἀρκοῦσαν τῷ νοητῷ συνυφίστασθαι καὶ ὂν συνεμφαίνεσθαι καὶ μὴ ἐγκρύπτεσθαι ὑπὸ τῆς ἐκείνου μαρμαρυγῆς, ἢ συγχεῖσθαι ὑπὸ τῆς

ἐκείνου ἑνώσεως, ἅτε καὶ αὐτὰ ἐν τῷ σχεδὸν ἡνῶσθαι οὐσιωμένα, καὶ δι’ ὁμοιότητα τὴν πρὸς αὐτὸ μὴ πάσχοντά τι ὑπὸ τοῦ νοητοῦ συναιρετικήν.

1.276 Τρίτην δὲ τούτοις ἐπάγομεν διακάθαρσιν ἐννοιῶν, οὐσίαν τε ἐκεῖ καὶ ζωὴν καὶ νοῦν θεωροῦντες, οὐχ οὕτω μετὰ διακρίσεως ἐπὶ τῶν ὀνομάτων τούτων ἔχειν δοκεῖ, ἀλλὰ κατὰ τὴν μίαν τοῦ ἡνωμένου φύσιν, αὐτοῦ πρὸς ἑαυτὸ μόνον προβαλλομένου κατὰ τὴν δοκοῦσαν ὕφεσιν. Ἓν γὰρ ὂν πανταχοῦ ἑαυτοῦ, ὡς παρίστησιν ὁ Παρμενίδης, καὶ νοητὸν δι’ ὅλου καὶ ἀδιάκριτον· ὡς δὲ ἐν ἀδιακρίτῳ τῷ παντὶ συνέστη τὸ πᾶν ἐκ πρώτου ὅρου καὶ μέσου καὶ τελευταίου τῆς αὐτῆς φύσεως, καθάπερ εἴ τις καὶ τῆς ἐν ὑποκειμένῳ σώματι φύσεως τὸ μὲν χωριστόν, τὸ δὲ ἀχώριστον ἐθεάσατο, τὸ δὲ μέσον ἀμφοῖν, μίαν δὲ ὅμως εἶναι τὴν φύσιν ὁμολογοῖ. Ὁ γὰρ νοητὸς οὐχ ὅτι νοεῖ λέγοιτο ἄν, ἀλλ’ ὅτι τοῦ νοοῦντος αἴτιος. Καὶ γὰρ εἰ νοεῖ, καὶ ἡ νόησις οἷον αἰτιωδῶς, καὶ ἡ ζωὴ ὁμοίως, κάτω μὲν ἡ κυρίως, ἡ μὲν κατὰ ὑπόστασιν, ἡ σύνθετος, ἡ δὲ κατὰ ἰδιότητα προειλημμένη, ἡ ἑνιαία, ἡ μέντοι νοητὴ ζωὴ κατὰ οὐδέτερον (πρὸ ἀμφοῖν γάρ), ἀλλ’ ὡς τούτων ὠδίς. Οὕτω δὲ καὶ ἐπὶ τῆς οὐσίας ῥητέον ὡς κατὰ αἰτίαν ἢ ὠδῖνα ἢ ἕνωσιν ἀδιάκριτον ἐκεῖ, καὶ ταύτης προϋπαρχούσης· ἡ ἄρα διαίρεσις αὕτη ἔμφασίς ἐστι διαιρέσεως τῶν ἐκεῖθεν γεννωμένων· αὕτη δὲ τοῦ νοητοῦ ἡ ὕπαρξίς ἐστι τὸ ἡνωμένον καὶ ἀδιάκριτον, καὶ πᾶν εἴ τι τοιοῦτον. Περὶ μὲν δὴ τούτων καὶ μικρὸν ὕστερον. Ἀλλ’ ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανέλθωμεν, ὅτι τὸ νοητὸν οὐκ ἂν προέλθοι τὴν ἔξω πρόοδον, ὅ γε οὐδὲ τὴν εἴσω πρόεισιν· ὥστε οὔτε μεθεκτὸν πλῆθος, οὔτε ἀμέθεκτον πέφυκεν προάγειν, ὃ μονοειδές ἐστι καὶ ἀδιάκριτον. Οὐκοῦν οὐδὲ τὸ εἴσω πλῆθος εἰδῶν ἐστιν ἢ μερῶν ἢ στοιχείων, ὅ γε οὐδὲ πλῆθος οὕτως ἐστὶν ὥς τινων, ἀλλὰ μόνον πλῆθος, οὐδὲ ταὐτὸν ὡς διῃρημένων καὶ ἔκ τινων ἁπλῶς συγκειμένων, οὐχὶ τοιῶνδε, ἀλλ’ ἡνωμένων καὶ τῆς γενεᾶς ἐκείνης, τοῦ ἀπείρου καὶ πολλοῦ καὶ χαώδους· διὸ καὶ ἀπείρητον εἴρηται πλῆθος, ὡς ἐν Παρμενίδ ῃ, ὡς εἰ ἔλεγεν καὶ τὸ ἓν εἶδος αὐτοῦ, ἓν πεπερασμένον.

1.277 Ὡς γὰρ διήλλαξεν τῆς πρώτης ἀρχῆς, ἀντὶ ἑνὸς ἡνωμένον γεγονός, τούτῳ παρήλλαξε καὶ τῆς δευτέρας, ἀντὶ ἀπειρίας ἄπειρον, καί, ἀντὶ πολλῆς ἓν εἶδος, πλῆθος γενόμενον. Ὡς γὰρ ἡνωμένον ἀπὸ τοῦ ἑνός, οὕτω πεπληθυσμένον ἀπὸ τῶν ἁπλῶς πολλῶν ἐγένετο· τὸ δὲ ἓν αὐτοῦ καὶ πολλὰ συνήρηκεν εἰς μίαν φύσιν τὴν συνῃρημένην μὲν ἐκ τῶν δυεῖν ἀρχῶν, συνῃρηκυῖαν δὲ ἐν ἑαυτῇ καὶ τῶν μεθ’ ἑαυτὴν καὶ ἀπ’ αὐτῆς ὑποστάντων τὴν ὅλην πρόοδον, καὶ μάλιστα κατὰ τὴν γενικωτάτην αὐτῶν διάκρισιν ἐκφανεῖσαν οὐσίαν καὶ ζωὴν καὶ νοῦν, ὧν βουλόμενοι τὴν ἐκεῖ συναίρεσιν ἰδεῖν, ἀντ’ ἐκείνης, τὴν ἐκεῖθεν ὁρῶμεν διάκρισιν. Δεῖ οὖν μὴ ἐπιμένειν αὐτῇ, ἀλλὰ φεύγειν προτροπάδην, οὐ νοῦν τιθέμενοι ἐκεῖνον, ἀλλ’ οἷον νοῦν, οὐδὲ ζωήν, ἀλλ’ οἷον ζωήν, οὐδὲ οὐσίαν, ἀλλ’ οἷον οὐσίαν, οὐδὲ ὅλως πρόοδον, ἀλλ’ οἷον πρόοδον. Καὶ μήποτε συνακτέον τὴν φανταζομένην ὁπωσοῦν πρόοδον εἰς μίαν ὡς οὖσαν τὴν αὐτὴν εἴσω τε καὶ ἔξω· τὸ γὰρ νοητὸν καὶ ἡνωμένον κατὰ μίαν φύσιν μονάς τέ ἐστιν, εἰ προσήκει μονάδα καλεῖν τὴν ἀπερίγραφον ἕνωσιν τοῦ νοητοῦ, καὶ αὖ κόσμος, εἰ δεῖ κόσμον ὀνομάζειν τὸ ἡνωμένον καὶ ὑπέρκοσμον τῷ ὄντι βυθόν. Οὐ γὰρ ὡς ἐπὶ νοῦ καὶ ζωῆς καὶ οὐσίας ἄλλη μὲν ἡ πρώτη οὐσία, ἄλλη δὲ τὸ πλῆθος τὸ ἀπ’ αὐτῆς διακρινόμενον. Καλεῖται δὲ κόσμος οὐσιώδης τὸ συναμφότερον, καὶ ζωὴ μία, καὶ πολλαὶ μετὰ τὴν μίαν· κόσμος δέ ἐστιν ἅμα τῇ μιᾷ αἱ πολλαί· καὶ νοῦς ὁμοίως, ὁ μὲν πρῶτος, οἱ δὲ μεριζόμενοι ἀπὸ τοῦ πρώτου. Νοερὸς δὲ κόσμος ἐστὶν ὁ εἷς ἅμα καὶ οἱ πολλοί· οὐχ οὕτως ἔχει καὶ τὸ ἧττον ἐκεῖνο καὶ ἡνωμένον, ἀλλ’ ἐν ἑαυτῷ συνεσπαρμένον καὶ οὐ διαστὰν εἰς μονάδα καὶ ἀριθμόν, τὸ αὐτὸ κατέστη μονάς τε καὶ ἀριθμός, ὥστε ταὐτὸν ἂν εἴη, καὶ κόσμος ὁμοῦ πᾶς καὶ ὅλος· οὐδὲ εἰς ὅλον καὶ πᾶν διακριθείς, ἀλλὰ καὶ ταῦτα ὡς ἕν· καὶ ταὐτὸν ἂν εἴη καὶ ἕν, εἴσω τε καὶ ἔξω πλῆθος εἶναι δοκοῦν· ὡς δὲ μονάδος τὸ εἴσω, ταὐτὸν δὲ εἴσω τε καὶ ἔξω· ταὐτὸν γὰρ ἐκεῖ μονάς τε καὶ κόσμος· οὕτω δὲ ταὐτὸν εἴδη καὶ μέρη καὶ στοιχεῖα ἐκεῖ· ταὐτὸν γὰρ ὅλον καὶ πᾶν καὶ τὸ κρᾶμα τῶν στοιχείων· οὐδὲν γὰρ ἐκεῖ

τούτων διώρισται οὐδ’ ἄλλο τι ὅλως, ἀλλὰ τὸ ἓν ὂν μόνον, καὶ τοῦτο ἡνωμένον, ἀλλ’ ὅπου μὲν ἀδιάκριτον ἕν τε καὶ ὄν, ἓν ὄνομα μόνον εἶναι καὶ ἓν δήλωμα βουλόμενον, ὅπου δὲ διακρινόμενον, μέρη γοῦν αὐτοῦ τὸ ἓν καὶ τὸ ὂν εἶναί φησιν, ὅπου δὲ διακεκριμένον, ἄπειρον πλῆθος, εἰ καὶ ἀεὶ τῷ ἑτέρῳ τὸ ἕτερον σύνδρομον· εἰς γὰρ ἑνώματα ἡ διάκρισις ἐγένετο τοῦ ἡνωμένου κατὰ τὸ αὐτοῦ πέρας· ὥστε οὐκ ἐδυνήθη παραλῦσαι τὴν τοῦ ἡνωμένου φύσιν οὐδὲ ἡ ἐκεῖ φανεῖσα διάκρισις, ἀλλὰ καὶ ἐπιχειρήσασα τῷ λόγῳ διήλεγξεν ἑαυτὴν οὐκ οὖσαν διάκρισιν· ἡνώθη γὰρ μᾶλλον ἢ διέκρινεν· μᾶλλον δὲ ἥνωσεν τὸ πλέον ἢ διέκρινεν.

1.278 Τὰ γοῦν κέρματα τοῦ ἡνωμένου ἡνωμένα ἀπέφηνεν, ὥστε οὐ κέρματα, οὐδὲ διάκρισις ἄρα, ἧς τε οὐδὲν ἔργον ἐφάνη ἐν τῷ νοητῷ, πλὴν ἡ βεβαίωσις τῆς ἑνώσεως. Καὶ γὰρ ἅπερ ἔδοξεν διελεῖν, εἰς τὴν αὐτὴν ἐπανήγαγεν ἕνωσιν, οἷον εἴ τις τὸ χρυσοῦ εἶδος ἐθέλων διελεῖν εὕροι καὶ τὰ διαιρούμενα μηδὲν ἧττον χρυσὸν ὄντα· τοῦ ἄρα ποσοῦ μόνου γέγονεν, οὐ τοῦ χρυσοῦ κατὰ τὸ εἶδος· ἐκεῖ δὲ τοῦ ἡνωμένου μόνου ἐστίν· ποσὸν γὰρ οὐκ ἔστιν, οὐδὲ ἄλλο τι παρὰ ταύτην τὴν φύσιν. Ἀλλὰ δῆλον ὅτι ὁ Πλάτων, ἐνδείξασθαι βουληθεὶς ὅτι ἀδιαίρετός ἐστιν, ὑπέθετο διαίρεσιν καὶ εὗρεν αὐτὴν ἀνήνυτον, μᾶλλον δὲ μέγα τι ἀνύσασαν, ἐνδειξαμένην τοῦ ἡνωμένου τὸ ἀδιάκριτον, καὶ ἐπ’ ἐσχάτῳ μένον ὡσαύτως, ὅπου δόξειεν ἂν αὐτὸ ἑαυτοῦ μάλιστα διακρίνεσθαι κατὰ τὴν προειλημμένην ἔμφασιν τὴν εἰς διάκρισιν, ἢ εἰς ἔνδειξιν, καὶ τὴν ψευδομένην ὑπόθεσιν ὑπεστήσατο. Τοιγαροῦν οὐδὲ εἴδη ῥητέον τὰ δόξαντα γεγονέναι κέρματα τοῦ ἡνωμένου, ἀλλ’ οἷον εἴδη, οὐδὲ μέρη κυρίως, ἀλλ’ οἷον μέρη. Τοῦτο μὲν οὖν καὶ σαφῶς ἐπέστησεν ἡμᾶς κάτω που μετὰ τὸ νοητὸν τὸ ὅλον καὶ τὰ μέρη πάλιν παραγαγὼν μετὰ τὸν ἀριθμόν, ἐκεῖνο διαδηλῶν, ὅτι τὰ ἄνω μέρη καὶ ὅλον· ἄλλως πως ἐλέγετο τὰ τοιαῦτα, καὶ τὸ πλῆθος πρὸ τοῦ ἀριθμοῦ θέμενος ἐν τῷ ἡνωμένῳ δῆλός ἐστι πρὸ παντὸς διορισμοῦ, τοῦτο νοῶν ἀδιόριστον. Οὐκ ἄρα οἷον ἔκ τινων συγκείμενον, οὐ μὴν οὐδὲ συνεχές ἐστι τοῦτο τὸ πλῆθος· τὸ γὰρ συνεχὲς μετὰ τὸ διωρισμένον, ὥστε ἡνωμένον τὸ πλῆθος ἐκεῖνο, καὶ οὐδὲ εἰς τὰ πρῶτα πλήθη διαρούμενον, ἀλλ’ ὅπερ ἔφην πολλάκις, ἄπειρόν ἐστι πλῆθος καὶ χαῶδες.

1.279 Οὕτως ἄρα καὶ στοιχεῖα τὰ ἐκεῖ, οἷον ἑκάστους τοὺς ἀπὸ τῶν οἰκείων μονάδων διακρινομένους, καὶ οἷον στοιχεῖα· οὐ γὰρ διώρισταί πως εἰς μερικὰς καὶ στοιχειώδεις διαφοράς, οὐδὲ συγκέκραται, ἀλλ’ ἥνωται πρὸ πάσης διακρίσεως, ὥστε καὶ τὸ πλάτος ἐκεῖ καὶ τὸ βάθος ἀδιάκριτον παντελῶς, ὡς κατ’ ἐνέργειαν εἰπεῖν καὶ κατ’ ἀλήθειαν· ὡς δὲ δυνάμει καὶ ὡς κατ’ ἀναλογίαν ἔστω καὶ πλάτος καὶ βάθος ἑκάτερον ἐπίσης συνῃρημένον, οὐκ εἰς σύγκρασιν, ἀλλ’ εἰς ἕνωσιν παντελῆ. Ὅπερ οὖν ἄρτι ἔλεγον, ταὐτὸν τὸ εἴσω καὶ τὸ ἔξω πλῆθος ἐν τῷ νοητῷ φαντάζεται· ὡς οὖν ἔξω τοῦ νοεροῦ διακόσμου παντός, οὐδεὶς ἂν προέλθοι νοῦς, πᾶς γὰρ ἐν αὐτῷ περιέχοιτο ἄν, καὶ ὡς ἔξω τοῦ ψυχικοῦ οὐδεμία ψυχή, περιέχοιτο γὰρ ἂν καὶ αὕτη ἐν τῷ οἰκείῳ διακόσμῳ, οὕτω καὶ τοῦ νοητοῦ διακόσμου ἐκτὸς οὐκ ἂν εἴη τὸ νοητόν. Οὐ τοίνυν ἄλλο μὲν τὸ μεθεκτόν, ἄλλο δὲ τὸ ἀμέθεκτον· συνῄρηται γὰρ καὶ αὐτά, δύο ὄντα πλήθη, εἰς ἓν τὸ ἁπλῶς τε καὶ ἡνωμένον, πλῆθος ὁπωσοῦν λεγόμενον. Τὸ γὰρ αὐτὸ καὶ πᾶσιν ἐποχεῖται καὶ πάντων ἐξῄρηται· οὐ γὰρ ἀντιδιῄρηται τὸ μεθεκτὸν τῷ ἀμεθέκτῳ, ἀλλὰ πρὸ τῆς ἀντιδιαιρέσεως τεταγμένον τὴν συναμφότερον ἔχει δύναμιν, πρὸ ἀμφοῖν, ὡς ταὐτὸν ὄν, καὶ μεθεκτὸν εἶναι καὶ ἀμέθεκτον. Καθόσον μὲν γὰρ ὑπὲρ τὸ μεθεκτόν, ἀμέθεκτον εἶναι φαντάζεται· καθόσον δὲ ἀποίου, καὶ μεθεκτὸν εἶναι δοκεῖ· περὶ μὲν δὴ μεθέξεως καὶ εἰσαῦθις. Νῦν δὲ πάλιν σκεψώμεθα περὶ τοῦ ἁπλῶς ἑνός, λέγω δὲ τοῦ κεχωρισμένου τῆς οὐσίας κατὰ τὴν ἐν μέσῳ φανεῖσαν ἑτερότητα, εἰ θετέον αὐτό, καὶ ἀπ’ αὐτοῦ πλῆθος ἀμέθεκτον· τὸ μὲν γὰρ μεθεκτόν ἐστιν αἱ πολλαὶ ἑνάδες, ὧν ἐξημμέναι εἰσὶν αἱ πολλαὶ οὐσίαι λεγόμεναι κοινότερον. Τοσαῦτα γὰρ εἶναι κέρματα τῆς οὐσίας, ὅσα τοῦ ἑνὸς ὁ Παρμενίδης φησί· δεῖ δὲ πρὸ τούτου ἄλλο πλῆθος εἶναι, φαίη τις ἄν, τὸ ἀμέθεκτον καὶ τὸ ἁπλῶς ἓν πρὸ τοῦ πλήθους.

1.280

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εἰ γάρ εἰσιν αἱ πολλαὶ ἑνάδες, ἀναγκαῖον εἶναι μίαν πρὸ τῶν πολλῶν, τὴν ἁπλῶς ἑνάδα τοιαύτην· τὸ μὲν γὰρ ἡνωμένον οὐχ ἑνὰς μόνον, ἀλλὰ καὶ οὐσία, εἰ καὶ πρὸ ἀμφοῖν· τὸ δὲ ἐπέκεινα τοῦ ἡνωμένου καλούμενον ἓν τοιοῦτόν ἐστιν ἕν, οἷον ἐκεῖνο ἡνωμένον· ἀρχὴ γὰρ τοῦτο καὶ ἑνάδων καὶ οὐσιῶν ἁπασῶν. Ζητοῦμεν δὲ ἁπλῶς ἓν τὸ μόνων ἑνάδων ἡγούμενον, ὡς ἔχομεν οὐσίαν ἁπλῶς τὴν ἡγουμένην τῶν οὐσιῶν, καὶ ζωὴν ὁμοίως ἀρχὴν οὖσαν τὴν πρώτην ἁπασῶν τῶν ζωῶν, καὶ τὸν ἁπλῶς νοῦν μονάδα τῶν πολλῶν νόων ἐπεὶ καί, εἰ ἔστιν ἡ μὲν οὐσιώδης ἑνάς, ἡ δὲ ζωτική, ἡ δὲ νοερά, τὸ μὲν ἴδιόν ἐστιν ἑκάστης, τὸ δὲ κοινόν τι· ὅθεν οὖν τὸ κοινὸν ἓν τοῦτο ἁπάσαις, ἢ ἀπὸ τοῦ κοινοῦ αἰτίου· τοῦτο δὲ ἁπλῶς ἓν ἐξ ἀνάγκης ὑποτεθήσεται. Ἔτι δὲ ἡ ἁπλῶς ψυχὴ νοῦ τινός ἐστιν ἐξημμένη, καὶ οὐ τοῦ ἁπλῶς, καὶ ὁ ἁπλῶς νοῦς τῆς τινὸς ζωῆς, ἀλλ' οὐ τῆς ἁπλῶς, καὶ ἡ ἁπλῶς ἄρα ζωὴ τῆς τινὸς οὐσίας, ἀλλ' οὐχὶ τῆς πρώτης. Οὕτως ἄρα καὶ ἡ ἁπλῶς οὐσία τινὸς ἑνάδος, ἀλλ' οὐ τῆς ἁπλῶς ὄχημα φανεῖται· δεῖ δὲ πρὸ τῆς τινὸς εἶναι τὴν ἁπλῶς ἑνάδα· ἀεὶ γὰρ ἁπλῶς ἀμέθεκτόν ἐστι, τὸ δὲ μεθεκτὸν οὐδέποτε ἁπλῶς. Εἰ δὲ καὶ τὸ ἡνωμένον, διακρινόμενον, δύο ποιεῖ, τὸ ἁπλῶς ὂν ἔδει ποιεῖν καὶ τὸ ἁπλῶς ἕν, ἤ τι ἑκάτερον· ὁμοταγῆ γὰρ ἐν τῇ ἑνώσει τυγχάνει ὄντα. Εἰ δὲ τὸ ἓν ἁπλῶς εἶναί φαμεν, πάντως ὅτι καὶ τόδε ἁπλῶς γεννήσεται. Πιθανὴ μὲν οὖν ἡ συνηγορία τῆς ὑποθέσεως· οὐ μὴν οὕτως ἔχειν ἡγοῦμαι τὸ πρᾶγμα· πολλὴ γὰρ καὶ ἡ ἀντίξους ὑπόνοια, θεὸς δέ τις ἡμᾶς ἐλεήσας κυβερνήσειεν τὴν τοῦ λόγου ὁρμὴν εἰς αὐτὴν τὴν ἀλήθειαν. Πρῶτον μὲν οὖν τῷ Πλάτωνι βέλτιον συγκινδυνεύειν ποιοῦντι μετὰ τὸ ἓν ὂν εὐθὺς τὸ ἓν καὶ τὴν οὐσίαν, ἀντιπαρατεταγμένα κατὰ δύο στίχους. Ἀλλ' ἴσως τῇ ἁπλῶς οὐσίᾳ τὸ ἁπλῶς ἓν ἀντιτίθησιν, εἰ καὶ τὸ τὶ ἓν αὐτῇ συζεύγνυσιν· ἀλλὰ τοσαῦτα κατακεκερματίσθαι τὴν οὐσίαν φησίν, ὅσα τὸ ἕν. Εἶτα δὲ τὸ ἁπλῶς προτάξομεν ἓν πρὸ τῆς ἁπλῶς οὐσίας. Ἔτι δὲ καὶ τὸ ἀμέθεκτον πλῆθος ἐκεῖνο συνηρτημένον οὐκ ἔσται ἴσα τὰ κέρματα τῆς οὐσίας καὶ τοῦ ἑνός· τὸ δὲ μεῖζον τεκμήριον, ἐν τῷ ἡνωμένῳ κατὰ τὴν ἀρχὴν εὐθὺς τῆς δευτέρας ὑποθέσεως τό τε ἓν ὑποτίθεται μετέχειν τοῦ ἑνός, καὶ τὸ ἓν τοῦ ὄντος.

1.281 Εἰ δὲ ἐν τῷ ἡνωμένῳ ἀντιμετέχει ἀλλήλων, ὡς δοκεῖ, πάντως ὅτι καὶ διακριθέντα ἀντιμετέχει ἀλλήλων, ὡς λέγεσθαι τὸ ἓν οὐσιῶδες, καὶ τὸ ὂν ὁμοειδές. Ὅτι μὲν οὖν οὐ κατὰ τὴν Πλάτωνος γνώμην εἴρηται τὰ πρότερα, φανερὸν ἐκ τούτων. Φέρε δὲ καὶ ἐξ αὐτῶν τῶν πραγμάτων ἐπιχειρήσωμεν τῷ ἐναντίῳ λόγῳ συνηγορεῖν. Πρῶτον μὲν οὖν τὸ ἁπλῶς ἓν ποῦ θησόμεθα εἶναι; οὔτε γὰρ ἐν τῷ νοητῷ, τοῦτο γὰρ ἦν τὸ ἡνωμένον, οὔτε ἐν τῷ νοητῷ καὶ νοερῷ· τούτου γὰρ ἡ ὄντως οὐσία τὸν τόπον ἐπέχει κατὰ τὸν ἐν Φαίδρῳ Σωκράτ η. Διὸ καὶ ἐπιστῆσαι δοκεῖ μοι πολλάκις, οὐχ ἁπλῶς οὐσίαν λέγων, ἀλλὰ τὴν ὄντως, καὶ ᾗ ἐστιν ὄντως, δεικνύμενος, τὴν ἀντιδιῃρημένην τῷ ἑνὶ οὐσίαν. Ἀλλ' ἴσως εἴποι τις ἂν ὅτι, καθάπερ ὁ νοερὸς διάκοσμος καὶ ὁ ψυχικὸς ἑκάτερον περιέχει πλῆθος μετὰ τοῦ ἁπλῶς, τό τε μεθεκτὸν καὶ τὸ ἀμέθεκτον, οὕτω καὶ ὁ νοητὸς καὶ νοερὸς τὴν ἑαυτοῦ ἀκρότητα στήσεται μετὰ τοῦ ἁπλῶς καὶ τοῦ ἀμεθέκτου πλήθους· ἀλλ' οὐκ ἔχομεν πρὸ τῆς ἑτερότητος ὑποθέσθαι πολλοὺς θεούς· ἡ δὲ ἑτερότης ἅμα τῇ ἑνάδι τὴν οὐσίαν ἐξέφηνεν. Εἰ δὲ καὶ αὐτὴ ἡ ἑτερότης πρὸ τῆς μεθεκτῆς ἔσται ἀμέθεκτος, καὶ πλῆθος ἀμέθεκτον ἔχουσα πολλῷ πλειόνων θεῶν ἔσται πρὸ τῆς οὐσίας συναγερμός. Εἰ δὲ καὶ μὴ μόνον τὸ ἓν ἁπλῶς, ἀλλὰ καὶ τὰ πολλὰ ἁπλῶς τούτῳ ἀντιθήσωμεν, ἔσται καὶ τῶν πολλῶν τούτων ἀμέθεκτος πρόοδος, οἷον πολλαί τινες μετὰ τὴν μίαν πολλότητες. Πῶς δὲ οὐκ ἀνάγκη τῷ ἁπλῶς ἑνὶ ἀντιθεῖναι τὰ ἁπλῶς πολλά; ἀλλ' ἔστω τὰ πολλὰ ταῦτα τοῦ ἑνὸς οἷον δύναμις ἢ γονιμότης· ἀλλ' ἤδη χωρὶς τέτακται τὰ ἐκεῖ, ὥστε καὶ τὰ πολλὰ ἄλλη ἑνὰς οἷον πολλοποιός. Καὶ μήποτε ἡ ἑτερότης ἐκείνη ὑμνηθεῖσα αὕτη ἐστὶν ἡ ἀρχὴ ἀντικειμένη τῷ ἑνί· ἀλλ' αὕτη καὶ τῇ οὐσίᾳ ἀντίκειται· τρεῖς γὰρ φανεῖσαι ὁμοῦ μονάδες, τὸ ἕν, ἡ ἑτερότης, ἡ οὐσία. Ἀλλὰ περὶ μὲν τούτων οὐκ ἔστι πάρεργον ὁδοῦ ἀκριβοῦντι τῷ λόγῳ· πλὴν ἐκεῖνο ἀπαιτήσει ὁ λόγος, ὡς ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἑνός, οὕτω καὶ ἀπὸ τῆς πολλότητος προϊέναι πολλοὺς θεούς, καὶ ἀμεθέκτους καὶ μεθεκτούς, εἴπερ ἐστὶ πολλὰ ἁπλῶς.

1.282 Πῶς δὲ οὐκ ἔστιν, εἴπερ τὸ ἁπλῶς ἕν; καὶ πῶς γεννήσει τὸ ἓν πλῆθος εἰς τὸ ἔξω, μηδὲν ἔχον ἐν ἑαυτῷ πεπληθυσμένον, ἅτε ἁπλῶς ὂν ἕν; ἀλλ᾽ οὐδὲ τὰ πολλὰ διώρισταί πως ἐν ἑαυτοῖς, ὡς δέδεικται πρότερον, ἀλλ᾽ ἔστιν ἓν καὶ αὐτὸ πολλοποιόν. Εἰ δὲ καὶ λέγει τις τοῦ ἑνὸς εἶναι τὰ πολλά, ὡς τοῦ στοιχειωτοῦ τὰ στοιχεῖα, οὐδὲ οὕτω κατὰ τὰ πολλὰ γεννήσει τὸ ἕν· ἀδιόριστον γὰρ ἑκάτερον καὶ ἀπλήθυντον, εἴσω μέν τε καὶ ἔξω ἀπρόοδον, ὡς φάναι ὁμοειδῆ πρόοδον καὶ οἰκείου πλήθους. Χωρὶς δὲ τούτων, ἡ μὲν οὐσία ἐστὶ σύνθετος, ἡ δὲ ἁπλῆ, καὶ ἑνιαία μὲν αὕτη, ἐκείνη δὲ ἡνωμένη πως ὡς κατὰ σύγκρισιν. Εἰ δὲ ἑκατέρα τοιάδε οὐσία, τίς ἄρα οὐσία ἑκατέρα; ἁπλῶς ἄρα οὐσία ἡ πρὸ ἀμφοῖν συναμφότερος. Καὶ ζωὴ ὁμοίως ἁπλῶς ἐκείνη ἡ ἡνωμένη, καὶ νοῦς ὡσαύτως. Ἆρα οὖν καὶ ψυχὴ ἡ μὲν ἑνιαία, ἡ δὲ οὐσιώδης, ἑκατέρα τοιάδε καί τις; Καὶ σῶμα ὁμοίως, τὸ μὲν ἑνιαῖον, ὃ ποιεῖ τὸν ἐγκόσμιον θεόν, τὸ δὲ οὐσιῶδες, ἐξημμένον τοῦ σωματοειδοῦς ἑνὸς λεγομένου κατὰ πρόληψιν τῆς σωματικῆς ἰδιότητος; καὶ τί ἑκάτερον ὅπερ οὖν ἢ ἀέρων, εἰ καὶ τούτων ἡ ἁπλῶς ὑπόστασις προϋπάρχει κατὰ τὸ πρὸ ἀμφοῖν συναμφότερον ἐν τῷ νοητῷ; ἢ οὐδὲν θαυμαστόν· πάντα γάρ ἐστιν ἐκεῖνο, ἀλλὰ νοητῶς, τοῦτο δέ ἐστι κατὰ μίαν ἕνωσιν· διὸ τὸ νοητὸν ἡ ἁπλῶς οὐσία λέγεται εἶναι καὶ πρὸς τῶν φιλοσόφω ν· καὶ ὥσπερ ἀπὸ τοῦ ἁπλῶς ἑνὸς καὶ πρὸ πάντων ἀπογεννᾶται, οὕτω καὶ ἀπὸ τοῦ νοητοῦ πάντα ἐκμηρύεται· πανταχοῦ ἄρα τὸ ἓν καὶ τὸ ἐφ᾽ ᾧ ὀχεῖται, τὸ ἕν τι ἑκάτερον, καὶ τοιόνδε ἑκάτερον, ἁπλῶς δὲ τὸ συναμφότερον. Εἰ δὲ ταῦτα καλῶς εἴρηται, τὸ μὲν ἁπλῶς ὂν ἔσται τὸ ἡνωμένον, ὃ καὶ πάντα ὄν ἐστι, τὸ δὲ ἁπλῶς ἓν ὑπὲρ τὸ ἡνωμένον· καὶ αὐτὸ γὰρ ὑπόκειται πάντα ἕν· μετὰ δὲ τὸ ἁπλῶς ἓν καὶ τὸ ἁπλῶς ὂν αἱ τινὲς ἑνάδες καὶ αἱ τινὲς οὐσίαι χωρίζονταί τε καὶ συντάττονται πάλιν ὡς ὀχοῦν καὶ ὀχούμενον, ἢ μετέχον καὶ μετεχόμενον· ἄνω δὲ καὶ ταῦτα ἀδιάκριτα ἦν ἐν τῷ νοητῷ.

1.283 Τί οὖν; τὸ ἁπλῶς ἓν ἐκεῖνο οἷον μονάς ἐστι τῶν κάτω πολλῶν ἑνάδων, καὶ τὸ ἁπλῶς ὂν τῶν οὐσιῶν; ἀλλ᾽ ἑκάτερον πάντων ἦν αἴτιον, καὶ οὐ τὸ μὲν ἓν μόνων τῶν ἑνάδων, τὸ δὲ ὂν μόνων τῶν οὐσιῶν; δεησόμεθα γὰρ ἄλλης οὐσίας, τῆς κοινῆς τῶν πάντων· ἢ τὸ μὲν ἁπλῶς ἓν οὔτε ὑποστάσει οὔτε ἰδιότητι ὂν εἶναι θετέον, τὸ δὲ ἁπλῶς ὂν οὔτε ἰδιότητι οὔτε ὑποστάσει θετέον ἕν, ἀλλὰ μόνον κατὰ τὴν ὅλην ὕπαρξιν, τὸ μὲν ἔστω ἕν, τὸ δὲ ὄν. Διόπερ ἐν δίκῃ τὸ μὲν ἁπλῶς ἕν, τὸ δὲ ἁπλῶς ὂν ὑμνητέον, καὶ τοῦτό ἐστι τὸ ἓν ἁπλῶς ὅπερ ἐπιποθοῦσιν ἡμῶν αἱ ἔννοιαι πρὸ τῶν πολλῶν ἑνάδων. Καὶ τοῦτό γε τὸ ἁπλῶς ὂν ὃ πρὸ παντὸς ὄντος ἀξιοῦμεν εἶναι· μετὰ δὲ ταῦτα φανεῖσα ἡ ἑτερότης ἐχώρισεν ταῦτα καὶ ὑπέστησε τὰ τοιάδε καί τινα μετὰ τὰ ἁπλῶς, οὐκ ἐκείνης ὄντα τῆς φύσεως, ἀλλ᾽ οἷον ἐκείνης εἰκόνας. Ὑπερούσιον μὲν γὰρ καὶ τὸ μετεχόμενον, ἀλλ᾽ ὡς ὑπὲρ τὴν μετέχουσαν αὐτοῦ οὐσίαν τὴν καθ᾽ ὑπόστασιν ἀντιδιῃρημένην πρὸς τὴν κατ᾽ ἰδιότητα μόνην ἑνιαίαν οὐσίαν· ὑπερούσιον δὲ καὶ τὸ ἡνωμένον, ἀλλ᾽ ὑπὲρ ἑκατέραν οὐσίαν τήν τε κατ᾽ ἰδιότητα καὶ τὴν ὑπόστασιν· ὑπερούσιον δὲ καὶ τὸ ἓν καὶ τὰ τούτου πολλά, αἱ δύο ἀρχαί, ἀλλ᾽ ὑπὲρ τὴν ἁπλῶς οὐσίαν τὴν πρὸ ἀμφοῖν· διὸ τὸ ἁπλῶς ἓν τοῦτό ἐστι καὶ τὸ ἁπλῶς ὑπερούσιον. Ἀλλὰ γὰρ καὶ τὸ ἕν, τὸ μὲν ὡς ὑπὲρ τὸ μικτὸν ἡνωμένον, ὅπερ οὐσίαν καλοῦμεν καθ᾽ ὑπόστασιν, τὸ δὲ ὡς ὑπὲρ ἑκάτερον μικτόν, τό τε καθ᾽ ὑπόστασιν καὶ τὸ κατ᾽ ἰδιότητα ὃ προείληφεν ἡ οὐσιώδης ἑνάς· πρὸ ἀμφοῖν γὰρ ἐκεῖνο ἕν, καὶ παντὸς ἑνὸς τοῦ συζυγοῦντος τῷ μετέχοντι μικτῷ ἑνικώτερόν τε καὶ ἁπλούστερον· οὐδὲ γὰρ ἁπλοῦν ὡς πρὸς ἄλλο σύνθετον, οὐδὲ μὴν οὐδὲ κατ᾽ ἰδιότητα σύνθετον, ἀλλὰ πρὸ ἀμφοῖν ἁπλοῦν καὶ ἀσύνθετον· ἓν δὲ ἡ μία ἀρχὴ κυριώτατα πάντων, ὅτι καὶ ὑπὲρ τὸ πρὸ ἀμφοῖν κατὰ τὸ συναμφότερον ἡνωμένον, ἐπεὶ καὶ ἡνωμένον τοῦτο μὲν πρώτως καὶ μάλιστα, δεύτερον δὲ τὸ κατ᾽ ἰδιότητα μικτόν, τρίτον δὲ καθ᾽ ὑπόστασιν, ὃ μᾶλλον σύγκρατον ἐκ στοιχείων ῥητέον, εἴπερ ἡνωμένον αὐτό τε καὶ τὸ πρὸ αὐτοῦ ἑνιαῖον μικτόν, οὗπερ ἐξήρτηται ὥσπερ ὅλον τὸ μετὰ τοῦτο, καὶ τὸ μετὰ τοῦτο πάλιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μονάδα· ἀεὶ γὰρ συνωνυμεῖ τῷ μετεχομένῳ τὸ μετέχον κατὰ τὴν ἰδιότητα ἑκάστην. Εἰ τοίνυν τολμήσαντα χρὴ ἀποφήνασθαι ἅμα μὲν πρὸς ἔνδειξιν ἀκριβεστέραν ἧς λέγομεν περὶ φύσεώς τε καὶ ἀναλογίας, ἅμα δὲ πρὸς ἀποπλήρωσιν τῆς πολυπράγμονος ἡμῶν ὄντως ἐννοίας, εἴποιμι αὐτοῦ ἁπλῶς ἑνὸς καὶ πρώτου τῶν πάντων αἰτίου συγγενὲς ἀποφύεσθαι πλῆθος τὸ ἀμέθεκτον, καὶ ὅτι μάλιστα αὐτῷ παρωμοιωμένον τὸ νοητὸν τῶν θεῶν γένος, ἐν τῇ ἐκείνου μένον ἑνότητι, καὶ διὰ τοῦτο ἡνωμένον πρὸς ἑαυτό τε καὶ πρὸς ἐκεῖνο, καὶ τὸν κρύφιον διάκοσμον ἡμῖν παρεχόμενον, ἐν οἷς ἀδιάκριτον καὶ ὑπὲρ πᾶσαν κοσμικὴν εὐταξίαν τεταγμένον ὑπερκόσμον οἱ θεοὶ ἀνυμνήκασιν, μεθεκτὸν δὲ οὐκέτι πλῆθος παράγειν· οὐδὲ γὰρ τὸν οὐρανὸν τοῦτον τὸν αἰσθητόν, καίτοι παράγοντα τὸν ὑπουράνιον κόσμον, ὅπως ἀμέθεκτον μὴ παράγειν τὸ τῶν θεῶν πλῆθος, ἀλλὰ μόνον μεθεκτόν τε καὶ ὑποσέληνον.

1.284 Οὐδὲ γὰρ αὐτὸς ὁ γεννῶν ὁ μεθεκτὸς ἦν· ἡ τοίνυν ἀντίστροφος ἀρχὴ πρώτη γεννῶσα πάντα μὲν γεννᾷ, μόνην δὲ ἐξῆψεν ἑαυτῆς τὴν ἀμέθεκτον τῶν θεῶν γενεάν, εἰς μίαν ἕνωσίν τε καὶ φύσιν αὐτὴν συνέλουσα. Καὶ ἄλλως δὲ ἐχρῆν τῆς πάντη καὶ πάντων ἐξῃρημένης ἀρχῆς καὶ τῆς ἐχούσης δὴ τὸ ἀποφυόμενον πλῆθος ἀμέθεκτόν τε καὶ μεθεκτόν, εἶναι τὴν νοητὴν ἀρχήν, ᾗ συνέζευκται πλῆθος ἓν μόνον καὶ τὸ ἀμέθεκτον, οἷον τὸ τῶν νοητῶν θεῶν γένος εἶναί φαμεν· ἓν γὰρ τὸ νοητόν, καὶ αὖ τριχῇ θεωρούμενον, αὐτὸ μὲν ἐν ἑαυτῷ μένον κατὰ τὸ ἕν, αὐτὸ δὲ ἐν ἑαυτῷ καὶ ἀφ' ἑαυτοῦ προϊόν πως κατὰ τὴν τριάδα· καὶ ἡ τριὰς αὐτοῦ ἐστιν οὐ διάκρισις τῶν αὐτοῦ οὐσιῶν, ἀλλ' ἔνδειξις μόνη τοῦ πλήθους, ὅσον καὶ οἷον ἐν τῷ νοητῷ συνήνωται. Ἀλλ' ἐπειδὴ ταῦτα μόλις ποτὲ διεπερανάμεθα, φέρε καὶ τὰς τῶν παλαιῶν θεολόγων ὑποθέσεις ἐπισκοπήσωμεν, ὅπως ἄν τις νοήσειεν κατὰ τὰς φιλοσόφους ταύτας ἐννοίας ἀποπεφρασμένας· καὶ πρώτην γε τὴν πασῶν μυστικωτάτην εἶναι ὁμολογουμένην τὴν χαλδαϊκή ν.

1.285 Ἀτεχνῶς γὰρ αὕτη καὶ ἀντιφθέγγεσθαι δοκεῖ μάλιστα πασῶν ταῖς ἡμετέραις ὑπονοίαις, ὡς ἔνι μάλιστα καὶ συναιρεῖν εἰς μίαν ἕνωσιν γλιχομέναις τὸ νοητόν. Τρεῖς γὰρ ἐκεῖ τριάδας ἡμῖν παραδιδόασιν οἱ θεουργο ί, παρ' αὐτῶν τῶν θεῶν διδαχθέντες· ἀλλὰ καὶ Αἰγύπτιοι, ἀλλὰ καὶ Φοίνικες πολλὴν γενεὰν θεῶν ἐν τῷ νοητῷ παράγουσιν, ὡς μικρὸν ὕστερον ἱστορήσομεν. Τί δέ; ὁ θεῖος Ὀρφεὺς οὐ πολλοὺς θεοὺς ὑφίστησιν ἀπὸ τοῦ Χρόνου μέχρι τοῦ πρωτογόνον Φάνητο ς; αὐτὸς δὲ ὁ πολυτίμητος ἡμῖν φιλόσοφος ὁ Πλάτων οὐχὶ τρία συμπεράσματα συμπεραίνεται ἐπὶ τοῦ ἑνὸς ὄντος· ταὐτὸν δὲ εἰπεῖν, οὐ τρεῖς νοητὰς παραδίδωσι θείας τάξεις ἀλλήλων διαφερούσας; ὥστε ζητητέον ὅπως ταῦτα νοοῦντες οἵ τε θεοὶ καὶ οἱ θεῶν ἀγχίσποροι ἄνδρες παραδεδώκασιν· αὐτίκα τοῖς θεουργοῖς οἱ θεοὶ πῶς τὰς νοητὰς ἐκδεδώκασιν τριάδας; τρεῖς ἄρα, ὡς οἱ νεώτεροι φιλόσοφοι τεχνολογοῦσιν ἑκάστης τριάδος, πέρας μὲν τὸ ἄκρον, οὐσία δὲ ἡ ζωή, νοῦς τὸ ἔσχατον, ἄπειρον δὲ τὸ μέσον, ὡς εἶναι δύο μὲν ἑνάδας, μίαν δὲ μονάδα τῆς τριάδος οὐσιώδη καὶ σύνθετον. Ἀλλὰ πρῶτον μὲν θαυμαστὸν ὅτι δύο μὲν ἑνάδες μετέχονται, τὸ δὲ μετέχον ἐν ᾗ οὐσίωται κλύειν, ἔπειτα διὰ τί τὸ μὲν πέρας ἑνάς, καὶ τὸ ἄπειρον πάλιν ἑνὰς ἑτέρα, αὕτη μὲν δύναμις, ἐκείνη δὲ πατήρ, τὸ δὲ τρίτον ὁ πατρικὸς νοῦς οὐχὶ καὶ αὐτὸς ἑνὰς τρίτη· ἔδει γὰρ καὶ τὸν νοῦν ἀπὸ ἑνάδος ἄρχεσθαι, καὶ ζωὴν δὲ ἢ καὶ οὐσίαν. Ἀμέλει καὶ αὐτοὶ ἐν τοῖς νοεροῖς τὸν νοῦν προτάττουσιν τὸν ἑνιαῖον τοῦ οὐσιώδους· τὸ αὐτὸ ἄρα καὶ πολὺ δικαιότερον ἐπὶ τῶν νοητῶν ἔδει ποιεῖν· τοὐναντίον δὲ οἱ θεολογοῦντες, ὧν ποιοῦνται τὰς ἐξαιτήσεις, οὐ τῶν ὀχημάτων, οὐδὲ τῶν ἀπὸ θεῶν προελθόντων, ἀλλ' αὐτῶν τῶν θεῶν τὰς γενεὰς ἡμῖν καὶ τὰς τάξεις παραδιδόασιν.

1.286 Εἰ τοίνυν τὰς νοητὰς καὶ τὰς νοερὰς καὶ τὰς ὑπερκοσμίους καὶ τὰς ἐγκοσμίους, ὡς θεῶν παραδιδομένων ἀκούομεν, τί δήποτε ἐπὶ μόνων τῶν νοητῶν παραμίγνυσθαι τὰ ἀπὸ τῶν θεῶν ἀξιοῦμεν αὐτοῖς τοῖς θεοῖς, καὶ ἐὰν μὲν πατέρα ἢ δύναμιν εἴπωσιν, ὡς ἑνάδας ἀκούομεν, ἐὰν δὲ νοῦν πατρικόν, ἐπὶ ἄλλο μετερχόμεθα γένος; Καίτοι τί ποιήσομεν ὅταν ὁ πατρικὸς νοῦς παράγειν λέγηται τὰς τριαδικὰς διακοσμήσεις, ἴυγγα ς , συνοχέα ς , τελετάρχας, τὰς νοερὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τριχῆ διαιρέσεις, τὰς κοσμικὰς ἁπάσας; Ἆρα ἀπὸ τοῦ μικτοῦ καὶ συνθέτου νοῦ παράξομεν τὰς ἑνάδας, καὶ τὸ διάφορον ποιήσομεν; ἢ εἴ τις ἀπὸ σωμάτων παράγοι τὰς ψυχάς, ἢ ἀπὸ ψυχῶν τοὺς νόας, ἀλλὰ τὰς ἴυγγας καὶ τοὺς συνοχέας καὶ τοὺς ἄλλους θεοὺς οὐχὶ ἑνιαίους, ἀλλ' οὐσιώδεις ὑποθησόμεθα· ἀλλ' ἡμῖν τε αὐτοῖς καὶ τοῖς θεοῖς ἀντιφθεγξόμεθα. Εἰ δὲ ὁ παρ' Ὀρφεῖ πρωτόγονος θεὸς ὁ πάντων σπέρμα φέρων τῶν θεῶν ἀπὸ τοῦ ᾠοῦ πρῶτος ἐξέθορε καὶ ἀνέδραμε, τίς μηχανὴ τὸ μὲν ᾠὸν ἐξηγεῖσθαι τὸ ὄν, τὸν δὲ ἀπὸ τοῦ ὄντος ἐκθορόντα πρωτόγονον θεὸν ἀνυμνεῖν; πῶς δὲ ἔχει λόγον οὐσίας μὲν διττὰς ὑποτίθεσθαι, καὶ ζωὰς ὁμοίως, εἰ δὲ μή, νόας τε καὶ ψυχάς, τοὺς μὲν ἀμεθέκτους, τοὺς δὲ μεθεκτούς, ἑνάδας δὲ πάσας μεθεκτάς, ἐν αἷς μάλιστα τὸ ἀμέθεκτον ἔπρεπεν; Ἀλλ' οὕτω μὲν οὐ ποιήσομεν τὰς τριάδας, ἀλλ' εἶναι τριῶν ἑνάδων ἑκάστην, ὧν τῆς ἐσχάτης τὴν οὐσίαν ἐξαρτήσομεν, ὥς ποτε ἐδόκει καὶ τῷ ἡμετέρῳ καθηγεμόνι, ἐπειδὴ ταύτας πρὸς αὐτὸν τὰς ἐπιστάσεις περὶ τοῦ τρίτου ἐκοινωσάμην, ὡς εἶναι καὶ ἑκάστην τριάδα μόνην ἑνιαίαν, καὶ τὰς δύο πρὸ τῆς τρίτης ἀμεθέκτους ἑνάδας, ἐκείνην δὲ μεθεκτὴν ἐν ἑκάστῃ.

1.287 Ἆρα οὖν οὕτω μᾶλλον; ἢ πρῶτον μὲν ὅλη ἐξηγεῖται ἀεὶ τῆς δευτέρας ὅλης ἡ προτέρα τριάς. Διεσκορπισμένον ἄρα ἔσται τὸ ἀμέθεκτον πλῆθος, ἀλλ' οὐ συνεχὲς ἑαυτῷ καθάπερ ἐπὶ τῶν ἄλλων· οὐ γὰρ ἂν εὕροιμεν ψυχὴν μεθεκτῶν ἐν τῷ μέσῳ τῶν ἀμεθέκτων, οἷον ἐγκόσμιον μεταξὺ τῶν ὑπερκοσμίων, οὐδὲ νοῦν μεθεκτὸν ἐν μέσῳ τῶν ἀμεθέκτων, οἷον ὑπερκοσμίον ἐν τοῖς νοεροῖς. Πῶς οὖν μετὰ τὴν τρίτην ἑνάδα μεθεκτὴν οὖσαν τῆς πρώτης τριάδος ἡ πρώτη ἑνὰς τῆς δευτέρας τετάξεται; ὅλη γὰρ μετὰ ὅλην, ἡ δευτέρα μετὰ τὴν πρώτην, καὶ δὴ καὶ ἡ τρίτη μετὰ τὴν δευτέραν. Ἔπειτα συνδιασπασθήσεται καὶ τὸ οὐσιῶδες νοητὸν καὶ οὐκ ἔσται ὅλον πρὸς ὅλον αὐτὸ πρὸς ἑαυτὸ συννενευκός τε καὶ ἡνωμένον, εἴπερ οὐδὲ τὰς ἑπομένας ἑνάδας ἀλλήλαις ὁμοῦ τάξομεν, ἀλλὰ διειλημμένας ὑπὸ τῶν ἀμεθέκτων· ἐκ δὲ αὖ τριῶν πῶς μίαν τριάδα ποιοῦμεν ἐκ μονάδων τριῶν ἀνομοειδῶν, τῶν μὲν ἀμεθέκτων, τῶν δὲ μεθεκτῶν; ὅμοιον ὡς εἴ τις ἕνα ποιοῖ ἀριθμὸν ἀπὸ μέν τινων ὑπερκοσμίων, ἀπὸ ἐνίων δὲ ἐγκοσμίων, ἢ τῶν μὲν ἀρχικῶν, τῶν δὲ ἀρχαγγελικῶν, ἢ τούτων τε καὶ τῶν ἀζώνων. Πρὸς δὲ τούτοις ἐπεὶ κόσμον τὸ τῶν ἀμεθέκτων, ὡς ἐπὶ ψυχῶν, ὡς ἐπὶ τῶν νόων, δῆλον ὡς καὶ ἐκείνων τὸ μὲν ἀμέθεκτον ἄλλον, ἄλλον δὲ τὸ μεθεκτὸν ἀποπληρώσει διάκοσμον. Τίς οὖν ὁ νοητός; πότερον ὁ ἀμέθεκτος; καὶ τίς ἔσται ὁ μεθεκτὸς ἀριθμός; οὐσίας μὲν γάρ, ὁ δὲ μετὰ τὸν νοητόν, ζωῆς, ὥς φαμεν· ἢ ὁ μεθεκτός ἐστιν ὁ νοητός. Καὶ τίς ἂν εἴη ὁ πρὸ τούτου καὶ ἀμέθεκτος; πρῶτος γὰρ κόσμος ὁ νοητός, ὥς φαμεν· εἰ δὲ ὁ συναμφότερος νοητός, διὰ τί μὴ καὶ οἱ ἄλλοι κόσμοι κατὰ τὸ συναμφότερον πλῆθος ὁ νοητὸς καὶ νοερός, ὁ νοερός, ὁ ὑπερκόσμιος, ὁ ἐγκόσμιος; Ἔτι τοίνυν εἰ ἡ αὐτὴ ἰδιότης ἔν τε τῇ ἑνάδι καὶ τῇ ἐξημμένῃ αὐτῆς οὐσίᾳ, νοῦς δὲ πατρικὸς ἐκείνη, καὶ αὕτη ἄρα νοῦς πατρικός.

1.288 Εἰ δὴ ἐκείνη συμπληροῖ τὴν τριάδα κατὰ ταύτην τὴν ἰδιότητα, σαφὲς ὅτι καὶ ἡ οὐσία τὴν αὐτὴν κατὰ τὴν αὐτήν· καὶ γὰρ ἐν τοῖς ἄλλοις κόσμοις ἀνάλογον τοῖς ἑνιαίοις τὰ οὐσιώδη συντέτακται. Πῶς οὖν τῆς τριάδος αἱ μὲν ἁπλαῖ δύο μονάδες, ἡ δὲ τρίτη διπλῆ ἐστιν, ἑνάς τε ἅμα καὶ οὐσία; Χωρὶς δὲ τούτων, εἰ ὁ μὲν πατρικὸς νοῦς ἑνάς, ἐξῆπται δέ τις αὐτοῦ οὐσία, καὶ ταῦτα ἑτερότητι κεχώρισται ἀλλήλων, φανερόν τε τὸ πρὸ ἀμφοῖν ἡνωμένον, εἰ μεταξὺ τῆς τριάδος ἐμπεσεῖται, καὶ διασπάσει αὐτήν; ἢ πρὸ τῆς τριάδος ἔσται, καὶ τῆς πρώτης λέγω· καὶ τὰς τριάδας οὐκέτι μετὰ τὴν μίαν ἀρχὴν τάξομεν, ὡς καὶ αὐτοὶ βούλονται λέγειν, καὶ τὰ λόγια μαρτύρονται, οὐχ οἱ νεώτεροι μόνοι, ἀλλὰ καὶ Ἰάμβλιχος καὶ Πορφύριο ς· καὶ φανοῦνται πρὸ τούτων ἄλλαι τριάδες συσταμέναι κατὰ τὸ ἡνωμένον, ὡς αὐτίκα μάλα ἐροῦμεν. Μήποτε οὖν καὶ ταύτης ἀφέμενοι τῆς ὑποθέσεως ἐκείνην μᾶλλον ὑποθετέον τὸ μὲν τρίτον εἶναι οὔτε τὸ ἓν οὔτε τὸ ὂν οὔτε τὸ ἓν μετὰ τοῦ συνεζευγμένου ὄντος, ἀλλὰ τὸ πρὸ ἀμφοῖν ἡνωμένον κατὰ τὸν πατρικὸν νοῦν τεταγμένον, εἰ δὲ βούλει, καὶ κατὰ μικτὸν τοῦ Πλάτωνος, ἀλλὰ τὸ νοητόν, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπερούσιον· εἰ δὲ αὖ βούλει, καὶ κατὰ τὸ ὂν τῶν φιλοσόφων τόγε ἀδιόριστόν ἐστι πρὸς ἕν τε καὶ οἷον καὶ πρὸ ἀμφοῖν θεωρούμενον. Οὐσία μὲν γὰρ ἡ ἁπλῶς ἐκεῖνο, καθάπερ ἐλέγομεν, μικτὸν δὲ ἂν εἴη ἐκ τῶν πρὸ αὐτοῦ δυεῖν ἀρχῶν· ἓν γὰρ καὶ οὐχ ἓν τὸ ἡνωμένον, καὶ καθόσον οὐχ ἕν, πεπληθυσμένον. Οὐκοῦν τοῦτο μὲν αὐτῷ ἐκ τῆς δευτέρας ἥκει ἀρχῆς, ἐκεῖνο δέ, τὸ ἡνῶσθαι, ἐκ τῆς πρώτης· ἐξ ἀμφοῖν οὖν ἅμα προελθὸν σύγκρατόν ἐστι καὶ μικτόν. Ἀλλ' ἐπεὶ οὐκ εἰσὶν αἱ ἀρχαὶ διωρισμέναι ἀλλήλων, ἀλλὰ κρειττόνως ἢ κατὰ πάντα διορισμὸν ὑφεστήκασιν, καὶ γὰρ ἀπὸ τῆς δευτέρας ὁ διοριστικὸς καὶ διακριτικὸς ἀπορρεῖ τρόπος, οὐδὲ εὐθὺς μετ' αὐτήν, καὶ τὸ ἡνωμένον γὰρ ἀδιόριστον ἦν καθ' ἑαυτό τε καὶ πρὸς ἐκείνας (εἰ γὰρ ἡνωμένον, καὶ πάντη ἀδιάκριτον), διὰ δὴ ταῦτα οὔτε σύνθετον οὔτε σύγκρατον, οὔτε στοιχειωτόν; ἢ ἐκ στοιχείων ἐκεῖνο θετέον· πλὴν κατὰ ἀναλογίαν τινὰ σαφηνείας χάριν καί τινος ἐνδείξεως ἀμυδρότατα ἀντιλαβέσθαι ἐφιεμένης τῆς ἀμηχάνου καὶ ὑπερφυοῦς ὄντως ἀληθείας.

1.289 Ἀλλ' ἔστιν ἁπλῶς ἡνωμένον καὶ ἁπλοῦν παντελῶς· τὸ μὲν γὰρ ἓν ὑπέκειτο ὡς αὐτὴ ἡ ἀπὸ πάντων ἀναχώρησις, τὰ δὲ πολλὰ ὡς τὰ τοῦ ἑνὸς πάντα, τὸ δὲ ἡνωμένον, ὃ ἄν τις εἰκότως καλήσειε τε καὶ ὑπονοήσειε πρῶτον ἓν πάντ α, οἷον τέως μὲν ἦν τὸ ἕν, εἶτα τοῦτο διέστη εἰς τὴν ἑαυτοῦ ἀπειρίαν ὥσπερ τι χάος· ἦν γὰρ πέρας μόνον καὶ ὁ πάντων αἰθήρ, συστὰν δὲ τὸ χάος καὶ ἓν προελθὸν ὡς ἅμα πεπερασμένον καὶ ἄπειρον κατὰ μίαν ἁπλότητα καὶ ταύτην ἐνδεικνύμενον τὴν φύσιν, ποιὸν ἓν ἀμφιλαφὲς γεγονὸς ἀντὶ τῶν ἀλήπτων ἀρχῶν. Τοῦτο οὖν τὸ τρίτον ἓν μετὰ τὸ τέταρτον καὶ τὸ πρῶτον καλοῦμεν ἡνωμένον, ὡς ἐπιστραφεῖσαν ἀπειρίαν εἰς τὸ πέρας, καὶ οἷον παγεῖσαν, μᾶλλον δὲ τρίτην ἀρχὴν κατὰ τὸ ἐξ ἀμφοῖν τι στᾶσαν, καὶ πρὸ ἀμφοῖν, τῶν μὲν κάτω δυεῖν ἀρχῶν πρὸ ἀμφοῖν, ὡς ὂν κατὰ τὸ ἁπλῶς, τῶν δὲ ἄνωθεν ἐξ ἀμφοῖν, ὡς πάλιν ὂν κατὰ τὸ ἁπλῶς. Ὥστε ταὐτὸν πρὸς ἑκατέρας, ἀλλὰ πρὸς τὰς μὲν ὡς τρίτον, τὰς ἄνω, πρὸς δὲ κάτω καὶ διωρισμένας ὡς πρῶτον· γίγνεται τοίνυν ἡ τριὰς αὕτη τὸ ἓν ὡς πατήρ, καὶ τὰ πολλὰ ὡς δύναμις, καὶ τὸ ἡνωμένον ὡς πατρικὸς νοῦς. Ἀλλ' εἴ τις οὕτως ὑποθοῖτο, πῶς τὰς τρεῖς τριάδας ἀπεργάσεται; δεήσει γὰρ καὶ τὸ ἓν ἁπλῶς τριπλασιάσαι καὶ τὰ πολλὰ ἁπλῶς· οὐκ ἄρα ἁπλῶς οὐδέτερα· τὸ γὰρ ἁπλῶς ἓν πανταχοῦ· τὸ μὲν γὰρ ἡνωμένον ἔστω τριπλοῦν ἐν τῷ μονοειδεῖ· πῶς δὲ τὸ ἁπλῶς ἓν ἔσται καὶ τριπλοῦν, χαλεπὸν καὶ πλάσαι· ἀλλὰ καὶ τὸ ἡνωμένον εἴ τις ποιήσει μονάδας, διεσπασμένον ἔσται ἀφ' ἑαυτοῦ· καὶ τρεῖς γὰρ αἱ δυνάμεις, καὶ τρεῖς οἱ πατέρες. Χωρὶς δὲ τούτων, ἡ πρώτη καὶ ἡ δευτέρα καὶ ἡ τρίτη πῶς ταχθήσονται; ἔσται γὰρ μετὰ τῆς ὅλης τριάδος καὶ τὸ ἡνωμένον πρὸ τοῦ δευτέρου καὶ τρίτου πατρός. Πῶς δὲ ἄν τις εἴη καὶ ἀριθμὸς ἐν ἐκείνοις; ἢ ἐν τῷ παντελῶς ἡνωμένῳ ἢ ἔτι δυσκολώτερον ἐν τοῖς πρὸ τοῦ ἡνωμένου. Οὐκ ἄρα οὐδὲ ἓν ἐννεὰς οὐδὲ τριάς ἐστι· τοίνυν ἐξ ἀνομοειδῶν ἔσται πάλιν ὁ ἀριθμός, εἴπερ ἐκ πέρατος καὶ ἀπείρου καὶ μικτοῦ ἢ ὄντος ἐστίν, ἢ ἐκ πατρὸς καὶ δυνάμεως καὶ νοῦ πατρικοῦ.

1.290 Ἀλλ' ἵνα ταῦτα πάντα καταλείψω, τοῦ νοητοῦ τοῦ κόσμου ἐν τούτοις συνισταμένου, τίς ἔσται μετὰ τοῦτον ὁ νοητὸς καὶ νοερός; καὶ τίς ὁ νοερός; δεῖ μὲν γὰρ τοῦτον εἶναι κατὰ τὸν ἐν ὑποστάσει νοῦν, τὸν δὲ πρὸ τούτου κατὰ τὴν ἐν ὑποστάσει ζωήν. Τὸν ἄρα νοητὸν θησόμεθα κατὰ τὴν οὐσίαν ἣν καθ' ὑπόστασιν λέγομεν οὐσία ν· ὁ ἄρα κατὰ τὸ ἡνωμένον τὸ πρὸ τῆς οὐσίας καὶ τῆς ζωῆς καὶ τοῦ νοῦ οὐκ ἂν εἴη νοητός, ἀλλ' ὑπὲρ τὸν νοητόν. Τίς οὖν ἂν ἐκεῖνος εἴη κεκλημένος; ἀλλ' ἴσως ὁ ἁπλῶς κόσμος καὶ ἀδιάφορος καὶ τοὺς ἄλλους κοινῇ συνελών. Ἀλλ' εἰ καὶ τοῦτο δοίη τις, ὁ νοητὸς τίς ἂν εἴη; ἢ δῆλον ὅτι περὶ τὴν ὄντως οὖσαν, ὥς φησιν, οὐσίαν, καὶ ἣν ἐλέγομεν ἐν τοῖς πρόσθεν ἀκρότητα τῶν νοητῶν καὶ νοερῶν. Ἀλλ' ἦν αὕτη ἀρχὴ τοῦ διακρινομένου, τὸ δὲ διακρινόμενον ἦν ἡ ζωή· ζωῆς ἄρα αὕτη ἀρχή, καὶ οὐ τῆς οὐσίας οὐδὲ τοῦ ἀδιακρίτου, ὅπερ ἐλέγομεν εἶναι τὸ νοητόν, ἀλλὰ τοῦ διακρινομένου, ὅπερ ἡμῖν ἦν νοητὸν καὶ νοερόν. Ἀλλ' εἰ καὶ ταῦτα ἀφῇ τις, ἐκεῖνο πῶς, ἐροῦμεν, τὸ νοητὸν καὶ νοερὸν

ὁριοῦμεν καὶ μέχρι τίνος; Ὁ μὲν γὰρ καθαρὸς νοῦς ὅστις ἐστὶ φανερόν, καὶ ὅτι ἀπ' αὐτοῦ ἄρχεται τὰ νοερά· λείπεται ἄρα τὸν συνοχικὸν διάκοσμον ἅμα τῷ τελεταρχικῷ ποιεῖν τὸν μέσον. Καὶ τίς ἡ τοῦ μέσου τριάς; ἢ οἱ μὲν τελετάρχαι συνείληπται τοῖς συνοχεῦσι, κατὰ τὸ λόγιο ν· αὐτοὶ δὲ οἱ συνοχεῖς τρεῖς εἰσιν, ὥσπερ καὶ πρὸ τῶν συνοχέων αἱ ἴυγγες ἐπέχουσαι τὴν νοητὴν οὐσίαν, ὡς εἴρηται, καὶ τάχα ἂν πρέψειεν ταύταις μὲν τὸν νοητὸν καὶ ἡ ὄντως οὐσία διὰ τὸ συναγωγὸν καὶ ὅτι μάλιστα συναιρούμενον, τοῖς δὲ συνοχεῦσι τὸ νοητὸν καὶ νοερὸν καὶ ἡ πρώτη ζωή· τῆς γὰρ ζωῆς ἴδιον τὸ συνέχειν τηροῦσαν τὴν διακεκριμένην ὑπόστασιν καὶ εἰδητικὴν καὶ ἅμα συμπροϊοῦσάν πως αὐτῶν τῇ διακρίσει· τὸ γὰρ συνεχὲς καὶ διάστασιν δηλοῖ καὶ μερισμὸν καὶ ἅμα συνοχήν τε καὶ ἕνωσιν τῶν μερῶν, ἄλλως τε καὶ κατὰ τὴν συνήθη τοῖς φιλοσόφοις ὑπόθεσιν, τὴν ἀκμὴν τῆς ζωῆς οὗτος ὁ τρόπος ἀναφαίνειν ὁμολογεῖται. Καὶ ἴσως ὁ τῷ οὐρανῷ τούτῳ συνὼν χρόνος εἰκών ἐστι τοῦ συνόντος ἐκείνῳ τῷ οὐρανῷ καὶ τὴν περιφορὰν αὐτοῦ μετροῦντος αἰῶνος, ἐπειδὴ καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ πάντως ὅτι ἀληθέστατον ἄγαλμα· δῆλον δὲ ποτέρου πότερος· καὶ διὰ τοῦτο, ὡς ἔοικεν, ὁ νοερὸς πρῶτος νοῦς οὗτός τε διακρίνει ἑαυτὸν ἀπὸ τοῦ πατρὸς καὶ ἐκεῖνον μερίζει πρὸς ἑαυτόν, ὅτι καὶ ἡ ζωὴ μερίζεται ὑπὸ τῆς τῶν εἰδῶν διακρίσεως.

1.291 Εἴποι δ' ἄν τις ᾧ ταῦτα λέγειν ἀρέσκει τὸ μὲν νοητὸν ἐν μονάδι θεωρεῖσθαι μόνῃ τῆς ἰυγγικῆς φύσεως, τὸ δὲ νοερὸν φῦλον ἐν τριάδι τῇ τῶν κοσμαγῶν, ἢ ὡς οἱ φιλόσοφοι διαιροῦσιν, τοῦ καθαροῦ νοῦ καὶ τοῦ ζωογόνου καὶ τοῦ δημιουργικοῦ, τὸ δὲ μέσον πλήρωμα τὸ νοητὸν καὶ νοερὸν οἰκείως ἐν δυάδι· ζωτικὴ γὰρ ἡ δυὰς καὶ προόδοις χαίρουσα ταῖς ἐπ' ἐλάχιστον ἐκβαινούσαις ἀπὸ τῆς οἰκείας μονάδος. Καὶ τίς ἡ μέση δυάς; ἡ συνοχικὴ φύσις καὶ ἡ τελεταρχική, αὕτη μὲν διορίζουσα τὴν συνοχὴν εἰς ἀρχὴν καὶ τέρμα, καὶ αἷς μετατάξει ἀνάγκης, ἐκείνη δὲ συνεχίζουσα καὶ σφίγγουσα πρὸς ἓν πρῶτα καὶ μέσα καὶ τελευταῖα. Τάχα μὲν οὖν, ὅπερ ἔφην, καὶ οὕτως ἄν τις διατάξαιτο τοιούτοις λογισμοῖς κεχρημένος. Ἐγὼ δὲ εὐλαβοῦμαι παραχαράττειν τὴν πάτριον ὑπόθεσιν, οὐ μόνον ἀνθρώπων ἀρέσασαν τοῖς κλεινοτάτοις (οὐδεὶς γὰρ ἄχρι τοῦδε ὑπέθετο τῶν φιλοσόφω ν), ἀλλὰ καὶ τοῖς θεοῖς αὐτοῖς. Ὅ τε γὰρ Ἑλλήνων θεολόγος Ὀρφεὺς πρῶτον ἐποίησε τὸν Φάνητα καθορώμενον ὑπὸ τῶν θεῶν, ἄλλως τε καὶ τῶν νοερῶν, ὧν ἐστι καὶ ὁ δημιουργός, οἵ τε ἐκδεδωκότες θεοὶ τὰ πολυτίμητα λόγια τὰς πρώτας ἡμῖν τριάδας παραδεδώκασι ταύτας ὡς νοητάς, ὧν τὸν ὑπερκόσμιον βυθὸν εἰδέναι νοοῦντα ἀπαγγέλλουσι τοὺς νοεροὺς θεούς· αἰσχυναίμην δ' ἂν καὶ τὸν θεῖον Ἰάμβλιχον, εἴ τι περὶ ταῦτα καινοτομοίην, ἄνδρα τῶν θείων πραγμάτων ἄλλων τε καὶ τῶν νοερῶν ἄριστον ἐξηγητήν. Δοκεῖ τοίνυν ἐμοίγε κατὰ ἴχνη τῆς ἐκείνου πολυθεάμονος γνώμης τὸν μὲν νοητὸν κόσμον ὑποτίθεσθαι τὸν ἡνωμένον ἐκεῖνον βυθὸν οὐκ "ὄντως οὖσαν οὐσίαν" περιέχοντα τὴν διωρισμένην πρὸς τὸ ὀχούμενον ἕν, ἀλλὰ τὴν ἁπλῶς οὐσίαν, καὶ οὔτε ἑνιαίαν οὔτε μικτήν, ἀλλὰ μόνον οὐσίαν μίαν πρὸ ἑκατέρας.

1.292 Εἴ τις οὖν θεῶ ν , ἢ εἴ τις ἀνδρῶν ἐν οὐσίᾳ τὸν νοητὸν ὑπεστήσατο κόσμον, ἐν τῇ ἡνωμένῃ ταύτῃ, πᾶς ἀκουέτω συνομολογῶν μὲν τοῖς εἰποῦσι κατὰ τοσοῦτον, διακαθαίρων δὲ τὴν οὐσίαν εἰς τὴν ἁπλῶς ἐκείνην καὶ ἡνωμένην καὶ παντελῶς ἀδιάκριτον. Καὶ γὰρ αὐτοὶ πάντες οἱ ταῦτα λέγοντες ἐν τῇ πάντων ἀδιακρίτῳ ἑνώσει τὸν νοητὸν ὑπέθεντο, καὶ οὐδεὶς ἀμφισβητεῖ περὶ τούτου, καὶ μάρτυς ὁ Ἰάμβλιχος δευτέραν τῷ νοητῷ μετὰ τὴν μίαν τῶν ὅλων ἀρχὴν παρεχόμενος ἕνωσιν, καὶ περὶ τὸ ἓν ὑφεστάναι αὐτὸ πανταχοῦ διατεινόμενος, καὶ ἀναπόσπαστον εἶναι πάντη τοῦ ἑνὸς καὶ πᾶσαν ἐπ' αὐτοῦ διαίρεσιν ἢ διπλόην ἢ διάστασιν παραιτούμενος, καὶ πρὸς τὸν Πρεσβύτην πολλὰς τοιαύτας ἀντιρρήσεις ποιούμενος. Εἰ δὴ τὸ νοητὸν ὡς ἀληθῶς ἡνωμένον ἐστί, τίς μηχανὴ τὴν διωρισμένην οὐσίαν ἀπὸ τοῦ ἑνὸς καὶ ἑτερότητι συνοῦσαν καὶ στοιχείων διορισμὸν ὁπωσοῦν πεπονθυῖαν τῷ νοητῷ διακόσμῳ συνάπτειν; οὐ λίνον λίνῳ τὸ λεγόμενον, ἀλλά τινα ποιητικὴν μισγάγκειαν τῷ λόγῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνάγοντας ἐπὶ τῶν ἁγιωτάτων ἀτεχνῶς θεαμάτων. Τὸ μὲν δὴ νοητὸν ἐκεῖνο ἡμῖν ὑποκείσθω καὶ νῦν ὥσπερ καὶ ἐξ ἀρχῆς ἐν τῷ ἀδιακρίτῳ πάντη καὶ πάντως, ἐν δὲ τῷ διακρινομένῳ τὸ νοητὸν ἔστω καὶ νοερόν, ὡς τότε ἐλέγετο, καὶ νῦν ὁμοίως· ἄρχεται δὲ ἐν αὐτῷ ἡ ἑτερότης, καὶ πρώτην ποιεῖται διάστασιν ὄντος τε καὶ ἑνός, τούτου μὲν κατὰ τὴν ἁπλότητα στάντος, ἥ τις ἦν καὶ ἄνω, ἐκείνου δὲ κατὰ τὴν περιοχὴν πάντων ἐρημωθεῖσαν τῆς ἁπλότητος, κατά γε τὸ μὴ μεῖναι ἁπλότης, μετέχειν δὲ ὅμως αὐτῆς. Ὅθεν καὶ τὸ πρῶτον στοιχειωτὸν ἡ οὐσία ἐκείνη, καὶ ἐν αὐτῇ τὰ πρῶτα στοιχεῖα, καὶ ὁ πρῶτος ἀριθμὸς ἐκεῖ, ὅτι καὶ ὁ πρῶτος διορισμός. Ταῦτα δὲ καὶ ὑφ’ ἡμῶν εἰρημένα πολλάκις καὶ ὑπὸ τοῦ Πλάτωνος καὶ ὑπ’ αὐτῶν τῶν λογίων πῶς ἂν προσήκοι τῷ νοητῷ; εἰ δὲ ἡ ὄντως οὐσία ἐνταῦθα, καὶ τὴν οὐσίαν ταύτην ὡς οὖσαν γνωρίζομεν, αἰτία μὲν καὶ ἡ ἀκρότης τοῦ διακρινομένου γειτονοῦσα τῷ διακρίτῳ καὶ οὐσίας ἔτι διασώζουσα συνῃρημένην ἰδέαν, αἰτία δὲ καὶ ἡ πρὸς τὸ ἐναντίον παραβολή, γνωριμωτέραν παρεχομένη τὴν σύγκρασιν τῶν στοιχείων πρὸς τὴν ἐκείνου ἁπλότητα ὡς οὐκ οὖσαν ἕν, ἀλλὰ μᾶλλον ἡνωμένον.

1.293 Ὡς γὰρ τὸ ἓν τοῦτο μιμεῖται τὸ ἁπλῶς ἕν, οὐσίας ὂν ἕν, πάντα ἓν ἐκεῖνο, οὕτω καὶ ἡ οὐσία πρὸς τοῦτο οὖσα ἡνωμένη μίμημά ἐστι τοῦ ἁπλῶς ἡνωμένου καὶ πάντα ἡνωμένου ῥηθέντος· ταύτης εἰς οὐσίαν μόνην ἑνωθεῖσαν, κάλλιον δὲ ἴσως εἰπεῖν, συγκραθεῖσαν. Ἐπὶ δὲ τούτοις τῇ οὐσιώδει γνώσει καταλαμβάνεται αὐτῇ, ὥσπερ τῇ ἑνιαίᾳ τὸ ἕν, τῇ δὲ ὑπὲρ ἑκατέραν τὸ νοητὸν ἁπλῶς· ἡμεῖς δέ, νῦν ὡς ἔχομεν, οὐδὲ ἀκριβεῖ τῇ οὐσιώδει χρώμεθα, οὐδὲ ὅσον ἥκει πρὸς λογικήν τε καὶ ἀνθρωπίνην ψυχήν, ἀλλ’ ἔτι καὶ τούτου ἀμυδρότερον καὶ ἔτι πόρρωθεν μειζόνως. Εἰκότως ἄρα τὸ νοητὸν ἡμῖν οὐ προσβάλλει· οὐδὲ γὰρ τὸ ἑνιαῖον, ὃ τῆς οὐσίας ὑπερίδρυται· θείας γὰρ καὶ τοῦτο γνώσεως ἰδεῖν ὅθεν τὸ ἀκρότατον τῶν ἡμῖν νοουμένων ὡς νοητὸν ἀπαγγέλλομεν καὶ ὡς οὐσίαν τὴν ὄντως οὖσαν. Καὶ γὰρ ὁ Πλάτων ἄχρι τούτου τοῦ τόπου τὰς ψυχὰς ἀνάγων ἐν τούτῳ τὴν οὖσαν οὐσίαν καὶ τῷ κυβερνήτῃ μόνῳ θεατὴν τῆς ψυχῆς ὑποτίθεται, εἰ μὴ ἄρα ἐφίστησιν ἡμᾶς διὰ τοῦ ὄντως φάναι καὶ οὖσαν οὐσίαν, ὅτι μετέχει καὶ ἄλλης νοητῆς οὐσίας ὑπερκειμένης, ὡς καὶ ὁ Πρόκλος ἠξίωσεν ἀκούειν. Καθάπερ οὖν οὐχ ἁπλῶς ἐστι νοητόν, ἀλλὰ πρός τι (δοκεῖ γὰρ καὶ τοῦτο τοῖς φιλοσόφοι ς), οὕτω καὶ οὐσία ἐστὶν οὐχ ἁπλῶς, ἀλλὰ πρός τι ἐν οὐσίας λόγῳ πρωτεύουσα τοῦ ζωτικοῦ διακόσμου. Ἔστι γὰρ οὐσία σύγκρατος ἐκ στοιχείων, πᾶσα δὲ κράσις ζωτική πώς ἐστιν, ὅτι καὶ φυσική ἐστιν, εἰ καὶ φύσει εἴη, ἢ γίγνεται μετέπειτα, εἰ κατὰ τέχνην συσταίη τὴν πρώτην. Εἰ δὲ καὶ ζωῆς ἴδιον ἐλέγομεν τὸ ἐγείρεσθαι πρὸς διάκρισιν, εἴη μὲν ἂν ζωὴ καὶ αὕτη τις ἡ οὐσία κατὰ τὸν ὁσονοῦν διορισμὸν τῶν στοιχείων, πάλιν δὲ αὐτῶν στοιχείων εἰς ἕνωσιν ἐπιγινομένων καὶ συγχεῖν τρόπον τινὰ τὸν διορισμὸν σπουδαζόντων· τοιαύτη γὰρ ἡ στοιχειώδης ἅπασα φύσις. Διὰ δὴ ταῦτα πάλιν εἰς οὐσίαν καθίσταται· τόδ’ οὖν, ἀληθέστερον εἰπεῖν, ἀκρότης ἐστὶ τῆς ζωῆς, οὐσία μᾶλλον ἢ ζωὴ βουλομένη εἶναι, καθάπερ ἡ ἀποτελευτησίας νοῦ μᾶλλον εἶναι ἐσπούδακεν ἢ ζωή.

1.294 Καὶ τί θαυμαστὸν εἰ ζωῆς ἡ ἀκρότης οὐσία μᾶλλον ἰνδάλλεται, ὅτε καὶ τῶν νοερῶν ἡ ἀκρότης τὴν νοερὰν οὐσίαν προφαίνει, καὶ ἔστι νοητὴ ὡς ἐν τῷ νοητῷ ὅλῳ διακόσμῳ; Τί οὖν; οὐχὶ καὶ ἐν τῷ νοητῷ ζωὴν ἀποτιθέμεθα τὸν ἁπλῶς νοῦν, καὶ δὴ πρώτην ἐκεῖ τὴν ἁπλῶς οὐσίαν, ὥστε οὐ μόνη ἡ ἁπλῶς οὐσία τὸ νοητόν, ὡς νῦν δὴ ἐλέγομεν; Ὅλως δὲ εἰ μετὰ τὸν ἁπλῶς ἐκεῖ ὄντα νοῦν νοητόν, ἔστιν οὗτος ὁ νοῦς ὁ νοῶν καὶ νοῦς ὢν καθ’ ἑαυτόν· ὁμοίως δὲ καὶ μετὰ τὴν ἁπλῶς ζωὴν τὴν ἡνωμένην ἐστὶν ἡ καθ’ ἑαυτὴν ἐνταῦθα ζωὴ ἀντιδιῃρημένη πρὸς νοῦν. Οὕτω δεῖ καὶ οὐσίαν εἶναι καθ’ ἑαυτὴν ἀντιδιῃρημένην πρὸς τὴν ζωήν, οὐχὶ τὸ ἄκρον οὖσαν τῆς ζωῆς, ἄλλ’ ἕτερον γένος; ἢ ῥητέον πάλιν ὡς τὸ μέν ἐστιν ἀδιάκριτον, τὸ δὲ διακρινόμενον· καὶ ἐν μὲν τούτῳ πάντα διακεκριμένα κατέστη τά τε ἄλλα καὶ τὸ ἓν καὶ τὸ ὄν· εἶδος γὰρ οἷον ὅλον ἑκάτερον, τὸ μὲν ἑνιαῖον, τὸ δὲ οὐσιῶδες· εἶδος δὲ πᾶν οἰκείαν ἔχει περιγραφήν, ὡς ὁ νοῦς· ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ τῷ μέσῳ διακρινόμενα πάντα ὑπέστη, ἀρχόμενα ἀπὸ τοῦ ἑνὸς καὶ τοῦ ὄντος· διόπερ οὐδὲν ἐνταῦθα περιγέγραπται, οὐ μέντοι οὐδὲ ἥνωται, ἀλλ' οἷόν τινα πέπονθε χύσιν οὔτε μένειν δυνηθεῖσαν, οὔτε ἐπιστραφῆναι εἰς περιγραφήν· ἐγένετο τοίνυν ῥοή τις καὶ ζέσις, ἣν καλοῦμεν ζωή ν. Ἐν δὲ τῷ πάντη ἀδιάκριτα τά τε ἄλλα καὶ τὸ ἓν τοῦ ὄντος, ὅθεν ἀκίνητος πάντη καὶ ζέσιν οὐδεμίαν ἔχουσα οὐδὲ ῥύσιν, ὥστε οὐσία μόνον ἐστίν· ὥστε κατὰ μὲν ἀλήθειαν οὕτω διατέτακται ταῦτα, καὶ τοιούτοις ὅροις διέστηκεν. Ἔστι δὲ ὅμως κατὰ ἀναλογίαν ἐν ἑκάστῳ πάντα, ὡς ἐν ἀδιακρίτῳ μὲν τῷ ὅλῳ τὸ μάλιστα ἀδιάκριτον, καὶ τὸ διακρινόμενον ὡς ἐν φύσει παντελῶς ἡνωμένῃ· διόπερ καὶ ἐν οὐσίᾳ τῇ ὅλῃ οὐσία τέ ἐστι τὸ ἄνθος αὐτὸ τῆς οὐσίας καὶ ζωὴ τῷ μέσῳ, καὶ νοῦς τὸ τρίτον, ἁπλῶς δὲ ζωὴ καὶ ἁπλῶς νοῦς, ὅτι ἐν τῷ ἡνωμένῳ μόνῳ ἀδιάκριτον ἀπὸ τοῦ ἑνὸς τὸ ὂν ὑφέστηκεν. Πάλιν δὲ αὖ ἐν τῷ διακρινομένῳ ὅλῳ ὄντι τοιούτῳ τὸ μὲν ἄκρον ὡς μάλιστα οὐσία, ἣν οὐσίαν πρὸς ἑνάδα ἀντιδιαιροῦντες καλοῦμεν, ἐμφαίνουσαν μέν τι καὶ ζωτικὸν κατὰ τὸ ἄκρον αὐτοῦ τοῦ διακρινομένου, ἥκιστα δὲ ὅμως διακρινομένου, διὸ μάλιστα τὴν οὐσίας φύσιν προφαίνουσαν· τὸ δὲ μέσον, ἀκμάζον τῷ διακρινομένῳ, ἡ κυρίως καὶ μόνως ἐστὶ ζωή, οὔτε τῷ ἀδιακρίτῳ κρατουμένη, οὔτε τῷ διακρινομένῳ, ἀλλὰ μόνον οὖσα τὸ διακρινόμενον ἄκρατον.

1.295 Ἐν δὲ τῷ διακεκριμένῳ πάλιν ἐν μὲν τῇ ἀρχῇ ἀδιάκριτον ἐμφαίνεταί πως, διόπερ ἡ νοερὰ οὐσία αὕτη ἐστίν· ἐν δὲ τῇ μεσότητι τὸ διακρινόμενον, διόπερ ἡ νοερὰ ζωὴ πέφυκεν ἐνταῦθα· ἐν δὲ τῇ ἀποπερατώσει τὸ διακρινόμενον, ὅπου ἀκμάζει ὁ νοερὸς νοῦς, καὶ διὰ τοῦτο σύμμετρος ἐγένετο πρὸς τὴν τῆς ὕλης διακόσμησιν. Τούτων δὲ πολλάκις οὕτω διωρισμένων, εἴ γε ἀπαιτοῖ ὁ ἀπορῶν ζωὴν ἀδιάκριτον, ἑλούων ἀπὸ τοῦ ὄντος τὸ ἕν, καὶ νοῦν εἶναι τοιοῦτον, ἔχει μέν, ὡς ἐν τῷ ἡνωμένῳ πέφυκεν εἶναι καὶ ταῦτα· οὐ μέντοι, ἀλλ' εἰδέτω παρεκβαίνων τοὺς εἰρημένους διορισμούς· οὐδὲ γὰρ ἡ ζωὴ τὸ εἶναι ἔχειν δύναται ὅ ἐστιν, ἐὰν μὴ διακρίνοιτο τοῦ ὄντος τὸ ἕν, οὐδὲ νοῦς, ἐὰν μὴ ταῦτα πρὸ πάντων ᾖ διακεκριμένα. Ὥστε κατὰ τὸν κυριώτατον λόγον, ὅπου τὸ ἓν οὕτως ἔχει πρὸς τὸ ὄν, ἐκεῖ τὸ οἰκεῖον ὑφίσταται γένος ἁπλῶς, εἰ μὲν ἥνωται ἡ οὐσία, δῆλον γὰρ ὅτι καὶ τὰ ἄλλα ἐν αὐτοῖς πάντα ἥνωται, εἰ δὲ διακρίνεται ζωή, πάντα γὰρ ἤδη κεκίνηται πρὸς διάκρισιν, εἰ δὲ διακέκριται ὁ νοῦς, ἤδη γὰρ ἐν αὐτῷ καὶ τὰ ἄλλα περιγέγραπται· ἁπλῶς οὖν οὗτος ὁ νοῦς, καὶ ἁπλῶς αὕτη ἡ ζωή, καὶ ἁπλῶς αὕτη ἡ οὐσία. Πῶς οὖν ἐν τοῖς πρόσθεν ἐλέγομεν οὕτως εἶναι ζωὴν πρὸ ἀμφοῖν, καὶ νοῦν πρὸ ἀμφοῖν, ἑκάτερον πρὸ τῆς διακρίσεως τοῦ ὄντος, ὥσπερ οὐσίαν τὴν κατὰ τὸ συναμφότερον, καὶ δὴ πάλιν οὐσίαν τινὰ τὴν κεχωρισμένην ὡς ζωὴν καὶ νοῦν, ἄλλο μὲν τὸ ἕν, ἄλλο δὲ τὸ ὂν ἐπιφαίνοντας; ἢ καὶ ταῦτα μὲν ἔχει τινὰ ἀλήθειαν τὴν προειρημένην. Ἀλλὰ νῦν ὅμως ἀκριβολογούμενοι λέγομεν ὡς ἡ μὲν οὐσία φύσις ἐστὶν ἡνωμένη καὶ μετὰ τὸ ἓν ἀξία τετάχθαι, καὶ τὸ εἶναι οὐσίαν τὸ ἡνωμένην εἶναι τοῦτον· αὕτη οὖν ἔστιν ἡ ἁπλῶς οὐσία, τὶς δὲ καὶ πρός τι ὅσα μετὰ ταῦτα λέγεται, ἡ ζωτική, ἡ νοερά, ἡ ψυχική, ἤ εἴ τις θέλοι καὶ ἔνυλον λέγειν οὐσίαν· ζωὴ δὲ ἁπλῶς, ἡ ἐν τῷ διακρίνεσθαι ὁρωμένη.

1.296 Εἰ δὲ τίς ἐστι ζωὴ νοερά, ἢ εἰδητική, ἢ ψυχική, ἢ ἔνυλος, ἑκάστη τούτων πρός τι ἂν εἴη, καὶ τὶς ὁμοίως ἄρα καὶ νοῦς ἁπλῶς ὁ ἐν τῷ διακριθέντι πρώτῳ ὁρώμενος. Ὁ δὲ μετ' αὐτὸν ὃς ἂν εἴη, τίς ἐστι καὶ πρός τι, καὶ ὥσπερ ἡ ἐν τῷ ἀδιακρίτῳ ζωὴ πρός τί ἐστι, καὶ ὡς ἐν ἐκείνῳ, οὕτω καὶ ἡ ἐν τῷ διακρινομένῳ οὐσία, ὡς ἐν τούτῳ ἐστὶ καὶ πρός τι οὐσία. Οὐκ ἄρα πρὸ τοῦ ἑνὸς καὶ τοῦ ὄντος ἐστὶ τὸ ἓν ὂν πρὸ ἀμφοῖν· ἔδει γὰρ καὶ πρὸ ἑκατέρας ζωῆς εἶναι τὴν πρὸ ἀμφοῖν· καὶ ἐπὶ νοῦ ἕτερα τοιαῦτα ἄν τις ἀπορήσειεν. Μήποτε οὖν τὸ τῶν φιλοσόφων πάλιν αὖ ἀληθέστερον, ὡς τὸ νοητόν ἐστιν ἓν προηγούμενον καὶ ὂν ἑπόμενον, συνηνωμένον δὲ τοῦτο ἐκείνῳ, ὡς ὅτι μάλιστα; ἢ ῥητέον ὡς εἰ μὲν ἀδιακρίτως, τὰ αὐτὰ ἡμῖν λέγουσιν· ἐν γὰρ τῇ ζωῇ τὸ διακρίνεσθαι ἄρχεται· εἰ δὲ ὡς τὸ μὲν ὀχοῦν, τὸ δὲ ὀχούμενον, πάντως διακέκριται ἀπ' ἀλλήλων· τοῦτο δὲ νοῦ ἴδιον· καὶ αὐτοὶ ὁμολογοῦσι τὴν εἰς ἑαυτὸν δήπου ἐπιστροφὴν τοῦ νοῦ θαμὰ ἀνυμνοῦντες·

ἡ δὲ ἐπιστροφὴ γίγνεται ἡ εἰς ἑαυτὸν μετὰ τῆς ἀπὸ τῶν ἄλλων διακρίσεώς τε καὶ ἑτερότητος. Εἰ ἄρα νοῦ διοίσει τι ἡ οὐσία, ἀνάγκη αὐτὴν εἶναι καὶ ἀδιάκριτον. Εἰ δὲ αὕτη μὲν ἀδιάκριτος, ὁ δὲ νοῦς διακεκριμένος, ἀνάγκη τὴν ζωὴν εἶναι διακρινόμενον· οὐκ ἄρα δυνατὸν ζωὴν εἶναι πρὸ ἀμφοῖν, ὡς τὴν οὐσίαν· οὐδὲ γὰρ οὐσίαν οἷόν τε εἶναι ἐξ ἀμφοῖν ὡς διακεκριμένων ἢ ὡς διακρινομένων, ὥς τε ἁπλῶς εἰπεῖν καὶ κυρίως. Καὶ μήποτε τὸ μέν ἐστι πρὸ ἀμφοῖν, ὡς οὐδετέρου ἐμφαινομένου καθ’ αὑτὸ οὔτε τοῦ ἑνὸς οὔτε τοῦ ὄντος, τὸ δὲ ἐξ ἀμφοῖν ὡς ἐκ δυεῖν διακεκριμένον καὶ μόνοιν συντεταγμένοιν, τὸ δὲ μετ’ ἀμφοῖν, ὡς ἐν μέσῳ τοῖν δυεῖν τούτοιν, τοῦ τε ἡνῶσθαι καὶ τοῦ διακεκρίσθαι, ἔτι μὲν ἔχον τι τῆς ἀρχαίας ἑνώσεως, ἤδη δὲ ὑποφαῖνόν τι καὶ τῆς διακρίσεως. Καὶ αὕτη ἐστὶν ἡ πρώτη ζωὴ καὶ ἡ ἁπλῶς, ὅτι καὶ ἑτερότης καὶ διάκρισις ἡ πασῶν πρεσβυτάτη. Καὶ μὴν τρία ταῦτα καὶ ἐν τῷ μικτῷ καὶ οὐσιώδει θρυλεῖν εἰώθαμεν, γνῶσιν, ζωήν, οὐσίαν, καὶ νοῦν αὖ καὶ ζωὴν καὶ οὐσίαν.

1.297 Καὶ τὸ ζῷον ὁριζόμενοι, οὐσίαν φαμὲν ζῶσαν καὶ νοοῦσαν, ὡς ἄλλο μὲν οὖσαν τὴν οὐσίαν, ἄλλο δὲ τὴν ζωήν, ἄλλο δὲ τὴν γνῶσιν· καὶ οὐδαμοῦ τὸ ἑνιαῖον ἐνταῦθα, ἀλλὰ καὶ ἐκεῖνο τριχῇ κατὰ ταῦτα διαιροῦμεν, νοῦν ὑπερούσιον καὶ ζωὴν ὁμοίως καὶ οὐσίαν ὀνομάζοντες, ὡς οὖσαν τὴν οὐσίαν ἑκατέρωθι τῷ τε ἑνὶ καὶ τῷ ὄντι. Πῶς οὖν βιαζόμεθα νῦν τῷ λόγῳ τιθέντες οὐσίαν εἶναι μόνην τὴν ἀδιάκριτον ἑνός τε καὶ ὄντος; ἢ πολλαχῶς ἕκαστον τούτων λέγεται, καὶ πανταχοῦ τὴν αὐτὴν ἀναλογίαν σώζει πρὸς ἄλληλα· ἡ μὲν γὰρ ἐσχάτη οὐσία, τὸ ἄψυχον εἶδός ἐστιν ἀκίνητον καθ’ αὑτό· εἰ δὲ καὶ τοῦτο κινοῖτο φυσικῶς, ζωή τις αὐτῷ γίγνεται καὶ αὐτὴ ἡ φύσις, οὐκ ἐῶσα αὐτὸ μένειν ἀδιάκριτον, ἐφ’ ἑαυτοῦ κατεψυγμένον, ἀλλ’ ἐκθερμαίνει τὴν οὐσίαν εἰς ἐνέργειαν τὴν αὐτῆς ἑαυτήν, καὶ ζέουσαν αὐτὴν οὐσίαν παρεχομένη, προστεθεῖσα δὲ ἡ τελειωτέρα ζωὴ φυτὸν ἐποίησε, καὶ ἐπὶ ταύτῃ ζῷον ἡ αἴσθησις ἤδη διακρίνασα καὶ διαρθρώσασα τὴν ζωὴν εἰς οἰκεῖον ὅρον, ὥστε ἀπὸ τῶν ἄλλων ὡς μάλιστα χαρίζεσθαι τῇ πρὸς τὸ ἴδιον λύπῃ καὶ ἡδονῇ κρινόμενον. Ἄλλη δὲ οὐσία καὶ ζωὴ καὶ γνῶσις ἡ αὐτοκίνητος, εἰδητική τις καὶ αὕτη καὶ οὐκ ἄλλο τι ἢ εἶδος, ἐν ᾧ τὸ μὲν εἶναι, τὸ δὲ ζῆν, τὸ δὲ γιγνώσκειν διακέκριται ἀπ’ ἀλλήλων, εἰ καὶ συγκέκραται ἄλλως. Ἀλλ’ ὅσον μὲν ἐν τῇ ψυχῇ γνωστικὸν διακεκριμένον ἐστὶ καὶ διακριτικὸν τῶν γνωστῶν κατὰ ὅρους οἰκείους, ὅσον δὲ ζωτικὸν συμφύεται πρὸς ἕνωσιν ἀπὸ τῆς διακρίσεως, καὶ ἔστι ῥοή τις ἀεὶ πρὸς ἑαυτὴν συνεχής· διὸ καὶ τοῖς σώμασι παρέχεται συνοχήν τινα διαστηματικὴν ἀμωσγέπως. Ἔστι δὲ πρὸ τούτων ἡ ἀκίνητος οὐσία τοῦ νοῦ, καὶ ζωὴ ὁμοία καὶ γνῶσις ὡσαύτως ἔχουσα, εἰδητικὰ πάντα καὶ ταῦτα· διακέκριται γὰρ ἀπ’ ἀλλήλων· ἀλλὰ τῇ μὲν γνωστικῇ φύσει τοῦτο κατὰ φύσιν· διὸ πρώτη αὕτη γνῶσις καὶ ἡ ἁπλῶς, ἅτε νοῦν εἰδοποιοῦσα καὶ εἰδοποιουμένη κατὰ τὸ διακεκριμένον· ἡ δὲ ζωὴ ἐν τῷ νῷ οὐχ ἁπλῶς, ὅτι εἶδός ἐστι ζωτικόν, ἀλλ’ οὐχὶ ζωὴ ἁπλῶς ἡ πρώτη· οὐδὲ ἄρα οὐσία πολλῷ μειζόνως, ἀλλ’ οἷον οὐσία καὶ οἷον ζωή, πάντα δὲ νοῦς, καὶ νοῦ πάντα, πρὸ δὲ τοῦ νοῦ ἡ ὡς ἀληθῶς ἐστι ζωή, μόνον οὖσα ζωὴ καὶ οὐ πρὸς τοῦτο καὶ εἶδος, οὐδὲ περιγεγραμμένη κατὰ τὴν εἰς ἑαυτὴν ἐπιστροφήν, ἀλλὰ ἀναχεομένη κρειττόνως ἢ κατὰ ἐπιστροφήν· καὶ ταύτης δὲ ἔτι πρεσβυτέρα ἡ οὐσία, οὐδὲ χύσεώς τινος ἀνασχομένη, οὐδὲ τῆς ἄνω ἢ κάτω ῥοῆς, ἀλλὰ βεβαιότατα δὴ συμπαγεῖσα παντελῶς ἐν τῷ ἀδιακρίτῳ καὶ οὐδὲ πρὸς ζωὴν οὐδὲ πρὸς νοῦν διακριθεῖσα, οὐδὲ πρὸς ἄλλο τι τῶν ἀπ’ αὐτῆς προελθόντων· οὐδὲ γὰρ ἡ ζωὴ διακέκριται ἀπὸ τῶν μετ’ αὐτήν, ἀλλ’ οὕτως ἔχει καὶ πρὸς ταῦτα ἑκάτερα, ὡς τὴν μὲν ζωὴν διακρίνεσθαι μόνον, τὴν δὲ οὐσίαν ἐν τῷ ἀδιακρίτῳ μένουσαν αὐτῷ τούτῳ μόνῳ τῶν μενόντων διενεγκεῖν.

1.298 Ταῦτα μὲν οὖν διώρισταί που καὶ πρότερον. Τὰ δὲ νῦν πρὸς τὴν ἀπορίαν, ὅταν οὐσίαν καὶ ζωὴν καὶ νοῦν ἢ γνῶσιν θεωρῶμεν, ἀντιδιῃρημένα πρὸς ἄλληλα τὰ εἰδητικὰ αὐτῶν ὁρῶμεν ἰδιώματα, καὶ ὡς εἴδη τρία λαμβάνομεν, ὅμοιον εἰ καὶ τὸ ἓν λάβοι τις τὸ εἰδητικὸν ἢ τὸ ὄν, ἢ τὸ πέρας ἢ τὸ ἄπειρον, οὐ τὰς πρώτας ἀρχάς, ἀλλὰ μέρη ἄττα διειλημμένα, ταῖς ἀρχαῖς ὁμώνυμα, ἀφ’ ὧν καὶ τὰς ἀρχὰς ὀνομάζομεν φύσει οὔσας ἀνωνύμους· οὕτω γοῦν, οἶμαι, καὶ οὐσίαν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζωὴν καὶ γνῶσιν ἐννοούμενοι πάσας εἰδητικὰς καὶ διὰ τοῦτο ὀνομάζεσθαι πεφυκυίας ἢ ὁρίζεσθαι. Ἴσως δὲ οὐδὲ τὰς ἀκινήτους, ἀλλά τινας αὐτοκινήτους ἢ τυχὸν ἴσως ἑτεροκινήτους καὶ δοξαστὰς οἰόμεθα δεῖν κατὰ ταύτας ἐννοεῖν τε καὶ ὁρίζεσθαι καὶ ἐκείνας, ἀλλ' οὐ μόνον ὀνομάζειν ὁμωνύμως ἐκείνας καὶ παρενδείκνυσθαι κατὰ ἀναλογίαν μᾶλλον ἀπὸ τῶν εἰδητικῶν τὰς ὑπερειδέους. Ὅπερ τοίνυν ἡ οὐσία αὕτη πρὸς τὴν ζωὴν ταύτην, καὶ ἡ ζωὴ πρὸς τὴν γνῶσιν, τοῦτό ἐστιν ἐν ταῖς πρώταις ὑποστάσεσιν τὸ πάντη εἰς διάκρισιν ἀκίνητον πρὸς τὸ κινούμενον εἰς αὐτήν, καὶ τοῦτο πρὸς τὸ κεκινημένον. Ἔστι δὲ τὸ μὲν κεκινημένον εἰς διάκρισιν ὁ ἁπλῶς νοῦς, τὸ δὲ κινούμενον ἡ ἁπλῶς ζωή, τὸ δὲ ἀκίνητον εἰς ταύτην ἡ ἁπλῶς οὐσία· καὶ ὁ μὲν ἁπλῶς νοῦς καὶ τὸ ἁπλῶς εἶδος ταὐτόν, ἡ δὲ ἁπλῶς ζωὴ καὶ ἡ εἰδητικὴ οὐ ταὐτόν· ὑπερείδεος γὰρ ἡ ἁπλῶς ζωή, ἡ δὲ οὐσία ἁπλῶς ὑπὲρ τὴν εἰδητικὴν οὐσίαν καὶ ὑπὲρ τὴν ζωτικήν· διόπερ ἁπλῶς· ὥστε ἀπὸ τῶν νῦν διῃρημένων ἔχομεν ἀληθέστερον διορίζεσθαι τὴν ἁπλῶς ἑκάστην, καὶ τὴν τινὰ μετὰ τὴν ἁπλῶς. Μηδεὶς οὖν ἀξιούτω κατὰ τὰς τινὰς καὶ τῇ ἀναλογίᾳ χαρακτηριζομένας εἶναι τὰς ἁπλῶς καὶ τῇ ἑαυτῶν ἀληθείᾳ συνούσας, μηδὲ ἀπὸ τῶν προχειροτέρων ἐννοιῶν ἀναγέσθω πρὸς τὸν ὑπερφυέστερον τρόπον πάσης συνηθείας, ἀλλ' οὐσίαν ἀκουέτω λεγόντων ἡμῶν καὶ ζωήν, καὶ μέντοι καὶ νοῦν τὸν ὡς ἀληθῶς κατὰ ἔνδειξιν ἀπὸ τῶν συνηθῶν τῆς ἐν ἀβάτοις μενούσης καὶ πόρρωθεν ἡμῖν ὑπονοουμένης φύσεως· ἀληθὲς δὲ ὅμως καὶ εἰς ἄκρον ἧκον θεωρίας καὶ τὰ τρία ἐν ἑκάστῳ ὁρᾶν, διὰ τὸ πάντα ἕκαστον εἶναι, διπλασιάζοντας εἰς τὸ ἄνω τὴν ἀναλογίαν, καὶ τοῖς ἐνδεδειγμένοις πρότερον χρωμένους εἰς ἄλλων ἔνδειξιν ἀκριβεστέρων.

1.299 Ἀλλὰ πρὸς μὲν τὴν τελευταίαν τῶν ἀποριῶν καὶ ταῦτα ἴσως ἱκανά, καὶ μετὰ ταῦτα, ἐὰν δέῃ, πάλιν ἐροῦμέν τι πρὸς αὐτήν· δεήσει δὲ πάντως, ὅταν ζητῶμεν τὸ αὐτόζωον ὅπου ἀποθετέον, ὑπονοεῖν δὲ ἔξεστιν καὶ ἀπὸ τῶν προκειμένων ὅτι διακορὲς ὂν τῆς ζωῆς καὶ δευτέραν μετ' αὐτὴν ἔχον τάξιν, ἀνάλογον ἐκείνη ταχθήσεται πανταχοῦ, ὡς μέντοι τὸ πρῶτον παράδειγμα. Φέρε δὲ νῦν καὶ τὰς ἄλλας, εἴ τι λέγουσιν ὑγιὲς ἢ σαθρόν, ἀνασκεψώμεθα. Αὐτίκα ἀριθμὸν οὐ φήσομεν εἶναι ἐν τῷ νοητῷ, οὐδὲ ἐξ ὁμοειδῶν, οὐδὲ ἐξ ἀνομοειδῶν· οὐδὲ γὰρ ὅλως ἡ τοῦ διωρισμένου φύσις ἐστὶν ἐκεῖ· οὐδὲ γὰρ ἡ τοῦ συνεχοῦς, οὐδὲ διαφορά τις, οὐδὲ ἑτερότης, οὐδὲ διάκρισις ἔν γε τῷ ἁπλῶς ἡνωμένῳ. Τίς οὖν ἡ ὑμνουμένη ἐννεὰς ἐν τῷ νοητῷ; ἢ μόνον τελειότητα σημαίνει παντελῆ τῆς ἐκεῖ τριάδος, ἣν οὐ δυνάμενοι συναιρεῖν τῷ λογισμῷ τριχῇ τὴν τριάδα διίσταμεν, τὸ πανταχῇ τέλειον αὐτῆς, καὶ τὸ πάντων περιεκτικὸν καὶ παντὸς πλήθους ἐξηγούμενον, καὶ πάσης τριάδος τῆς ὅπου ποτὲ καὶ ὅπως ὑφεστώσης γεννητικόν, καὶ τὸ πάσης προόδου τῆς ἐπ' ἔσχατον ἡγεμονοῦν, καὶ τὸ ἀκράτητον τῆς γονίμου δυνάμεως, καὶ πάντα μᾶλλον ὅσα τοιαῦτα· μᾶλλον δὲ τὸ ἡνωμένον τῶν τοιούτων ἁπάντων νοημάτων ἓν μετανόημα, καὶ τοῦτο κατὰ μόνην ἔνδειξιν βουλόμενοι περὶ τῆς τριάδος ἐκείνης ἐννοεῖν. Τίς οὖν αὕτη ἡ τριάς; οὐ τρεῖς μονάδες, ὥς φησιν καὶ ὁ Ἰάμβλιχο ς , ἀλλὰ μόνον τὸ εἶδος ἄϋλον ἄνευ τῶν μονάδων ὁρώμενον· οὐ μέντοι οὐδὲ τὸ εἶδος (τίς γὰρ ἂν εἴη περιγραφὴ ἐν τῷ ἡνωμένῳ;) ἀλλὰ τὸ ἓν αὐτό, ὅπερ ἄνθος ἐστὶ τοῦ εἴδους· ἀλλὰ γὰρ οὐδὲ τοῦτο τὸ ἕν, ὃ πέφυκεν ἐπανθεῖν ἑνὶ τῶν εἰδῶν, οἷον τῇ τριάδι, οὐδέ γε ὃ πᾶσιν ὁμοῦ τοῖς εἴδεσι· τοῦ γὰρ διακεκριμένου ἑνὸς τοῦτό ἐστιν, ὥστε οὐδὲ ὃ τοῦ διακρινομένου ἐστὶν εἴη ἂν τῆς ἀδιακρίτου τριάδος τὸ ἕν.

1.300 Ἀλλὰ σημαίνει πάλιν ἡ τριὰς τοῦ ἡνωμένου τὴν ἀρχὴν καὶ τὸ μέσον καὶ τὴν τελευτήν, ἀλλ' ἡνωμένα καὶ ταῦτα. Ἔτι δὲ τὸ μὲν ἓν ἁπλῶς οὐκ ἦν ἀριθμητικόν, ἀλλ' ἐδήλου τὴν μίαν ἁπλότητα πάντων· καὶ ἡ δυὰς μετὰ τὸ ἓν ἡ ἀόριστος λεγομένη οὐκ ἦν ἐπὶ δυοῖν, μονάδων δυάς, ἀλλ' ἡ πάντων γεννητικὴ τοῦ ἑνὸς αἰτία δι' αὐτῆς ἐδηλοῦτο, καὶ ἦν κατὰ ἄμφω πατὴρ πάντα γεννᾶν δυνάμενος, καὶ δὴ ἐκ τρίτων τὸ ἡνωμένον οἷον ἀπὸ δυνάμεως ἐνέργεια προελθοῦσα· καὶ ἀπὸ μονάδος ἄρα τοιαύτης καὶ δυάδος τοιαύτης ὑπέστη τριὰς κατὰ φύσιν ἔχουσα τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡνωμένον, δυάς γε οὖσα πρὸς τὸ ἓν ἐπεστραμμένη, καὶ διὰ τοῦτο νοῦς πατρικός. Ἀλλὰ ταῦτα λέγοντες τρία ποιοῦμεν; ἢ ὁ πατήρ ἐστι, δυνάμενός τε καὶ γεννῶν ἅπαντα μεθ’ ἑαυτόν, αὐτὴ ὅλη τριάς· μονὰς ἄρα ἡ τριάς, καὶ μονὰς οὐκ ἀριθμοῦ ἀρχή, ἀλλ’ αἰτία μονάδος τε καὶ ἀριθμοῦ παντός, οὐδὲ ἐν περιγραφῇ τινι οἷον εἶδος μεμονωμένον, ἀλλὰ μονοειδὴς τῶν πάντων ἁπλότης. Ταὐτὸν οὖν τὰ τρία ἢ ἕτερα; καὶ τριὰς ἡ μονάς; ἢ οὐδὲν τούτων κατά γε ἀλήθειαν· οὐδὲν γάρ ἐστιν ἐκεῖ τῶν τοιούτων, οὐ ταυτότης, οὐχ ἑτερότης, οὐ τριάς, οὐ μονὰς ἡ πρὸς τριάδα ἀντικειμένη· οὐδεμία γὰρ ἀντίθεσις ἐν τῷ νοητῷ. Ἆρα οὖν τὸ ἡνωμένον, ὅπερ τὸ ἕν; ἢ τὸ ἕν, ὅπερ τὰ πολλά; ἢ τὰ πολλά, ὅπερ τὸ ἡνωμένον; οὐ δῆτα φήσω. Πῶς οὖν οὐ τρία τὰ πάντα; ὅτι οὐδὲν ἧττον· καὶ ἓν γὰρ πολλά, καὶ πολλὰ πάντα, οὐδὲν ἄλλο καὶ ἄλλο λέγομεν. Τὸ γὰρ ἓν οὐκ ἰδιότης μία, ἀλλὰ τοιοῦτον οἷον πάντα, καὶ τὰ πάντα οὐ πάντα οὕτως, ἀλλ’ ὡς ἕν, καὶ τὰ πολλὰ οὕτως, ὅτι καὶ τὸ ἓν οὐχ ἕν, καὶ τὰ πάντα πολλά ἐστιν ὡρισμένα.

1.301 Καὶ γὰρ εἰ πρότερον τὰ πάντα τὴν δευτέραν ἐλέγομεν σημαίνειν ἀρχὴν τὰ πάντα οὖσαν τοῦ ἑνός, ἀλλὰ νῦν μικρὸν μεταθέντες ἄμεινον ἐροῦμεν οὐ ταὐτὸν εἶναι πάντα καὶ πολλά, ἀλλὰ τὰ πολλὰ προσλαβόντα ὅρον πάντα ἐγένετο· τὰ πολλὰ γὰρ ἔτι ᾗ πολλὰ ἄπειρά ἐστιν. Οὐκοῦν ἓν μὲν ὁ πατήρ, πολλὰ δὲ ἡ τοῦ ἑνὸς ἀόριστος δύναμις, πάντα δὲ ὁ νοῦς τοῦ πατρός. Ἔτι πάντα ἦν τὰ πολλὰ ἑνὶ ὡρισμένα κατ’ ἐπιστροφήν· καὶ ὁρᾷς ὅτι τὰ πολλὰ φύσει μεταξὺ τοῦ ἑνὸς καὶ τῶν πάντων· καὶ τὸ μὲν ἓν ἁπλότης μόνον, τὰ πάντα ὁμοῦ πάντων ἕνωσις· κατὰ τὸ ἡνωμένον ἄρα συνέστη ὁ νοῦς· καὶ ὡς ἐν τῷ νοερῷ κατὰ εἶδος ἅπαντα περιγέγραπται, οὕτως ἐν τῷ ἡνωμένῳ καθ’ ἓν πάντα συνήρηται ἀπεριγράφως. Μονὰς οὖν ἡ φύσις αὕτη, ἁπλῆ οὖσα καὶ πολλά· παμπόλλων γὰρ καὶ ἀπείρων ἡ ἁπλότης περιεκτική, καὶ ἔτι μέντοι πάντα, ὅτι τὰ πολλὰ αὐτῆς ὥρισται τῷ ἑνί, ἐπειδὴ καὶ ἦν τοῦ ἑνός. Ἆρα οὖν μονὰς μὲν τῷ ὑποκειμένῳ, τρία δὲ ἔχουσα ἰδιώματα; ἡμεῖς δὲ διορίζομεν οὐ δυνάμενοι συνελεῖν ἓν πρᾶγμα τῶν τριῶν συναιρετικόν· οὕτω γὰρ καὶ τὰ ἄλλα βουλόμενοι ὁρίζεσθαι πολλὰ λέγομεν ἀνθ’ ἑνός, ἀντὶ τοῦ στοιχειωτοῦ τὰ στοιχεῖα περιτρέχοντες. Ὡς δὲ ἐπ’ ἐκείνων τὸ πρὸ τῶν στοιχείων ἢ τοῖς στοιχείοις ἐπιγιγνόμενον εἶδος ἀξιοῦμεν θεωρεῖν, ἀναγομένους ἐπ’ αὐτὸ ἀπὸ τῶν στοιχείων, οὕτω καὶ ἐνταῦθα πολλῷ μειζόνως ἀφετέον τὰ διωρισμένα ἰδιώματα, καὶ ἀνακτέον ἐπὶ μίαν φύσιν ἁπλῆν, ἀφ’ ἧς ὁ τούτων μερισμὸς κατωτέρω μερίζεται. Τὸ οὖν κοινὸν τῶν τριῶν ὡς τριάδος νοείσθω κατὰ τὸ ἓν τῆς τριάδος, οὐ τῆς ἀριθμητικῆς, ἀλλ’ ἐκείνης ὅλης, ἣν ἀρτίως ὑπεστησάμεθα τῷ λόγῳ τριάδα ἀρχῶν τῶν ὑπερτάτων, ἐπεὶ καὶ ἡ μονὰς οὐκ ἦν ἀριθμητική, ἀλλὰ πάντων μονάς, ἐν ᾗ τὰ πάντα προείληπται, ὥσπερ ἐν τῇ μονάδι πᾶς ἀριθμός· ἁπλῶς δὲ εἰπεῖν, καθάπερ τοῖς εἰδητικοῖς χρώμεθα εἰς ἔνδειξιν τῶν ὑπερειδέων, οὕτω καὶ τοῖς ἀριθμητικοῖς ἰδιώμασιν ὡς συμβόλοις τῶν ἀναρίθμων καὶ παντάπασιν ἀδιορίστων, ἐπεὶ καὶ ἄλλην πρὸς ἔμφασιν ὧν λέγειν βουλόμεθα. Καὶ εἰ μὴ δυνάμεθα λέγειν, ἐκείνην παραληπτέον, ὡς τὸ ἓν μέν ἐστι κέντρον ἁπάντων, ἡ δὲ ἀπὸ τοῦ κέντρου διάστασις ἡ δευτέρα ἀρχή, ῥύσις οὖσα τοῦ κέντρου, τὸ δὲ πέριξ καὶ ἡ ἐσχάτη περιφέρεια μετὰ τὴν διάστασιν ἐπιστροφή τις οὖσα πρὸς τὸ κέντρον, ὁ νοῦς ὁ πατρικός, κύκλος δὲ τὸ σύμπαν εἷς, ἢ σφαῖραν εἰπεῖν προσφυέστερον.

1.302 Καὶ δῆλον ὅτι οὐκ εἶδος, ἀλλὰ παντὸς εἴδους ἑνοειδεστέρα φύσις. Καὶ τί πλέον εἴποι ἄν τις αὐτοῦ τοῦ ἑνός; τοῦτο γὰρ εἰδοποιεῖ τὸν ἄϋλον κύκλον ἐκεῖνον· ὅλως δὲ φάναι, μὴ ἐπὶ δακτύλων ἀριθμῶμεν τὸ νοητόν, μηδὲ διωρισμέναις ἐννοίαις αὐτοῦ ἁπτώμεθα, ἀλλὰ πάντα συνελόντες ὁμοῦ νοήματα, καὶ μύσαντες, τὸ ἓν καὶ μέγιστον ὄμμα ἀνοίξαντες τῆς ψυχῆς, ᾧ καθορᾶται διακρινόμενον οὐδέν· οὐδὲ γὰρ αὐτὸ τῷ ὄντι τὸ ἕν, μόνον δὲ τὸ ἡνωμένον, οὐδὲ τοῦτο ὅπερ ἀντίκειται τῷ διακρινομένῳ, ἀλλ’ ὃ καὶ τοῦτο συνήρηκεν· τοιούτῳ οὖν ὄμματι ἐκεῖσε βλέποντες εἰ καὶ πόρρωθεν καὶ οἷον ἀπὸ τῶν ἐσχάτων ὅμως ὀψώμεθα τὸ νοητόν, ὅ τι δή ἐστι πάντῃ ἀδιάκριτον καὶ πάντῃ ἀνάριθμον, πλὴν ὅτι καί, οὕτως ἔχοντος, ἐν ἡμῖν φαντασθήσεται, εἰ χρὴ οὕτω φάναι, τὸ μὲν ἁπλότης αὐτοῦ, τὸ δὲ πολλότης, τὸ δὲ παντότης· ἓν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ πολλὰ πάντα τὸ νοητόν ἐστιν, ὡς τριχῇ διεξοδεῦσαι τὴν μίαν φύσιν. Καὶ πῶς μία φύσις τὸ ἓν καὶ τὰ πολλά; ὅτι τὸ πολλὰ τὸ ἀπειροδύναμόν ἐστι τοῦ ἑνός. Πῶς δὲ ἓν καὶ πάντα; ὅτι τὰ πάντα ἐνέργεια παντοῦχός ἐστι τοῦ ἑνός. Οὐ μὴν οὐδὲ ἐνέργειαν ῥητέον ὡς ἐκτένειαν τῆς δυνάμεως εἰς τὸ ἐκτός, οὐδὲ δύναμιν ὡς ἐκτένειαν τῆς ὑπάρξεως εἴσω μένουσαν, ἀλλὰ πάλιν ὡς τρία εἰπεῖν ἀνθ' ἑνός. Ἓν γὰρ οὐδὲν ὄνομα ἀρέσκει πρὸς τὴν ἐκείνων δήλωσιν, ὡς διεμαρτυρούμεθα πολλάκις. Ἆρα οὖν ἀδιάφορα; ποῦ δὲ τοῦτο, ῥᾴδιον ὑπονοεῖν· τρεῖς γὰρ καὶ ἑξῆς ἀλλήλαις εἶναι λέγομεν τὰς ἀρχάς, πατέρα καὶ δύναμιν καὶ νοῦν πατρικόν· ἀλλ' αὗται μὲν οὐκ εἰσὶ κατ' ἀλήθειαν, οὔτε μία, οὔτε τρεῖς, οὔτε μία ἅμα καὶ τρεῖς, ὑφ' ἡμῶν δὲ ἀνάγκη δηλοῦσθαι αὐτὰς διὰ τῶν τοιούτων ὀνομάτων καὶ νοημάτων, πενίᾳ τῶν ἐκείναις προσηκόντων, μᾶλλον δὲ προθυμίᾳ τῶν οὐδὲν προσηκόντων αὐταῖς δηλωμάτων. Ὥσπερ γὰρ ἓν καλοῦμεν καὶ πολλὰ καὶ πάντα, καὶ πατέρα καὶ δύναμιν καὶ νοῦν πατρικόν, καὶ αὖ πέρας καὶ ἄπειρον καὶ μικτόν, οὕτω δὴ καὶ μονάδα καὶ δυάδα ἀόριστον καὶ τριάδα, καὶ πατρίδα ἐξ ἀμφοῖν τούτοιν συνεστῶσαν.

1.303 Καὶ ὡς ἐκεῖνα, οὕτω καὶ ταῦτα, διακαθαίροντες ἡμῶν τὰς ἐννοίας, εἰς ὅσον δυνατόν, ἀποδοκιμάζομεν ἁρμόττειν ἐκείνοις τοῖς πράγμασιν. Λεγέσθω τοίνυν, ᾗ δυνατόν, ἡ νοητὴ τριάς, οὕτω τριάς, ὡς τὸ ἓν τῆς τριάδος, καὶ τριάδος ἐκείνης τῆς ἐκ τῶν πρώτων τριῶν ἀρχῶν συνεστάναι δοκούσης. Περὶ μὲν δὲ τῆς ἑνώσεως ἐκείνης οὐκ ἂν φθάνωμέν τι πλησίον λέγοντες. Περὶ δὲ τάξεως τῶν τριῶν τριάδων, εἴ τις τὴν εἰρημένην ταύτην τριάδα στήσας κατὰ τὸ ἓν τῆς νοητῆς ὡς ἂν γένοιτο τριάδος, ἴδοι καὶ τὸ ἓν τοῦτο παντελὲς ὄν, καὶ πάντη ἑαυτοῦ τριαδικὸν ὑφεστώς, ὡς καὶ ἐν ἑκάστῃ τῶν τριῶν μονάδων ἐνόντος τοῦ τριαδικοῦ. Καὶ γὰρ ἐν τοῖς ἀριθμοῖς αἱ ἑκάστου μονάδες οὐκ εἰσὶν ἀδιάφοροι πρὸς τὰς τῶν ἄλλων, ἀλλ' αἱ μὲν τῆς τριάδος τριαδικαί πως, αἱ δὲ τῆς τετράδος τετραδικαί. Εἴ τις, ὅπερ ἔφην, καὶ τῆς παμμεγέθους ἐκείνης τριάδος τοιαύτας ὑπολάβοι τὰς μονάδας, ὡς εἶναι καὶ ταύτας οὐχ ἁπλῶς μονάδας, ἀλλὰ τριάδος μονάδας ἰδιοτρόπους, τάχα ἂν ἐν τῷ ἑνὶ τῷ τῆς τριάδος ἐκείνης περιλάβοι καὶ τὴν ὅλην τοῦ νοητοῦ πρόοδον εἰς τριάδας τρεῖς, οὐδὲ οὕτως ἀφισταμένην τῆς οἰκείας ἑνώσεως. Καίτοι οὕτω γε οὔτε τὸ ἡνωμένον ἔσται πρὸ τοῦ ἑνὸς τοῦ δευτέρου τὸ πρότερον, ὥσπερ ἐδόκει ἀπορεῖν ὁ λόγος· ἕξει γὰρ ἑκάστη μονὰς ἐν τῇ ἑαυτῆς τάξει τὸ τριαδικόν, ἐφ' ἑαυτῆς οὖσα· φανεῖται γὰρ τὸ ἓν πρὸ τῶν ἄλλων τριαδικόν, καὶ τὰ πολλὰ δεύτερον, καὶ τρίτον ἐπὶ τούτοις τὸ ἡνωμένον· καὶ ὅλος μὲν ὁ πατὴρ ὅλῳ τῷ νῷ συνταχθήσεται διὰ μέσης ὅλης τῆς δυνάμεως, ὁ εἷς διὰ μιᾶς τῷ ἑνί, πάλιν δὲ ὁ τριπλοῦς τῷ τριπλῷ διὰ τῆς τριπλῆς. Οὐδὲ δὴ τὸ ἡνωμένον διασπασθήσεται ἀφ' ἑαυτοῦ εἰς τρεῖς μονάδας· μένει γὰρ ἡνωμένον ὡσαύτως, καὶ εἰ προφήνειεν ἐν ἑαυτῷ τὸ τριαδικὸν ἡνωμένον, πολλῷ μειζόνως τὸ ἓν μείνειεν τριοῦχον, καὶ ἡ δύναμις ὁμοίως, εἰ καὶ τριφυὴς ἐκφανείη. Καὶ πῶς τὸ ἓν ἔσται τριπλοῦν; ἢ ὅτι ἓν ὄν, ὅμως ἀρκεῖ πρὸς τὸ τριπλοῦν τοῦ ἡνωμένου· τοῦτο μὲν γὰρ ἔστω τριπλοῦν ἡνωμένην, ὡς εἴρηται, τινὰ τριπλόην· τὸ δὲ ἓν ἐπιστρέφει πρὸς ἑαυτὸ τήνδε τὴν τριπλόην, ὥστε τὸ ἓν κατὰ τὸ ἓν ἔχει τὸ τριπλοῦν ἐμφαινόμενον. Καὶ δὴ καὶ ἡ δύναμις, ἅτε δυὰς οὖσα τῷ μὲν ἑνὶ συμφερομένη, ἑνοειδὴς γίγνεται, τῷ δὲ ἡνωμένῳ, τριπλῆ συμφαντάζεται. Δυὰς ἄρα ἐστὶν ἐν μέσῳ τοῦ ἑνὸς καὶ τῆς τριάδος· τὸ γάρ τοι ἡνωμένον ὡς τρίτον κατὰ φύσιν ἐστὶ τριάς, τὰ δὲ πρὸ αὐτοῦ ὑπερφυέστερον τρόπον.

1.304 Οὐκ ἄρα θαυμαστὸν οὐδὲ χαλεπὸν ἐννοῆσαι τὸ ἓν οὕτω γε τριαδιζόμενον, οὐχ ὅτι ἀριθμεῖται οὐδὲ διορίζεται, ἀλλ' ὅτι προείληφεν ἐν ἑαυτῷ τὴν τοῦ ἡνωμένου τριπλόην, καὶ ὅτι ἕν ἐστιν ὡς ἐν τριάδι τῇ ὅλῃ τριαδικόν, ἢ ὅπερ ἄν τις ἔχοι τοιοῦτον ἐννοεῖν, ἐννοείτω μᾶλλον ἢ διάκρισιν τοῦ ἑνός, εἰ μὴ ἄρα καὶ ὑπόβασίν τινα ἀπ' αὐτοῦ συμμετρώτερον ὑποθέσθαι, ὡς εἶναι καὶ ἕνα πατέρα καὶ τρεῖς, τὸν αὐτὸν ἕνα καὶ τρίμορφον, μᾶλλον δὲ ἕνα μέν, ὑποφαίνοντα δέ τι καὶ τριαδικόν, λέγω δὲ οὐ τὸ τριχῇ μεριζόμενον, ἀλλὰ τὸ ἀμέριστον ἓν τῆς τριάδος. Ἀλλ' εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τριαδικὸν τὸ ἕν, πῶς ἁπλῶς ἕν; ἠπόρει γὰρ καὶ τοῦτο πρότερον δικαίως ὁ λόγος· ἢ τὸ ἓν ἁπλῶς ὑποθέμενοι καὶ τὰ πολλὰ ἁπλῶς καὶ τὰ πάντα ἁπλῶς κατὰ τὸ ἡνωμένον, ἐκ τούτων δὴ τῶν ἁπλῶς μονάδων ἐποιοῦμεν, ὡς ἐδοκοῦμεν, τριάδα τὴν ἁπλῶς, ὥστε καὶ τὸ τριαδικὸν τοῦ ἑνὸς ἁπλῶς ἐστι, καθ᾽ ὅσον τὸ ἁπλῶς ἓν τὴν ὅλην τριάδα ἐκείνην προείληφε καὶ οἷον ἐτέλεσεν εἰς αὐτὴν καὶ συνηριθμήθη ταῖς ἄλλαις ἁπλῶς ἀρχαῖς, ὡς πρώτη ἀρχὴ δευτέρας καὶ τρίτης ἐξηγουμένη. Ἔστω γὰρ τὸ ἁπλῶς ἓν τῷ ὄντι τὸ ἀνάριθμον, καὶ εἰ χρὴ φάναι σαφέστερον, ἀτρίαστον καὶ ἀμονάδιστον· οὐδὲ γὰρ μοναδικόν ἐστιν, ὅτε γε μηδὲ ἓν κατὰ ἀλήθειαν, κατὰ δὲ ἔνδειξιν λέγεται μόνην· τοιοῦτον δὲ καὶ τὸ ἁπλῶς ἡνωμένον, ἀλλὰ καὶ ἐν μέσῳ τὰ πολλὰ τούτων ἐστὶ τὸν ἁπλῶς λεγόμενον τρόπον ἄνευ παντὸς διορισμοῦ καὶ πάσης προσθήκης. Τρία μὲν οὖν οὐκέτι κλητέον αὐτά, παθόντα αὐτοῖς τὸ εἶναι τρισίν, οὐδενὸς ἄλλου πεφηνότος ἐκεῖ. Πλὴν ἡμεῖς γε ἀνθρωπίνως διαλεγόμενοι περὶ τῶν ὑπερθειοτάτων ἀρχῶν οὐκ ἔχομεν ἄλλως οὔτε ἐννοεῖν οὔτε ὀνομάζειν ἢ οὕτως ὡς ἀναγκαζόμεθα χρῆσθαι τοῖς λόγοις ὑπὲρ τῶν εἰς τὰ ἐπέκεινα ἀνεχόντων τοῦ παντὸς καὶ ζωῆς καὶ οὐσίας πραγμάτων, ἐπεὶ καὶ οἱ θεοὶ οὐχ οἷα νοοῦσιν, οὐδὲ ὡς, οὕτω καὶ τοιαῦτα περὶ τούτων, ἢ καὶ περὶ ἄλλων διδάσκουσιν ἡμᾶς ἐνίοτε καὶ ἐνίους, ἀλλ᾽ ὥσπερ Αἰγυπτίοις ἢ Σύροις ἢ Ἕλλησι διαλέγονται χρώμενοι τῇ οἰκείᾳ ἐκείνων φωνῇ, ἢ μάτην ἂν ἐφθέγγοντο πρὸς αὐτούς, οὕτω καὶ ἀνθρώποις τὰ οἰκεῖα παραδοῦναι ἐσπουδακότες, ἀνθρωπίνῃ διαλέκτῳ χρήσονται δικαίως.

1.305 Αὕτη δὲ σύγκειται οὐ μόνον ἐκ τοιῶνδε ῥημάτων καὶ ὀνομάτων, ἀλλὰ καὶ ἐκ νοημάτων τούτοις ἀναλογούντων καὶ προσαρμοττόντων. Εἰ τοίνυν καὶ παραλλάττομεν τῆς ἀληθείας ἐκείνης διερευνώμενοι τὸν νοητὸν βυθόν, ὅσος καὶ οἷός ἐστι, καὶ παραφερόμεθα πρὸς τὰ κάτω καὶ μεριστά, συνεπισπώμενοι ἢ συγκατασπώμενοι τῇ ἀνάγκῃ τῆς μικροπρεποῦς ἡμῶν οὐδενείας ἀνασχέσθαι, ὅμως δεῖ τῆς παραφορᾶς καὶ τῆς παραλλάξεως· ἄλλως μὲν γὰρ οὐκ ἔστιν, ὡς νῦν ἔχομεν ἔχοντα, ἐννοεῖν περὶ αὐτῶν, ἀγαπητέον δὲ καὶ πόρρωθεν καὶ μόλις καὶ ἀμυδρότατά πῃ παραπτέσθαι ἢ παρυπονοεῖν τι ἴχνος οἷον ἀστράπτον ἐξαίφνης περὶ τοῖς ἡμετέροις ὄμμασιν, κἂν αὐτόθεν ποθὲν ἐγείρηται ἀπὸ τῆς ψυχῆς ἡ ἀστραπή, μικρὰ μὲν οὖσα καὶ οὐ πάνυ λάμπουσα, δεῖγμα δὲ ὅμως ἡμῖν γιγνομένη κατὰ τὸ ἀνάλογον τῆς ὑπερλάμπρου καὶ ὑπερμεγέθους ἐκείνης. Τοσοῦτον δὲ καὶ τοῦδε τοῦ λόγου ἐπαινετέον, ὅτι αὐτὸς ἑαυτὸν ἐκφαυλίζει καὶ ὁμολογεῖ δυσωπεῖσθαι καὶ μὴ δύνασθαι ἀντιβλέπειν πρὸς τὸ φῶς ἐκεῖνο τὸ ἡνωμένον καὶ νοητόν. Οὕτως οὖν τὴν τριάδα λέγομεν ἐκεῖ ὡς πλῆθος ἀδιάκριτον σημαίνουσαν, καὶ τὴν δυάδα αὖ πάλιν ὡς τοῦ πλήθους αἰτίαν ἐκείνου, καὶ τὴν μονάδα πρὸς ταύταις ὡς τὸ ἓν αὐτό, ὃ τοῦδε τοῦ πλήθους ἐστὶν ἐπέκεινα. Καὶ αὕτη ἐστὶν ἡ πολυύμνητος νοητὴ τριάς, ἣν περιφράζειν ἄλλοτε ἄλλως βουλόμενοι λανθάνομεν αὐτούς, ἔτι ποικιλωτέραν αὐτὴν ἐν τοῖς λόγοις παρατιθέμενοι, καὶ μάλιστα ὅταν αὐτὴν ἐννεάδα ποιῶμεν, τὸ παντελὲς καὶ πάντων ἡγεμονοῦν ἀπὸ τῶν πρώτων ἄχρι τῶν ἐσχάτων ἐκλογιζόμενοι, καὶ ἐν τῷ τρίτῳ ὄντι κατὰ φύσιν τριμόρφῳ, καὶ τὰς πρὸ αὐτοῦ ἀρχὰς ὥσπερ ἐν κατόπτρῳ ὁρῶντες τριαδικὰς φανταζομένας καταλαμπούσας αὐτοῦ τὰς τρεῖς πάντη μορφάς, ὥσπερ ἐν τῷ νέφει τρεῖς ἔχοντι διαστάσεις κατοπτρικὰς ἡ μονοειδὴς ἐμφαίνεται τοῦ ἡλίου χρόα κατὰ τὴν ἰνδαλλομένην πολύχρωμον ἶριν. Τοιγαροῦν καὶ Σωκράτης ἐν τῷ Φιλήβῳ πρὸς τὸ ἓν ἐκεῖνο μὴ δυνηθεὶς ἀντωπῆσαι, διὰ τριάδος αὐτὸ παρεδήλωσεν τῆς ἐν προθύροις αὐτοῦ τεταγμένης, ὥς φησι, πάντως ὅτι ἡνωμένῳ κατιδὼν μαρμαίρουσαν τὴν τριάδα κατὰ τὴν μίαν αὐγὴν τῆς ἑνάδος· ὅλως δὲ ὡς τὰ ἄλλα, καὶ τὴν τριάδα κατὰ ἔνδειξιν ἐκεῖ ἀνάγομεν.

1.306 Καὶ ὡς ἡ πρώτη ἀρχὴ μονάς, καὶ ἡ δευτέρα δυὰς ἀόριστος, ἡ δὲ τρίτη τριάς, ὅτι αὕτη μὲν κατὰ ἐπιστροφήν, ἡ δὲ πρὸ αὐτῆς κατὰ μονὴν ἐθεωρεῖτο, οὕτω καὶ ἡ ὅλη ἀπὸ τούτων συγκειμένη τριὰς οὐκ ἐκ μονάδων ἐστίν, ὡς δοκεῖ, τριῶν, ἀλλ᾽ ὅτι μία ἐστὶν ἕνωσις παντελὴς ἡ αὐτὴ μένουσα καὶ προϊοῦσα καὶ ἐπιστρεφομένη, οὐδὲ ταῦτα ὡς τρία ἄττα, ἀλλ᾽ ὡς ἓν πρὸ τῶν τριῶν

ἄχρι τῶν ἐσχάτων ἐκλογιζόμενοι, καὶ ἐν τῷ τρίτῳ ὄντι κατὰ φύσιν τριμόρφῳ, καὶ τὰς πρὸ αὐτοῦ ἀρχὰς τὰ τρία δυνάμενον. Τρεῖς οὖν οἱ πατέρες, ἢ εἷς; ἢ οὔτε τὸ εἷς ὑπὲρ πᾶσαν τριάδα· ὥστε καὶ ὑπὲρ τὸ ἓν ἅπαν ὃ πρὸς ταῦτα ἀντιδιαστελλόμεθα ὡς ἓν πρὸς δύο καὶ τρία· καὶ δύναμις ἄρα οὔτε μία, οὔτε τρεῖς, καὶ νόες οἱ κατὰ τὸ ἡνωμένον ὁμοίως· οὐδὲ γὰρ ἐν τῷ ἡνωμένῳ τὸ ἓν καὶ τὰ δύο καὶ τὰ τρία διώρισται, ἀλλ' ὥσπερ ὑπὲρ πάντα διορισμὸν τὰ ἐκεῖ, οὕτω καὶ ὑπὲρ τὸν πάντων πρεσβύτατον· οὗτος δέ ἐστιν ὅ γε ἑνὸς καὶ δυεῖν καὶ τριῶν. Ἀλλ' εἰ καὶ οὕτως ἔχοι ὥσπερ ἔχει κατὰ ἀλήθειαν ἐκείνη ἡ φύσις, ὅμως ἀνάγωμεν εἰς αὐτὴν σαφηνείας ἕνεκα καὶ συμμετρίας τῆς πρὸς ἀνθρώπους τὰ σεμνότατα τῶν ἀπ' αὐτῆς καὶ μετ' αὐτὴν προελθόντων, οἷον τὸ ἕν, τὰ πολλά, τὸ ἡνωμένον, τἀγαθόν, τὸ πάντων αἴτιον, τὸ πέρας, τὸ ἄπειρον, τὸ μικτόν, ὅσα τε ἄλλα τοιουτότροπα, καὶ δὴ καὶ τοῦ διωρισμένου τὸ παντελὲς καὶ παντελῶς ὑφεστῶτος, ἃ δὴ τριὰς ἔχει καὶ ἡ τῆς τριάδος πρόοδος. Ταῦτα δὲ πάντα κατὰ μὲν ὑπόστασιν μετὰ τὸ νοητὸν ὑφέστηκεν, κατὰ δὲ ἔμφασιν ἢ αἰτίαν ἢ ἀναλογίαν ἐν τῷ ἡνωμένῳ· κατὰ δὲ αὐτὴν ἀπ' αὐτοῦ ἀναγομένην εἰς τὰ πολλὰ ᾗ πολλὰ μόνον, οὐδὲν δὲ ἄλλο, προέμφασιν ἢ προαιτίαν ἢ προαναλογίαν, ὡς εἴ τις ἐν τῷ πλήθει τῷ πρὸ παντὸς ἀριθμοῦ ἐνίδοι τινὰ ἀδιάρθρωτον, μᾶλλον δὲ καὶ ἀδιάκριτον τῶν ἀριθμῶν προϋπόστασιν, ὡς ἐν τῇ ἀνειδέῳ ὕλῃ τὴν τῶν εἰδῶν. Τρίτῳ δὲ εἰς τὸ ἄνω βήματι ἀπὸ τοῦ χάους ἀνιόντων πολλῶν ἐν τῷ αἰθέρι τῆς πάντων ἁπλότητος ὑπονοήσει ταῦτα προειλῆφθαι, καθόσον αὐτῇ σύνεστι καὶ αὐτῆς ἐστιν ἥ τε χαώδης ἀπειρία καὶ ἡνωμένου ἀδιάκριτος σύμπηξις ἁπάντων. Ἀλλ' ἐπειδὴ καὶ ὁπωσοῦν τολμῶμεν τά τε ἀνάριθμα ἀριθμεῖν καὶ τὰ ὑπὲρ πᾶσαν τάξιν ὄντα τάττειν, καὶ τὸν ὑπέρκοσμον τῷ ὄντι βυθὸν ὅμως διακοσμεῖν, φέρε νῦν αὐτὰ ταῦτα λέγωμεν, ὅπῃ καὶ ὅπως ποιητέον.

1.307 Καθάπερ οὖν ὁ νοητὸς κόσμος καὶ νοερὸς ὅ τε ἐπὶ τούτῳ νοερὸς τύχῃ τὴν πρώτην διῃρημένος, ἔπειτα αὐτῶν τριῶν ἕκαστον τμημάτων τριχῇ διελόμενοι κατὰ ἀναλογίαν τῶν μετ' αὐτόν, καὶ ἀπὸ τούτων ἐπ' ἐκεῖνον μετάγοντες τὴν ἔνδειξιν τῆς διακρίσεως, ὅτι ὅσος ἦν ὁ νοερὸς ἐν τῷ διακεκρίσθαι, τοσοῦτος ἐν τῷ διακρίνεσθαι ὁ νοητὸς καὶ νοερός, καὶ ὅσος ἐν τῷ διακρίνεσθαι οὗτος, τοσοῦτος ὁ νοητὸς ἐν τῷ ἀδιακρίτῳ ἑαυτοῦ, καὶ οὐδὲν ἧττον, παμπλήρει καταστήματι. Οὕτω δὲ οὖν, ὅπερ ἔφην, καὶ ἐν ἐκείνῳ τὸ πανταχοῦ τέλειον θεωροῦντες, εἰς πατέρα καὶ δύναμιν καὶ νοῦν διειλόμεθα, καὶ τούτων ἕκαστον τριχῇ πάλιν ἐπιδιείλομεν. Καὶ πῶς; ἆρα γὰρ τὸν μὲν πατέρα εἰς τρεῖς πατέρας, καὶ τὴν δύναμιν εἰς τρεῖς δυνάμεις, καὶ τὸν νοῦν εἰς τρεῖς νόας; ἔπειτα προσηρμόσαμεν καὶ συνετάξαμεν ἕκαστον ἑκάστῳ τῷ οἰκείῳ τὸν οἰκεῖον ὁμοταγῶς; ἢ διερριμμέναι οὕτως ἔσονται αἱ τριάδες, εἰ ἀπὸ τῆς πρώτης καὶ τῆς δευτέρας καὶ τῆς τρίτης ἑκάστη συνεστήξεται, καὶ οὐκ ἔσται πρώτη ὅλη ἡ τριάς, καὶ ὅλη δευτέρα καὶ ὅλη τρίτη· ἕξει γὰρ ἑκάστη ἀνομοταγῆ καὶ ἀνομοειδῆ. Καὶ δὴ καὶ ἐπὶ τῶν μετὰ ταῦτα κόσμων οὐχ οὕτως· πατρικῆς γὰρ οὔσης ἐν τῷ μέσῳ τῆς ἰυγγικῆς ὅλης φύσεως, καὶ δυναμικῆς τῆς συνοχικῆς, καὶ νοερᾶς τῆς τελεταρχικῆς, οὐ συμπληροῦμεν ἑκάστην τριάδα ἐκ τῶν τριῶν, ἀλλ' ἑκάστην φύσιν ἰδίᾳ τριχῇ διαιρούμεθα κατὰ τὸ εἶδος μέντοι τῆς ὅλης διαιρέσεως· καὶ γὰρ τὴν ἰυγγικὴν εἰς πατέρα καὶ δύναμιν καὶ νοῦν, καὶ τὴν συνοχικὴν εἰς τὰ αὐτά, καὶ τὴν τελεταρχικὴν ὁμοίως. Οὕτως ἄρα καὶ τῆς νοητῆς τριάδος ἑκάστην μονάδα τριχῇ διελώμεθα, οἷον τὴν πατρικὴν εἰς πατέρα καὶ δύναμιν καὶ νοῦν· ὁ γὰρ εἷς οὗτος ὅλος πατήρ, ᾗ μὲν καθ' ἑαυτόν, πατὴρ μόνον, ᾗ δὲ συμφέρεται αὐτῷ ἡ δύναμις, καὶ αὐτὸς ἐπικοινωνεῖ ταύτῃ, τρόπον τινὰ γίγνεται δύναμις, ᾗ δὲ τοῦ νοῦ πατὴρ καὶ αὐτοῦ ὁ νοῦς ἐστι, ταύτῃ γίγνεται νοῦς. Οὕτως ἄρα καὶ εἷς ὤν, ὅμως ἐμφαίνει τὴν τριάδα τῆς οἰκείας ἁπλότητος. Ὡσαύτως δὲ καὶ ἡ δύναμις τριὰς καθίσταται καθ' ἑαυτήν τε μένουσα καὶ ἑκατέρῳ συμφερομένη τῶν ἄκρων.

1.308 Καὶ δὴ ἐκ τρίτων καὶ ὁ νοῦς ὁμοίως τριπλασιάζεται, ὅσον μὲν αὐτοῦ εἰς τὸν πατέρα ἐπέστραπται, πατρικὸν γιγνόμενον ἐν τῇ τρίτῃ τριάδι τῇ ἑαυτοῦ, ὅσον δὲ τῇ δυνάμει συμφυόμενον, δύναμις νοερὰ ἀποτελεῖται, ὅσον δὲ ἀφ' ἑαυτοῦ ἀμιγὲς πρὸς τὰ κρείττονα μένει,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοσοῦτον οὐ παραδίδοται τῆς τριάδος. Καὶ οὕτω μὲν ὁμοειδεῖς τε καὶ ὁμοταγεῖς αἱ μονάδες ἑκάστης τριάδος, οὕτω δὲ αἱ τριάδες εἰς μονάδας δύνανται συναιρεῖσθαι, κατὰ τὸ ἓν ἑκάστη ὁρωμένη τῆς τριάδος, ἀλλ' οὐχὶ κατὰ τὸ πλῆθος αὐτῆς. Ἀλλὰ καὶ αὗται αἱ ὅλαι τρεῖς οἷον μονάδες οὐ διεστήξονται ἀπ' ἀλλήλων κατὰ διάκρισιν, ἀλλ' ὑπὲρ πᾶσαν μονάδα πρὸς ἑαυτὴν ἡνωμένην ἐκεῖναι πρὸς ἀλλήλας ἑνωθήσονται, τοῦ ἑνὸς ἁπλῶς τὴν ἑαυτοῦ πρώτην ἑνοποιὸν δύναμιν εἰς τὰς μεθ' ἑαυτοῦ συνεχεῖς αὐτῷ ἀρχὰς ἀπερειδομένου καὶ ἀναρπάζοντος αὐτὰς εἰς τὴν ἑαυτοῦ ἄφραστον ἕνωσιν, ἧς τοσαύτη ἐστὶν ἡ ὑπερβολὴ πρὸς τὴν μονάδος ἕνωσιν, ὥστε καὶ τὸ τρίτον ἀπὸ τοῦ ἑνός, ὅπερ ἐκαλοῦμεν ἡνωμένον, καὶ τοῦτο ὅμως τῇ ἑαυτοῦ φύσει καὶ πρὸ τῆς ἀμηχάνου τοῦ ἑνὸς ἁπλότητος ὑπὲρ μονάδος ἕστηκεν ἀναλογίαν. Ἧι μὲν γὰρ εἶδός ἐστιν· εἰ δὲ μὴ εἶδος, ἀλλά τι διωρισμένον, εἰ δὲ μή, ἀλλὰ διωρισμένης τε συστάσεως ἀρχή, τὸ δὲ ἡνωμένον καὶ ὑπὲρ εἶδος, καὶ ὑπὲρ πάντα διορισμόν, καὶ ὑπὲρ πᾶσαν οὐσίαν τὴν καθ' ἑτερότητα θεωρουμένην, καὶ οὐκ ἀριθμοῦ ἀρχή, ἀλλὰ πάντων ἁπλῶς τῶν μεθ' ἑαυτό, καὶ οὐκ ἔχει πλῆθος ἐν ἑαυτῷ πολλῶν ἀριθμῶν συνεσπειραμένον, ἀλλὰ πάντη ἀνάριθμον τε καὶ ἀδιάκριτον αὐτὸ τοῦτο μόνον ὃ λέγεται ἡνωμένο ν. Οὐκ ἄρα ὡς ἀληθῶς τριὰς οὐδεμία δοκοῦσά ἐστιν· οὐδὲ γὰρ μένει διωρισμένα ἀπ' ἀλλήλων τὰ τρία, τὸ ἡνωμένον, τὰ πολλά, τὸ ἕν, ἀλλὰ τὸ μὲν ἡνωμένον ἀναχεῖται εἰς τὰ πολλὰ κατὰ γοῦν τὴν ἐπικράτειαν τῆς δυνάμεως· ἡ δὲ δύναμις ἅμα, ἐκείνῳ διαχυθέντι εἰς δύναμιν, εἰς τὸ ἓν ἀναπλοῦται, ἀφεῖσα τὴν ἑαυτῆς χύσιν, καὶ εἰς τὴν τοῦ ἑνὸς ἀναδραμοῦσα ἁπλότητα. Πάντα οὖν αὕτη κατείληφεν οὐκ ἐῶσα φανῆναι τὸν τῆς τριάδος διορισμόν, ἀλλὰ πάντα τὸ ἓν ἀποφήνασα, καθάπερ ἡ δύναμις καὶ τὸν νοῦν ἀποδείκνυσιν ἄπειρον χάος ἐν τῷ τῆς δυνάμεως ἱστάμενον ἀορίστῳ. Ὁ δὲ νοῦς, ὅσον καθ' ἑαυτὸν ἀπολείπεται τῶν πρεσβυτέρων ἀρχῶν, κατὰ τοσοῦτον μόνον φαίνεται νοῦς.

1.309 Πῶς οὖν τῷ ὄντι τριάς; ἑκάστης γὰρ τριάδος αἱ μονάδες χείρονές εἰσιν αὐτῆς ὅλης, καὶ οὐδεμία μέντοι ἀφανίζει τὴν οἰκείαν τριάδα, τοὐναντίον δὲ καὶ συνίστησιν. Νῦν δὲ τὸ ἓν πάντων ἐστὶ κράτιστον, καὶ οὐδέν ἐστι πρὸ αὐτοῦ, ὥστε οὐδὲ τριὰς αὐτὴ ὅλη· ἢ γὰρ ἂν εἴη τὰ πολλὰ πρὸ τοῦ ἑνός; Ἔτι δὲ καὶ ἀφανίζει τὴν τριάδα τὸ ἕν, καταπίνεται γὰρ ἐν αὐτῷ ἅπας διορισμός. Διόπερ ἐν μὲν τῷ ἑνὶ μόνη ἑνάς ἐστι καὶ ἡ λεγομένη τριάς, ἐν δὲ τοῖς πολλοῖς δυάς ἐστι καὶ ἡ τριάς, δύναμις γάρ, ἐν δὲ τῷ ἡνωμένῳ σαφής τις ἂν εἴη τῆς τριάδος ἔμφασις διὰ τὸ πρῶτον πεπονθέναι τό τε ἓν καὶ τὰ πολλά· πρῶτος δὲ καὶ ἡ τριὰς ἀριθμὸς ἕν τε καὶ δύο, τοῦτο δέ ἐστιν ἡνωμένον τε καὶ πεπληθυσμένον, μοναδικόν τε καὶ δυαδικόν. Τῶν μὲν δὴ τοιούτων ἅλις ἡμῖν ἔστω· πότε γὰρ ἂν παυσαίμεθα τῷ φύσει λόγῳ ἁμιλλώμενοι πρὸς τὴν νόησιν τῶν νοητῶν ὑμνουμένων τριάδων; ἐπ' ἐκεῖνα δὲ τρέψωμεν τὴν διάνοιαν τὰ ζητήματα ὅσα τὴν φύσιν αὐτὴν πολυπραγμονεῖ τῶν τριάδων, τῆς πατρικῆς, τῆς δυναμικῆς, τῆς νοερᾶς καλουμένης. Ἆρα γάρ, ὡς ἡ μέση προφανῶς ἐνδείκνυται, ἡ μὲν ἵσταται κατὰ τὴν δύναμιν καὶ θεωρεῖται ὡς ἀρχὴ πασῶν δυνάμεων, ἡ δὲ ὡς ὕπαρξις ἡ πατρική, ἧς λέγεται καὶ ἡ δύναμις, ἡ δὲ νοερὰ ὡς ἐνέργεια ἀπὸ δυνάμεως προϊοῦσα καὶ οὖσα ἐνέργεια τῆς ὑπάρξεως; ὃν γὰρ ἔχει λόγον ἡ οὐσία πρὸς δύναμιν, καὶ δύναμις πρὸς ἐνέργειαν, τοῦτον ἔχειν εἴποι τις ἂν τὴν πατρικὴν ἰδιότητα πρὸς τὴν δυναμικήν, καὶ τὴν δυναμικὴν πρὸς τὴν νοεράν, καὶ ἃς ἠβουλήθησαν ἀρχὰς ἐνδείξασθαι δι' ἄλλων ἄλλοι, οἷον οἱ Πυθαγόρειοι διὰ μονάδος καὶ δυάδος καὶ τριάδος, ἢ ὁ Πλάτων διὰ τοῦ πέρατος καὶ τοῦ ἀπείρου καὶ τοῦ μικτοῦ. Ἢ πρότερόν γε ἡμεῖς διὰ τοῦ ἑνὸς καὶ τῶν πολλῶν καὶ τοῦ ἡνωμένου, τοῦτο οἱ χρησμοὶ τῶν θεῶν διὰ τῆς ὑπάρξεως καὶ δυνάμεως καὶ ἐνεργείας. Τὸν μὲν οὖν πατέρα σαφῶς ὕπαρξιν ὀνομάζει, τὴν δὲ δύναμιν οὐδὲ ἄλλῳ ὀνόματι παραδίδωσιν.

1.310 Εἰ δὲ ὁ μὲν πατὴρ ὕπαρξις, ἡ δὲ δύναμις τὸ μέσον, πῶς οὐχὶ καὶ τὸ τρίτον ἐνέργειά τε ἂν εἴη καὶ λέγοιτο; Καὶ δὴ τοῦτο ταύτῃ θεωρεῖ καὶ ὁ μέγας Ἰάμβλιχο ς· τάχα δὲ καὶ ὁ νοῦς ἀπὸ τοῦ νοεῖν ὅ ἐστιν ἀπὸ ἐνεργείας ὠνομασμένος ἂν εἴη, ὅτι ποτὲ ἂν δηλοίη τὸ νοεῖν, εἴτε τὸ γιγνώσκειν, εἴτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἐπιστρέφεσθαι πρὸς τὸν πατέρα, εἴτε τὸ ἐκείνου ἀφίεσθαι· καὶ τάχα ἂν ὁ μὲν πατὴρ ὑπάρχει μόνον, ἡ δὲ δύναμις πρὸς τὸ ὑπάρχειν καὶ δυνατόν, ὁ δὲ νοῦς πρὸς τούτοις καὶ τὴν ἐνέργειαν προβάλοιτο ἄν. Καὶ ἤγε τοιαύτη ἔνδειξις πολλὴν ἂν σώζοι τὴν ἕνωσιν τῶν πρώτων ἀρχῶν, εἴ γε τρεῖς οὖσαι ὅμως ἥνωνται πρὸς ἀλλήλας οὕτως ὡς πρὸς ὕπαρξιν δύναμις καὶ ἐνέργεια τῆς ὑπάρξεως. Δῆλον δὲ ὅτι καὶ μειζόνως ἥνωνται πρὸς ἀλλήλας αἱ ἀρχαί, ᾗ πρὸς ἑαυτὴν ἡ μία φύσις ὑπάρχουσά τε καὶ δυναμένη καὶ ἐνεργοῦσα καὶ οὖσά γε μία τρίμορφος. Ἆρα οὖν οὕτως αὐτὰς νοητέον; καὶ ἀπὸ τῆς τρίτης ταύτης ἰδιότητος, ἢ τὴν ἁπλῶς οὐσίαν θέμενοι τὸ τρίτον, ὅπερ ἐστὶ τὸ ἡνωμένον; πῶς ἂν ἔχοιμεν λέγειν τὸν πατέρα κατὰ τὴν οὐσίαν ὑπογράφεσθαι, εἴπερ ταὐτὸν οὐσία καὶ ὕπαρξις; ἢ οὐ ταὐτόν φασιν, ἀλλ’ ἡ μὲν ὕπαρξις ἐπὶ θεῶν λέγοιτο ἄν, ἡ δὲ οὐσία ἐπὶ τῶν ἐξημμένων αὐτῶν· οὕτω γὰρ εἰώθασι πολλαχοῦ διαστέλλεσθαι οἱ φιλόσοφο ι. Ἀλλ’ εἰ καὶ τοῦτο ἦν ἀληθές, οὔπω διώρισται ἐν ἐκείνοις ἀπὸ τοῦ ἑνὸς τὸ ὄν, οὐδέ ἐστιν ὂν τὸ ἡνωμένον· οὐδὲ ἄρα τὸ ἓν ὁ πατήρ· ἴσως δὲ ὡς ἓν ἁπλῶς ὁ πατήρ, καὶ τὸ ἡνωμένον εἴη ἂν ἁπλῶς ὂν ἄλλον τρόπον λεγόμενον, ἑκάτερον, ὡς προείρηται πολλάκις· ἦν δὲ ἂν οὕτω λέγειν, εἰ ἀληθὲς διαφέρειν οὐσίαν καὶ ὕπαρξιν. Νῦν δὲ οὐχ ὁρῶ ἔγωγε τὴν τοιαύτην διαφοράν· τὸ γὰρ εἶναι καὶ τὸ ὑπάρχειν ἐπὶ τοῦ αὐτοῦ λέγομεν, εἴπερ ποτὲ καὶ λέγοιμεν ὑπάρχειν τὸ εἶναι· τοῖς γὰρ παλαιοῖς πάνυ σύνηθες· εἰ δὲ ὅτι πρὸ παντὸς ἄλλου δεῖ προϋπάρχειν τὸ εἶναι, οἷον τοῦ δύνασθαι καὶ τοῦ ἐνεργεῖν, καὶ τοῦ εὖ πράττειν ἢ εὖ εἶναι καὶ τῶν ἄλλων ἁπάντων σχεδόν· καὶ γὰρ ἐν τοῖς γένεσι τοῦ ὄντος τὸ ὂν προηγεῖται τῶν ἄλλων. Εἰ δὴ διὰ ταῦτα τὸ εἶναι ἄρχει καὶ ὑπό τι ἄρχει (μετὰ γὰρ τὸ ἓν τὸ ὂν ἐννοοῦμεν), ταὐτὸν μὲν ἂν εἴη καὶ οὕτως ὑπάρχειν καὶ εἶναι, πλὴν ὅτι τὸ εἶναι ὡς πρὸ τῶν ἄλλων τεταγμένον, καὶ τοῖς ἄλλοις τὸ εἶναι παρεχόμενον οὕτως ἂν καλοῖτο καὶ ὑπάρχει ν.

1.311 Εἰ τοίνυν ταὐτὸν οὐσία καὶ ὕπαρξις, ἡ δὲ ἁπλῶς οὐσία τὸ τρίτον, πῶς ἂν ἔχοι λόγον ἐπὶ τὸν πατέρα ταύτην μετάγειν; οὐχὶ δὲ καὶ τὸ πατρικὸν ἰδίωμα τοῦ εἶναι ἄλλο αἴτιον εἶναι βούλεται, ἀλλ’ οὐκ αὐτὸ εἶναι καθὸ πατρικόν; Οὐκοῦν ὁ πρῶτος πατὴρ καὶ ἁπλῶς πατήρ, οὐκ ἄλλο τι ὤν, εἶτα πατήρ, ἀλλὰ μόνον πατήρ, οὐκ ἂν μὲν αὐτὸς εἴη, τοῦ δὲ εἶναι ἄλλοις αἴτιος ἔσται, καὶ πρώτῳ γε τῷ ἁπλῶς ὄντι καὶ ὄντι πρὸ πάντων· ὥστε καὶ ταύτῃ πρὸ πάσης ὑπάρξεως καὶ οὐσίας ὁ πατήρ. Ὁμοίως δὲ καὶ δύναμις ἡ πατρική, ἅτε οἰστικὴ τῆς οὐσίας οὖσα πρὸ αὐτῆς ἂν εἴη τεταγμένη. Οὐκοῦν τὸ τρίτον ἦν ἡ πατρικὴ ἐνέργεια, ὥστε καὶ ἡ ἐνέργεια πρὸ τῆς οὐσίας, ἅτε οἰστικὴ τῆς οὐσίας καὶ πατρικὴ οὖσα ἐνέργεια. Οὐκ ἄρα τὸ ἡνωμένον ἡ ἁπλῶς οὐσία, εἴπερ ἐστὶ πατρικὴ ἐνέργεια γεννῶσα τὰ ὄντα, ᾗ σύνδρομος ἡ ἐνέργεια τῷ ἐνεργουμένῳ. Καὶ ἡ μὲν πατρικὴ ἐνέργεια ταύτῃ τοῦ ἑνὸς ἐχομένη καὶ πατρὸς ἡνωμένον ἐστὶ κατὰ ἐπιστροφὴν τὴν πρὸς τὸ ἓν ἐκεῖνο καλούμενον, ἡ δὲ τὰ ἀφ’ ἑαυτοῦ χωριζόμενα καὶ γεννώμενα συνῄρηκεν ἐν ἑαυτῷ, καὶ ταύτῃ πρὸ τῆς διωρισμένης οὐσίας ἡ ἁπλῶς οὐσία, καθάπερ εἴρηται καὶ πρότερον. Ἢ ῥητέον τὴν τρίτην ἀρχὴν ἀναλογεῖν τῆς ἐνεργείας τῆς πρώτης, ὅτι συλλαβοῦσα τὸ ἐνεργεῖν, τὸ δύνασθαι, τὸ πατρικὸν ἰδίωμα καὶ γεννητικὸν οὐσία γέγονεν ἁπλῶς· καὶ γὰρ οὐσίαν φαμὲν καὶ ὂν τὸ ἐνεργοῦν τε καὶ δυνάμενον, καὶ πρότερόν γε αὐτὸ ὑφεστώς, ὥστε καθ’ ἑαυτὴν μὲν οὐσία ἐστί, πρὸς δὲ τὸν πατέρα ἐνέργεια λέγεται τοῦ πατρός. Ἢ μήποτε ἐκείνως θεωρητέον· ἡ μὲν τρίτη ἀρχὴ οὐσία καὶ ὕπαρξις ἐνεργείᾳ ἤδη καὶ κατ’ ἐνέργειαν, ἡ δὲ δευτέρα δυνάμει ἔτι, καὶ τοῦτο δηλοῦν τὴν δύναμιν· ἃ γὰρ ἐν τοῖς κάτω χειρόνως ἐκεῖ κρειττόνως λαμβάνεται· οὕτως ἄρα τὸ δυνάμει πρὸς τὸ ἐνεργείᾳ, ὁ δὲ πατὴρ οὐδὲ δυνάμει πω, ἀλλ’ ἥρπασεν ἑαυτὸν καὶ ἀπὸ τῆς πρὸς οὐσίαν οἵας δήποτε ἐννοουμένης ἐπιτηδειότητος, ἐπεὶ καὶ ἐν τοῖς τῇδε τὸ ἓν τῆς ὕλης ἐπέκεινα τοῦ δυνάμει καὶ χεῖρον. Τὸ γὰρ δυνάμει ἤδη προώρισται τῇ πρὸς τὸ εἶδος ἐπιτηδειότητι. Τάχα δὲ ἐκεῖνο προσφυέστερον εἰπεῖν, ὡς ἡ μὲν ὕπαρξις τὴν ὑπόστασιν δηλοῖ μόνον, ὥσπερ ἡ δύναμις τὸ δύνασθαι μόνον, καὶ ἡ ἐνέργεια τὸ μόνον ἐνεργεῖν, ἡ δὲ οὐσία τὸ

ὅλον ἐστὶ καὶ τὰ τρία συνειληφός· ὅθεν τὸ ὑφεστὼς μέν, δυνάμενον δὲ μηδέν, ἢ τὸ δυνάμενον μέν, οὐδὲν δὲ ἐνεργοῦν οὐδὲ εἶναί φαμεν, ἢ μάτην γε εἶναι.

1.312 Καὶ πάλιν ἀξιοῦμεν οὐδὲν εἶναι μάτην· ἐν μὲν δὴ τῷ τρίτῳ τὰ τρία συνδραμεῖν, ἐν δὲ τῷ δευτέρῳ τὰ δύο μόνα, ἐν δὲ τῷ πρώτῳ τὸ ἓν μόνον ὡς ἀληθῶς, ὅθεν τοῦτο μὲν ὕπαρξις μόνον καὶ ὑπόστασις, οἷον ἀδύνατος καὶ ἀνενέργητος, εἰ θέμις εἰπεῖν, κατὰ τὸ κρεῖττον τῆς δυνάμεως καὶ τῆς ἐνεργείας ἐπινοουμένη· ἡ δὲ δευτέρα ἀρχὴ ὕπαρξις ἅμα καὶ δύναμις, ἀλλὰ μηδὲν ἐνεργοῦσα καὶ πρὸ ἐνεργείας οὖσα, καὶ τὰ πρὸ ἐνεργείας ἅπασι χορηγοῦσα, ὥσπερ ἡ πρώτη τὰ πρὸ δυνάμεως· ἡ δὲ τρίτη προσλαβοῦσα τὸ ἐνεργεῖν οὐσία γέγονεν ὑφεστῶσα καὶ δυναμένη καὶ ἐνεργοῦσα φύσις. Ταύτῃ ἄρα διοίσει τῆς οὐσίας ἡ ὕπαρξις, ᾗ τὸ εἶναι μόνον καθ’ αὑτὸ τοῦ ἅμα τοῖς ἄλλοις ὁρωμένου· στοιχεῖον γὰρ τῆς οὐσίας εἶναι τὴν ὕπαρξιν, καὶ παρειλῆφθαι πρὸς ἔνδειξιν τῆς ἁπλουστάτης ἀρχῆς, ἔχοιμεν ἂν τινα οὕτω λεγόμενα. Δοκεῖ δέ μοι μάλιστα τοῦτον διορίζεσθαι ταῦτα τὸν τρόπον· ἡ ὕπαρξις, ὡς δηλοῖ τὸ ὄνομα, τὴν πρώτην ἀρχὴν δηλοῖ τῆς ὑποστάσεως ἑκάστης, οἷόν τινα θεμέλιον ἢ οἷον ἔδαφος προϋποτιθέμενον τῆς ὅλης καὶ τῆς πάσης ἐποικοδομήσεως· διόπερ καὶ τὴν πρόθεσιν τῆς ἀρχῆς προέταξεν ὁ ὀνομάσας, ὅτι ἠβούλετο δηλοῦν προϋποτιθεμένην ἀρχὴν τοῖς ὅπως ποτὲ εἶναι λεγομένοις· αὕτη δέ ἐστιν ἡ πρὸ πάντων ἁπλότης, ᾗ πᾶσα προσγίγνεται σύνθεσις· αὕτη δέ ἐστιν αὐτὸ δήπου τὸ πάντων ἐπέκεινα προϋποκείμενον ἕν, ὅπερ αἴτιον μὲν πάσης οὐσίας, οὔπω δὲ οὐσία· πᾶσα γὰρ οὐσία σύνθετος ἢ κατὰ ἕνωσιν ἢ κατὰ κρᾶσιν, ἢ ὁπώσποτε ἄλλως· ἐκεῖνο δὲ ἦν αὐτὸ μόνον ἕν· δεῖ δέ, εἰ μέλλοι σύνθεσίς τις εἶναι, προϋποκεῖσθαι καὶ προϋπάρχειν ἀτεχνῶς τὸ ἓν καὶ ἁπλοῦν, ὡς ἄνευ γε τούτου οὐδὲν ἄλλο προέλθοι εἰς ὑπόστασιν· ὕπαρξις ἄρα τῆς οὐσίας ἁπάσης τὸ ἓν καὶ ἡ πρώτη ὑπόθεσις. Καὶ εἰ πρὸ αὐτῆς ὑποτεθῇ ἡ κατὰ τὴν οἰκείαν ἁπλότητα, παράγωγος ἂν εἴη τῆς οὐσίας, ὥστε καὶ πατρικὴ πάντως ἡ ὕπαρξις. Εἰς ταὐτὸν ἄρα ἥκει ἡμῖν ἕν τε καὶ ὕπαρξις καὶ πατήρ· ἐπὶ ταύτῃ δὲ τῇ πρώτῃ ὑποθέσει τε καὶ ὑπάρξει προσγίγνεταί τις δευτέρα ὑπόθεσις, οἷον πλῆθος οὖσα τοῦ ἑνὸς ἐκείνου καὶ οἷον διάστασις αὐτοῦ πάντα βουληθέντος εἶναι πρὸ πάντων, ὃ δὴ καλοῦμεν κατὰ ἀναλογίαν δύναμιν, ὅτι καὶ ἡ δύναμις ἐκτένεια ἦν τῆς οὐσίας.

1.313 Ἐπὶ δὲ ταύτῃ ἡ τρίτη πρόεισιν ἀρχή, τὸ τελειότατον, ὡς δοκεῖ, συλλαβοῦσα, καὶ παντέλειον εἶδος, οἷον τριχῇ διαστᾶσα καὶ εἰς οὐσίαν ἀντὶ ὑπάρξεως ἑνωθεῖσα. Διὸ καὶ ἔοικε τῷ οἰκείῳ πατρὶ ὁ πατρικὸς νοῦς, καὶ ἐπέστραπται πρὸς αὐτόν, ὡς τῷ ἑνὶ τὸ ἡνωμένον, καὶ τῇ ὑπάρξει ἡ οὐσία. Οὐ μὴν ταὐτόν γέ ἐστιν ὂν καὶ ἄλλο μέσον ἡ δύναμις, ἐκβᾶσα μὲν ἀπὸ τῆς πατρικῆς ἁπλότητος καὶ ταύτῃ συμφερομένη τῷ νῷ, οὔπω δὲ εἰς ἕνωσιν περιγραφεῖσα, ἀλλὰ μόνη χύσις καὶ ἀπειρία τοῦ ἑνὸς εἶναι βουλομένη· διὸ καὶ τῷ πατρὶ σύνεστιν, ὡς ἑνὶ μένοντι, χεόμενον ἕν· ὅθεν οὔπω ἡνωμένον ἡ δευτέρα ἀρχή, ἀλλ’ ἓν ἔτι, εἰ καὶ χεόμενόν πως εἰς χάος ὡς ἀληθῶς. Ἡ μὲν οὖν ὕπαρξις ᾗ διαφέρει τῆς οὐσίας, ἐπὶ τοσοῦτον εἰρήσθω. Καὶ δῆλον ὅτι χωριζομένη τῆς οὐσίας ἑνὰς ἀνάλογον πανταχοῦ ὡς ὕπαρξις χωρισθήσεται. Εἰ γὰρ τὸ ἓν ἁπλῶς ὕπαρξις, καὶ τὸ ἡνωμένον ἁπλῶς οὐσία. Εἰ δὲ τὸ ἀντιδιαιρούμενον πρὸς τὸ ὂν ἓν ὡς ἐξῃμμένον αὐτοῦ καθ’ ἑτερότητα ὕπαρξις, καὶ τὸ ὂν ὡς πρὸς ὕπαρξιν ταύτην οὐσίαν, κατὰ μέντοι τὴν ἁπλότητα ὕπαρξις· τὸ δὲ ἁπλῶς ἓν ὕπαρξις μόνον, ὡς καὶ τὰ ἁπλῶς πολλά, καὶ οὐδὲν ἄλλο ἢ τὰ πολλὰ ἡ πρώτη δύναμις. Καὶ ἤδη καὶ τὸ ἡνωμένον, ὃ μίγμα ἐστὶν ἑνὸς καὶ πολλῶν τῶν ἁπλῶς, καὶ διὰ τοῦτο καὶ αὐτὸ ὂν ἁπλῶς ἡνωμένον τὸ ἁπλῶς λέγεται ὄν, ὅτι πανταχοῦ τὸ λεγόμενον, ὃ πέπονθε μὲν τὸ ἕν, ἓν δὲ ὅμως οὐκ ἔστιν, ἐν Σοφιστῇ δείκνυσιν ὁ Πλάτω ν. Οὐκοῦν ἐν δίκῃ τὸ μὲν ἓν ὁ πατὴρ τῆς τριάδος, ὅτι πρὸ τοῦ ὄντος καὶ γεννητὴς τοῦ ὄντος, ἡ δὲ δύναμις τοῦ πατρὸς τὰ πολλά, ὅτι ἐκτένεια ταῦτα τοῦ ἑνὸς ἐπὶ τὴν τοῦ ὄντος γέννησιν, ὁ δὲ πατρικὸς νοῦς τὸ ἡνωμένον τε καὶ τὸ ὂν κατὰ τὴν πρὸς τὸ ἓν τὸ πατρικὸν ἐπιστροφὴν θεωρούμενον, οὐ δήπου τὴν γνωστικήν, οὔπω γὰρ ἐκεῖ διακέκριται γνῶσις, οὐδὲ τὴν ζωτικήν, οὐδὲ γὰρ ζωή πως ἐν ἐκείνοις διεκρίθη· οὐδὲ ἄρα οὐσιώδης· καὶ γὰρ ἡ οὐσία πρὸς ταῦτα ἀντιδιῄρηται μετὰ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡνωμένον, οὐσιώδης ἡ ἐπιστροφή, ἣ ἐστὶ πασῶν ἐπιστροφῶν πρεσβυτάτη, οὐκ εἰς οὐσίαν ἐπιστρεφομένη, ἀλλ' εἰς τὸ ἓν ἁπλῶς. Διὸ καὶ τούτου πρὸ πάντων ὄντος καὶ ἡ ἐπιστροφὴ πασῶν ἐστιν ὑπερέχουσα τῶν ἐπιστροφῶν· διὸ καὶ ἁπλῶς ἐπιστροφὴ αὕτη ἐστίν, ἀλλ' οὐ τίς, οἷον γνωστικὴ πρὸς γνωστόν, ἢ ὀρεκτικὴ πρὸς ὀρεκτὸν (καὶ γὰρ αὕτη ζωτικὴ μᾶλλόν ἐστιν), οὐδὲ ὡς πρὸς ὂν τοῦ ἡνωμένου, τὶς γὰρ αὕτη καὶ πρός τι ἐπιστροφή, ἀλλ' ἡ πρὸς τὸ πάντων ἁπλούστατον καὶ ἁπλουστάτη πασῶν, ἡ τοῦ ἡνωμένου πρὸς τὸ ἕν, τοῦ πρώτου πρὸς τὸ πρῶτον, καὶ οὕτως ἔχουσα διακρίσεως, μᾶλλον δὲ τῆς ἀδιακρίτου ὑπερβολῆς, ὡς ἕνωσις εἶναι μᾶλλον ἢ ἐπιστροφή.

1.314 Ἀλλ' ὅμως καὶ ἡ ἀναλογία καὶ ἐπιστροφὴν αὐτὴν εἶναι φήσει καὶ νοῦν ὀνομάσει τὸν κατ' αὐτὴν ὑφιστάμενον, διότι νοῦ ἴδιον ἡ ἐπιστροφή. Εἰ δὲ νοῦ τὸ διακεκριμένον, ὡς εἴρηται πρόσθεν, καὶ ταύτῃ νοῦς τὸ ἡνωμένον, ὅτι τρίτος ἀπὸ τοῦ πατρὸς ὅπως διαλέγοιτο, κατά τινα ῥηθήσεται ἀναλογίαν καὶ ἔνδειξιν ὑπερφυᾶ τὸ μέγεθος. Ἀλλ' ὡς μὲν κοινῶς εἰπεῖν, οὕτως εἰρήσθω. Τὸν δὲ μερικώτερον τρόπον κατὰ τὴν τριχῇ διαίρεσιν τοῦ ἡνωμένου ῥητέον, καθ' ἣν τὸ μὲν ἄκρον αὐτοῦ πάντως ἀδιάκριτον, τὸ δὲ μέσον ἤδη πως ὡς ἐκεῖνο διακρινόμενον, τὸ δὲ πέρας διακρινόμενον ὡς τοῦ ἡνωμένου τὸ διακεκριμένον εἰπεῖν. Καὶ γὰρ ὁ Πλάτων τοῦτο μὲν διακρίνας εἰς ἓν καὶ ὂν ὅμως εὕρισκεν ἑκάτερον τὸ συναμφότερον γιγνόμενον, τὸ δὲ μέσον ἐκ μερῶν ὅλον ἐποίει τοῦ ἑνὸς καὶ τοῦ ὄντος· τοῦτο δὲ τοῦ διακρινομένου ἴδιον ἦν, τὸ δὲ ἄκρον πάντῃ ἓν ὄν, καὶ τό τε ἓν τοῦ ὄντος, καὶ τὸ ὂν τοῦ ἑνός. Εἰ δὲ καί τι λέγοι τις, ὀρθῶς ἐρεῖ, ᾗ τὸ μὲν ἄκρον ὑπὸ τοῦ ἑνὸς ἔχει τὸ ὂν κρατούμενον, τὸ δὲ ἔσχατον ἀνάπαλιν ὑπὸ τοῦ ὄντος τὸ ἕν, ἐν δὲ τῷ μέσῳ ἑκάτερον ἰσοστάσιον; ἢ πάλιν, ὡς Πλάτων, τὸ μέν ἐστιν ἓν ὄν, τὸ δὲ ὅλον καὶ μέρη, τὸ δὲ ἄπειρον πλῆθος· τοῦτο μὲν οὖν ὡς ἀναλογοῦν τῷ νῷ κατὰ τὸ διακεκριμένον ἤδη πλῆθος, τὸ δὲ μέσον κατὰ τὸ διακρινόμενον, τὸ δὲ πρῶτον κατὰ τὸ ἡνωμένον. Διόπερ τὸ μὲν ἄκρον μόνον ἓν ὄν, τὸ δὲ μέσον ἀρχόμενον ἤδη μερισμοῦ τινός, τὸ δὲ τρίτον εἰς πολλὰ διῃρημένον, ὡς ὁ νοῦς εἰς τὰ εἴδη, φαμέν, οὕτως τοῦτο εἰς τὰ πολλά, ἃ λέγομεν εἶναι πολλὰ πρὸ ἀριθμοῦ παντός, ὅθεν καὶ τὸ ἄπειρον πλῆθος, ὅτι ἀνάριθμον φύσει καὶ πρὸ παντὸς ὅρου ἀριθμητικοῦ· οὐ γὰρ ὁ ἀριθμὸς ἐνδέχεται τὸ ἄπειρον, οὐδὲ κατὰ τοὺς λέγοντας, ἀλλὰ τὸ πλῆθος, ὅτι ἦν πλῆθος ἄπειρον, καὶ ὕλη ἀριθμοῦ δεομένη πέρατος ἀριθμητικοῦ, μᾶλλον δὲ οὔτε ὕλη, οὔτε δεομένη πέρατος, ἀλλ' ἐπέκεινα τῆς τῶν ἀριθμῶν πάντων ὑποστάσεως.

1.315 Ἔστι τοίνυν τὰ πολλὰ ταῦτα τοῦ ἡνωμένου ἑνὸς πολλά, ὡς τὰ πρὸ τοῦ ἡνωμένου πολλὰ κατὰ τὴν δευτέραν ἀρχὴν πολλά, ἥν, ὡς ἔφαμεν, ἁπλῶς τοῦ ἑνός τε τὰ μὲν ὡς ἓν πολλά, ταῦτα δὲ ὡς ἡνωμένον πολλά, ὧν προϋπάρχειν ἐν τῷ μέσῳ τοῦ νοητοῦ οὐ τὰ πολλά, οὐδὲ τὸ ἄπειρον πλῆθος, ἀλλὰ μέρη καὶ ὅλον, ἔτι ἐνεχόμενα τῷ ἑνὶ τὰ πολλά, καὶ μόνον ἀρχόμενα διακρίνεσθαι ἀπ' αὐτοῦ. Ὅθεν τὸ μὲν ὅλον ἀντὶ ἑνὸς γέγονεν, τὰ δὲ μέρη ἀντὶ ἀμερίστων καὶ ὑπὸ τοῦ ἑνὸς τοῦ οἰκείου συνῃρημένων, ἐπειδὴ διεκρίθη τελέως, ὅση καὶ οἵᾳ διακρίσει ἐπεφύκει γενέσθαι τοῦ ἡνωμένου, τοσούτων καὶ τοιούτων γενομένων κερμάτων ἐν τούτῳ πολλὰ εὐθὺς ἐφάνη. Καὶ τὸ πᾶν ἄπειρον πλῆθος ἀναλογήσει ἄρα τῷ νῷ, καὶ τοῖς ἐν τῷ νῷ εἴδεσι τὸ ἄπειρον τοῦτο πλῆθος πᾶν (διὸ καὶ νοητὸς ἀνύμνηται τοῦ νοητοῦ παντός), τὸ δὲ μέσον τῇ μέσῃ τάξει καὶ ὄνομα λαχούσῃ ταὐτὸν ἐν τῷ δευτέρῳ διακόσμῳ μετὰ τὸν νοητόν, τὸ δὲ ἄκρον τῷ στοιχειωτῷ καὶ ἀπὸ στοιχείων συγκεκραμένῳ, αὐτό γε ὂν ἡνωμένον τὸ τοῦ ἡνωμένου κόσμου παντός. Καὶ αὖ πάλιν ἐν τῷ τρίτῳ διακόσμῳ τῷ νοερῷ ὁ μὲν ἀμιστύλλευτος νοῦς καὶ ἅπαξ ἐπέκεινα τῷ ἄκρῳ τοῦ ἡνωμένου καὶ πάντῃ ἡνωμένῳ ἀπείκασται· ἡ δὲ ἀμφιφαὴς Ἑκάτη καὶ ὅλη πολυμερὴς φαινομένη τῷ μέσῳ τοῦ ἡνωμένου προσέοικεν. Ὅπερ δὲ ἐν τούτῳ ὁ δὶς ἐπέκεινα νοῦς, νοεραῖς στράπτων τομαῖς, τοῦτο ἐκεῖ ὁ νοητὸς νοῦς καὶ ἡνωμένος νοηταῖς τομαῖς, εἰ θέμις φάναι, στράπτων καὶ ἐκεῖνος. Ἀλλὰ γὰρ εἰ τοιαῦται διαφοραί τινές εἰσιν ἐν τῷ ἡνωμένῳ, ἢ διαφορῶν προεμφάσεις ἢ προαιτίαι, ἢ ὅπως ἕλοιτό τις εἰπεῖν (εἴρηται γὰρ πλείω περὶ τούτων πρότερον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δὲ ἡνωμένον ἦν ὁ πατρικὸς νοῦς, ὁ μὲν ὡς εἷς ὅλος, ὁ δὲ οὕτω τριχῇ διῃρημένος), δῆλον ὅπως ἀνὰ τὸν αὐτὸν λόγον συνδιελοῦμεν τήν τε τελείαν δύναμιν εἰς τρεῖς δυνάμεις καὶ τὸν ἕνα πατέρα εἰς τρεῖς πατέρας. Ὁ μὲν γὰρ ἔσται πατὴρ τοῦ ἡνωμένου ἐν τῷ ἡνωμένῳ νῷ, ὁ δὲ τοῦ ὡς ὅλου καὶ μερῶν θεωρουμένου, ὁ δὲ τοῦ κατὰ τὸ ἄπειρον πλῆθος λαμβανομένου· ὅθεν οὗτος μὲν ἐκαλεῖτο νοῦς ἐν τῇ πατρικῇ τριάδι πατρικός, ὁ δὲ μέσος, δύναμις, ὁ δὲ πρῶτος πατὴρ τῶν πατέρων.

1.316 Ὁμοίως δὲ καὶ αἱ δυνάμεις τριχῇ ληφθήσονται, συμφερόμεναι τοῖς τρισὶν ἑκατέρωθι, πατράσι τε λέγω καὶ νοῖς πατρικοῖς· ἀμφιφαεῖς γὰρ αἱ δυνάμεις ἀεὶ καὶ σύμμετροι πρὸς ἑκατέραν ἀπόστασιν· ὅμως δὲ καὶ ἐν τῇ τριάδι τῶν δυνάμεων ἡ μὲν πρώτη πατρικὴν ἔχει ἀξίαν πρὸς τὰς ἄλλας, ἡ δὲ μέση δύναμίς ἐστι δυνάμεων, ἡ δὲ τρίτη νοῦς τῆς πρώτης. Καὶ γὰρ αὖ καὶ ἐν τῇ ἡνωμένῃ τριάδι καὶ νοερᾷ τοῦ νοητοῦ διακόσμου ἀποπερατώσει, ὁ μὲν πρῶτός ἐστι πατὴρ τῶν νόων, ὁ δὲ μέσος δύναμις, ὁ δὲ τρίτος νοῦς ἡνωμένος καὶ ᾗ τοῦ ἡνωμένου πατρός. Τοσαῦτα νῦν εἰρημένα περὶ τῶν χαλδαϊκῶν τριάδων ἱκανῶς ἐχέτω πρὸς τὰ παρόντα, μηδὲν πολυπραγμονησάντων ἡμῶν τῆς παραδοθείσης ὑπὸ τῶν λογίων περὶ αὐτῶν ἀληθείας· οὔπω γὰρ ἦν τοῦ προκειμένου καιροῦ ἡ ἐκείνων ἐξέτασις. Ἐπεὶ δὲ τούτων καὶ ὁπωσοῦν ἐπεμνήσθημεν τῆς περὶ τῶν νοητῶν προβολῆς εἵνεκα καὶ διακαθάρσεως τῶν ἡμετέρων ἐννοιῶν, φέρε νῦν τὰ μέτρια παριστορήσωμεν καὶ τῶν ἄλλων θεολόγων τὰς περὶ τοῦ νοητοῦ διακόσμου παραδόσεις, εἴ τι καὶ ἀπὸ τούτων δυνάμεθα σέβας ἀναλαβεῖν ἔτι μεῖζον καί, ὡς ἔνι, μέγιστον τῆς ὑπερβαλλούσης ἐκείνης ἑνώσεως. Ἐν μὲν τοίνυν ταῖς φερομέναις ταύταις ῥαψῳδίαις ὀρφικαῖς ἡ θεολογία δή τίς ἐστιν ἡ περὶ τὸν νοητόν, ἣν καὶ οἱ φιλόσοφοι διερμνεύουσιν ἀντὶ μὲν τῆς μιᾶς τῶν ὅλων ἀρχῆς τὸν Χρόνον τιθέντες, ἀντὶ δὲ τοῖν δυεῖν Αἰθέρα καὶ Χάο ς, ἀντὶ δὲ τοῦ ὄντος ἁπλῶς τὸ ᾠὸν ἀπολογιζόμενοι, καὶ τριάδα ταύτην πρώτην ποιοῦντες· εἰς δὲ τὴν δευτέραν τελεῖν ἤτοι τὸ κυούμενον καὶ τὸ κύον ᾠὸν τὸν θεόν, ἢ τὸν ἀργῆτα χιτῶνα, ἢ τὴν νεφέλην, ὅτι ἐκ τούτων ἐκθρώσκει ὁ Φάνης· ἄλλοτε γὰρ ἄλλα περὶ τοῦ μέσου φιλοσοφοῦσιν.

1.317 Τοῦτο μὲν οὖν ὁποῖον ἂν ᾖ, ὡς τὸν νοῦν, ὡς δὲ πατέρα καὶ δύναμιν, ἄλλα τινὰ προσεπινοοῦντες οὐδὲν τῷ Ὀρφεῖ προσήκοντα, τὴν δὲ τρίτην τὸν Μῆτιν 〈ὡς νοῦν〉, τὸν Ἠρικεπαῖον ὡς δύναμιν, τὸν Φάνητα αὐτὸν ὡς πατέρα. Μήποτε δὲ καὶ τὴν μέσην τριάδα θετέον κατὰ τὸν τρίμορφον θεὸν ἔτι κυόμενον ἐν τῷ ᾠῷ· καὶ γὰρ καὶ τὸ μέσον ἀεὶ φαντάζει συναμφότερον τῶν ἄκρων, ὥσπερ καὶ τοῦτο ἅμα καὶ ᾠὸν καὶ τρίμορφος ὁ θεός. Καὶ ὁρᾷς ὅτι τὸ μὲν ᾠόν ἐστιν τὸ ἡνωμένον, ὁ δὲ τρίμορφος καὶ πολύμορφος τῷ ὄντι θεὸς τὸ διακεκριμένον τοῦ νοητοῦ, τὸ δὲ μέσον κατὰ μὲν τὸ ᾠὸν ἔτι ἡνωμένον, κατὰ δὲ τὸν θεὸν ἤδη διακεκριμένον, τὸ δὲ ὅλον εἰπεῖν, διακρινόμενον. Τοιαύτη μὲν ἡ συνήθης ὀρφικὴ θεολογί α. Ἡ δὲ κατὰ τὸν Ἱερώνυμον φερομένη καὶ Ἑλλάνικον, εἴπερ μὴ καὶ ὁ αὐτός ἐστιν, οὕτως ἔχει· "Ὕδωρ ἦν, φησίν, ἐξ ἀρχῆς, καὶ ὕλη, ἐξ ἧς ἐπάγη ἡ γῆ", δύο ταύτας ἀρχὰς ὑποτιθέμενος πρῶτον, ὕδωρ καὶ γῆν, ταύτην μὲν ὡς φύσει σκεδαστήν, ἐκεῖνο δὲ ὡς ταύτης κολλητικόν τε καὶ συνεκτικόν, τὴν δὲ μίαν πρὸ τῶν δυεῖν ἄρρητον ἀφίησιν· αὐτὸ γὰρ τὸ μηδὲ φάναι περὶ αὐτῆς ἐνδείκνυται αὐτῆς τὴν ἀπόρρητον φύσιν· τὴν δὲ τρίτην ἀρχὴν μετὰ τὰς δύο γεννηθῆναι μὲν ἐκ τούτων, ὕδατός φημι καὶ γῆς, δράκοντα δὲ εἶναι κεφαλὰς ἔχοντα προσπεφυκυίας ταύρου καὶ λέοντος, ἐν μέσῳ δὲ θεοῦ πρόσωπον, ἔχειν δὲ καὶ ἐπὶ τῶν ὤμων πτερά, ὠνομάσθαι δὲ Χρόνον ἀγήραον καὶ Ἡρακλῆα τὸν αὐτόν· συνεῖναι δὲ αὐτῷ τὴν Ἀνάγκην, φύσιν οὖσαν τὴν αὐτὴν καὶ Ἀδράστειαν ἀσώματον διωργυιωμένην ἐν παντὶ τῷ κόσμῳ, τῶν περάτων αὐτοῦ ἐφαπτομένην.

1.318 Ταύτην 〈δὲ〉 οἶμαι λέγεσθαι τὴν τρίτην ἀρχὴν κατὰ τὴν οὐσίαν ἑστῶσαν, πλὴν ὅτι ἀρσενόθηλυν αὐτὴν ὑπεστήσατο πρὸς ἔνδειξιν τῆς πάντων γεννητικῆς αἰτίας. Καὶ ὑπολαμβάνω τὴν ἐν ταῖς ῥαψῳδίαις θεολογίαν ἀφεῖσαν τὰς δύο πρώτας ἀρχὰς μετὰ τῆς μιᾶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸ τῶν δυεῖν τῇ σιγῇ παραδοθείσης ἀπὸ τῆς τρίτης μετὰ τὰς δύο ταύτης ἐνστήσασθαι τὴν ἀρχήν, ὡς πρώτης ῥητόν τι ἐχούσης καὶ σύμμετρον πρὸς ἀνθρώπων ἀκοάς. Οὗτος γὰρ ἦν ὁ πολυτίμητος ἐν ἐκείνῃ Χρόνος ἀγήραος καὶ Αἰθέρος καὶ Χάους πατήρ· ἀμέλει καὶ κατὰ ταύτην ὁ Χρόνος οὗτος ὁ δράκων γεννᾶται, τριπλήγονον Αἰθέρα φησὶ νοερὸν καὶ Χάος ἄπειρον, καὶ τρίτον ἐπὶ τούτοις Ἔρεβος ὀμιχλῶδες, τὴν δευτέραν ταύτην τριάδα ἀνάλογον τῇ πρώτῃ παραδίδωσι δυναμικὴν οὖσαν ὡς ἐκείνην πατρικήν. Διὸ καὶ τὸ τρίτον αὐτῆς Ἔρεβός ἐστιν ὀμιχλῶδες, καὶ τὸ πατρικόν τε καὶ ἄκρον Αἰθήρ, οὐχ ἁπλῶς, ἀλλὰ νοερῶς· τὸ δὲ μέσον αὐτόθεν Χάος ἄπειρον, ἀλλὰ μὴν ἐν τούτοις, ὡς λέγει, ὁ Χρόνος ᾠὸν ἐγέννησεν, τοῦ Χρόνου ποιοῦσα γέννημα καὶ αὕτη ἡ παράδοσις, καὶ ἐν τούτοις τικτόμενον, ὅτι καὶ ἀπὸ τούτων ἡ τρίτη πρόεισι νοητὴ τριάς. Τίς οὖν αὕτη ἐστί; τὸ ᾠόν, ἡ δυὰς τῶν ἐν αὐτῷ φύσεων, ἄρρενος καὶ θηλείας, καὶ τῶν ἐν μέσῳ παντοίων σπερμάτων τὸ πλῆθος· καὶ τρίτον ἐπὶ τούτοις θεὸν ἀσώματον, πτέρυγας ἐπὶ τῶν ὤμων ἔχοντα χρυσᾶς, ὃς ἐν μὲν ταῖς λαγόσι προσπεφυκυίας εἶχε ταύρων κεφαλάς, ἐπὶ δὲ τῆς κεφαλῆς δράκοντα πελώριον παντοδαπαῖς μορφαῖς θηρίων ἰνδαλλόμενον.

1.319 Τοῦτον μὲν οὖν ὡς νοῦν τῆς τριάδος ὑποληπτέον, τὰ δὲ μέσα γένη τά τε πολλὰ καὶ τὰ δύο τὴν δύναμιν, αὐτὸ δὲ τὸ ᾠὸν ἀρχὴν πατρικὴν τῆς τρίτης τριάδος, ταύτης δὲ τῆς τρίτης τριάδος τὸν τρίτον θεόν· καὶ ἤδη ἡ θεολογία Πρωτόγονον ἀνυμνεῖ καὶ Δία καλεῖ πάντων διατάκτορα καὶ ὅλου τοῦ κόσμου, διὸ καὶ Πᾶνα καλεῖσθαι. Τοσαῦτα καὶ αὕτη περὶ τῶν νοητῶν ἀρχῶν ἡ γενεαλογία παρίστησιν. Ἡ δὲ παρὰ τῷ περιπατητικῷ Εὐδήμῳ ἀναγεγραμμένη ὡς τοῦ Ὀρφέως οὖσα θεολογία πᾶν τὸ νοητὸν ἐσιώπησεν, ὡς παντάπασιν ἄρρητόν τε καὶ ἄγνωστον τρόπῳ κατὰ διέξοδόν τε καὶ ἀπαγγελίαν· ἀπὸ δὲ τῆς Νυκτὸς ἐποιήσατο τὴν ἀρχήν, ἀφ’ ἧς καὶ ὁ Ὅμηρος, εἰ καὶ μὴ συνεχῆ πεποίηται τὴν γενεαλογίαν, ἵστησιν· οὐ γὰρ ἀποδεκτέον Εὐδήμου λέγοντος ὅτι ἀπὸ Ὠκεανοῦ καὶ Τηθύος ἄρχεται· φαίνεται γὰρ εἰδὼς καὶ τὴν Νύκτα μεγίστην οὕτω θεόν, ὡς καὶ τὸν Δία σέβεσθαι αὐτήν· ἅζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια ῥέζοι. Ἀλλ’ Ὅμηρος μὲν καὶ αὐτὸς ἀρχέσθω ἀπὸ Νυκτός · Ἡσίοδος δέ μοι δοκεῖ πρῶτον γενέσθαι τὸ Χάος ἱστορῶν τὴν ἀκατάληπτον τοῦ νοητοῦ καὶ ἡνωμένην παντελῶς φύσιν κεκληκέναι Χάο ς, τὴν δὲ Γῆν πρώτην ἐκεῖθεν παράγειν ὥς τινα ἀρχὴν τῆς ὅλης γενεᾶς τῶν θεῶν· εἰ μὴ ἄρα Χάος μὲν τὴν δευτέραν τῶν δυεῖν ἀρχῶν, Γῆν δὲ καὶ Τάρταρον καὶ Ἔρωτα τὸ τριπλοῦν νοητόν, τὸν μὲν Ἔρωτα ἀντὶ τοῦ τρίτου, ὡς κατὰ ἐπιστροφὴν θεωρουμένην.

1.320 Τοῦτο γὰρ οὕτως ὀνομάζει καὶ ὁ Ὀρφεὺς ἐν ταῖς Ῥαψῳδίαι ς· τὴν δὲ Γῆν ἀντὶ τοῦ πρώτου, ὡς πρώτην ἐν στερεῷ τινι καὶ οὐσιώδει καταστήματι παγεῖσαν, τὸν δὲ Τάρταρον ἀντὶ τοῦ μέσου, ὡς ἤδη πως εἰς διάκρισιν παρακεκινημένου. Ἀκουσίλαος δὲ Χάος μὲν ὑποτίθεσθαί μοι δοκεῖ τὴν πρώτην ἀρχήν, ὡς πάντη ἄγνωστον, τὰς δὲ δύο μετὰ τὴν μίαν, Ἔρεβος μὲν τὴν ἄρρενα, τὴν δὲ θήλειαν Νύκτ α, ταύτην μὲν ἀντὶ ἀπειρίας, ἐκείνην δὲ ἀντὶ πέρατος· ἐκ δὲ τούτων φησὶ μιχθέντων Αἰθέρα γενέσθαι καὶ Ἔρωτα καὶ Μῆτιν, τὰς τρεῖς ταύτας νοητὰς ὑποστάσεις, τὴν μὲν ἄκραν Αἰθέρα ποιῶν, τὴν δὲ μέσην Ἔρωτα κατὰ τὴν φυσικὴν μεσότητα τοῦ Ἔρωτος, τὴν δὲ τρίτην Μῆτιν, κατ’ αὐτὸν ἤδη τὸν πολυτίμητον νοῦν. Παράγει δὲ ἐπὶ τούτοις ἐκ τῶν αὐτῶν καὶ ἄλλων θεῶν πολὺν ἀριθμὸν κατὰ τὴν Εὐδήμου ἱστορίαν. Τὸν δὲ Ἐπιμενίδην δύο πρώτας ἀρχὰς ὑποθέσθαι, Ἀέρα καὶ Νύκτ α, δηλονότι σιγῇ τιμήσαντα τὴν μίαν πρὸ τῶν δυεῖν, ἐξ ὧν γεννηθῆναι Τάρταρον οἶμαι τὴν τρίτην ἀρχήν, ὥς τινα μικτὴν ἐκ τῶν δυεῖν συγκραθεῖσαν· ἐξ ὧν δύο τινὰς τὴν νοητὴν μεσότητα οὕτω καλέσαντα, διότι ἐπ’ ἄμφω διατείνει τό τε ἄκρον καὶ τὸ πέρας, ὧν μιχθέντων ἀλλήλοις ᾠὸν γενέσθαι τοῦτο ἐκεῖνο τὸ νοητὸν ζῷον ὡς ἀληθῶς, ἐξ οὗ πάλιν ἄλλην γενεὰν προελθεῖν.

1.321 Φερεκύδης δὲ ὁ Σύριος Ζᾶντα μὲν εἶναι ἀεὶ καὶ Χρόνον καὶ Χθονίαν τὰς τρεῖς πρώτας ἀρχάς, τὴν μίαν φημὶ πρὸ τῶν δυοῖν, καὶ τὰς δύο μετὰ τὴν μίαν, τὸν δὲ Χρόνον ποιῆσαι ἐκ τοῦ γόνου ἑαυτοῦ πῦρ καὶ πνεῦμα καὶ ὕδωρ, τὴν τριπλῆν, οἶμαι, φύσιν τοῦ νοητοῦ, ἐξ ὧν ἐν πέντε μυχοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διῃρημένων πολλὴν ἄλλην γενεὰν συστῆναι θεῶν, τὴν πεντέμυχον καλουμένην, ταὐτὸν δὲ ἴσως εἰπεῖν, πεντέκοσμον. Περὶ δὲ τούτων ἄλλος ἴσως φανεῖται καιρός· τοιαῦται μὲν οὖν καὶ τοσαῦται τὰ νῦν παρειλήφθωσαν ἡμῖν αἱ διὰ μύθων ἑλληνικῶν ὑποθέσεις, πολλῶν καὶ ἄλλων οὐσῶν. Τῶν δὲ βαρβάρων ἐοίκασι Βαβυλώνιοι μὲν τὴν μίαν τῶν ὅλων ἀρχὴν σιγῇ παριέναι, δύο δὲ ποιεῖν Ταυθὲ καὶ Ἀπασών, τὸν μὲν Ἀπασὼν ἄνδρα τῆς Ταυθὲ ποιοῦντες, ταύτην δὲ μητέρα θεῶν ὀνομάζοντες, ἐξ ὧν μονογενῆ παῖδα γεννηθῆναι τὸν Μωϋμίν, αὐτόν, οἶμαι, τὸν νοητὸν κόσμον ἐκ τῶν δυεῖν ἀρχῶν παραγόμενον, ἐκ δὲ τῶν αὐτῶν ἄλλην γενεὰν προελθεῖν, Δαχὴν καὶ Δαχόν, εἶτα αὖ τρίτην ἐκ τῶν αὐτῶν, Κισσαρὴ καὶ Ἀσσωρόν, ἐξ ὧν γενέσθαι τρεῖς, Ἀνὸν καὶ Ἴλλινον καὶ Ἀό ν· τοῦ δὲ Ἀοῦ καὶ Δαύκης υἱὸν γενέσθαι τὸν Βῆλον, ὃν δημιουργὸν εἶναί φασιν.

1.322 Μάγοι δὲ καὶ πᾶν τὸ ἄρειον γένος, ὡς καὶ τοῦτο γράφει ὁ Εὔδημος, οἱ μὲν Τόπον, οἱ δὲ Χρόνον καλοῦσι τὸ νοητὸν ἅπαν καὶ τὸ ἡνωμένον, ἐξ οὗ διακριθῆναι ἢ θεὸν ἀγαθὸν καὶ δαίμονα κακό ν , ἢ φῶς καὶ σκότος πρὸ τούτων, ὡς ἐνίους λέγειν. Οὗτοι δὲ οὖν καὶ αὐτοὶ μετὰ τὴν ἀδιάκριτον φύσιν διακρινομένην ποιοῦσι τὴν διττὴν συστοιχίαν τῶν κρειττόνων, τῆς μὲν ἡγεῖσθαι τὸν Ὠρομάσδη, τῆς δὲ τὸν Ἀρειμάνιο ν. Σιδώνιοι δὲ κατὰ τὸν αὐτὸν συγγραφέα πρὸ πάντων Χρόνο ν.

1.323 ὑποτίθενται καὶ Πόθον καὶ Ὀμίχλη ν , Πόθου δὲ καὶ Ὁμίχλης μιγέντων ὡς δυεῖν ἀρχῶν Ἀέρα γενέσθαι καὶ Αὔρα ν , Ἀέρα μὲν ἄκρατον τοῦ νοητοῦ παραδηλοῦντες, Αὔραν δὲ τὸ ἐξ αὐτοῦ κινούμενον τοῦ νοητοῦ ζωτικὸν προτύπωμα. Πάλιν δὲ ἐκ τούτων ἀμφοῖν Ὦτον γεννηθῆναι κατὰ τὸν νοῦν, οἶμαι, τὸν νοητόν. Ὡς δὲ ἔξωθεν Εὐδήμου τὴν Φοινίκων εὑρίσκομεν κατὰ Μῶχον μυθολογίαν, Αἰθὴρ ἦν τὸ πρῶτον καὶ Ἀὴρ αἱ δύο αὗται ἀρχαί, ἐξ ὧν γεννᾶται Οὐλωμός, ὁ νοητὸς θεός, αὐτό, οἶμαι, τὸ ἄκρον τοῦ νοητοῦ· ἐξ οὗ ἑαυτῷ συνελθόντος γεννηθῆναί φασι Χουσωρόν, ἀνοιγέα πρῶτον, εἶτα ὠό ν, τοῦτον μέν, οἶμαι, τὸν νοητὸν νοῦν λέγοντες, τὸν δὲ ἀνοιγέα Χουσωρόν, τὴν νοητὴν δύναμιν ἅτε πρώτην διακρίνασαν τὴν ἀδιάκριτον φύσιν, εἰ μὴ ἄρα μετὰ τὰς δύο ἀρχὰς τὸ μὲν ἄκρον ἐστὶν Ἄνεμος ὁ εἷς, τὸ δὲ μέσον οἱ δύο ἄνεμοι Λίψ τε καὶ Νότο ς· ποιοῦσι γάρ πως καὶ τούτους πρὸ τοῦ Οὐλωμο ῦ· ὁ δὲ Οὐλωμὸς αὐτὸς ὁ νοητὸς εἴη νοῦς, ὁ δὲ ἀνοιγεὺς Χουσωρὸς ἡ μετὰ τὸ νοητὸν πρώτη τάξις, τὸ δὲ Ὠὸν ὁ οὐρανός· λέγεται γὰρ ἐξ αὐτοῦ ῥαγέντος εἰς δύο γενέσθαι Οὐρανὸς καὶ Γ ῆ, τῶν διχοτομημάτων ἑκάτερον. Αἰγυπτίων δὲ ὁ μὲν Εὔδημος οὐδὲν ἀκριβὲς ἱστορεῖ, οἱ δὲ Αἰγύπτιοι καθ’ ἡμᾶς φιλόσοφοι γεγονότες ἐξήνεγκαν αὐτῶν τὴν ἀλήθειαν κεκρυμμένην εὑρόντες ἐν αἰγυπτίοις δή τισι λόγοις, ὡς εἴη κατ’ αὐτοὺς ἡ μὲν μία τῶν ὅλων ἀρχὴ σκότος ἄγνωστον ὑμνουμένη, καὶ τοῦτο τρὶς ἀναφωνούμενον οὕτως, τὰς δὲ δύο ἀρχὰς Ὕδωρ καὶ Ψάμμον, ὡς Ἡραΐσκος, ὡς δὲ ὁ πρεσβύτερος αὐτὸς Ἀσκληπιάδης, Ψάμμον καὶ Ὕδω ρ, ἐξ ὧν καὶ μεθ’ ἃς γεννηθῆναι τὸν πρῶτον Καμηφίν, εἶτα τὸν δεύτερον ἀπὸ τούτου, εἶτα καὶ ἀπὸ τούτου τὸν τρίτον, οὓς συμπληροῦν τὸν ὅλον νοητὸν διάκοσμον.

1.324 Οὕτω μὲν Ἀσκληπιάδη ς. Ὁ δὲ νεώτερος Ἡραΐσκος τὸν τρίτον ὀνομασθέντα Καμηφὶν ἀπὸ τοῦ πατρὸς καὶ τοῦ πάππου τὸν Ἥλιον εἶναί φησιν αὐτὸν δήπου τὸν νοῦν τὸν νοητόν. Ἀλλὰ τὴν μὲν περὶ τούτων ἀκρίβειαν ἐξ ἐκείνων ληπτέον, ἰστέον δὲ καὶ ἐκεῖνο περὶ τῶν Αἰγυπτίων ὅτι διαιρετικοί εἰσι πολλαχοῦ τῶν κατὰ ἕνωσιν ὑφεστώτων, ἐπεὶ καὶ τὸ νοητὸν διῃρήκασιν εἰς πολλῶν θεῶν ἰδιότητας, ὡς ἔξεστι μαθεῖν τοῖς ἐκείνων συγγράμμασιν ἐντυχοῦσι τοῖς βουλομένοις, λέγω δὲ τῇ Ἡραΐσκου ἀναγραφῇ τοῦ αἰγυπτίου καθ’ ὅλον λόγου πρὸς τὸν Πρόκλον γραφείσῃ τὸν φιλόσοφον, καὶ τῇ ἀρξαμένῃ γράφεσθαι συμφωνίᾳ ὑπὸ Ἀσκληπιάδου τῶν Αἰγυπτίων πρὸς τοὺς ἄλλους θεολόγου ς. ΔΑΜΑΣΚΙΟΥ ΔΙΑΔΟΧΟΥ ΑΠΟΡΙΑΙ ΚΑΙ ΛΥΣΕΙΣ ΠΕΡΙ ΤΩΝ ΠΡΩΤΩΝ ΑΡΧΩΝ Ἐπὶ τούτοις περὶ μεθέξεως πραγματευτέον τῶν πρώτων ἀρχῶν καὶ τοῦ νοητοῦ παντός, ὅπερ τὸ ἡνωμένον εἶναί φαμεν· εἰ μετέχεται ταῦτα ὑπὸ τῶν δευτέρων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁπάντων, ἢ οὐ μετέχεται; ἢ πῶς μέν, πῶς δ’ οὔ; ὅτι μὲν γὰρ οὐσία ἐστὶ διττή, ἡ μὲν μεθεκτή, ἡ δὲ ἀμέθεκτος, καὶ ζωὴ ὁμοίως, καὶ νοῦς τὸν αὐτὸν τρόπον, εἴρηται πρότερον καὶ δέδεικται μετρίως.

2.1.(1t) Ἔστι δὲ ὅμως καὶ περὶ τούτων ἐπιζητητέον εἰ μέχρι τῶν ἀτόμων πρόεισιν αὐτῶν τις ὑπόστασις, καὶ εἰ μέχρι τῶν γιγνομένων καὶ ἀπολλυμένων. Πρῶτον οὖν ῥητέον τί τὸ ὄνομα σημαίνει τὸ μετέχειν, καὶ τί λέγομεν τὴν μέθεξι ν· ἢ βούλεται δηλοῦν τὸ ἔχειν μέν, ἀλλὰ μετὰ ἄλλο καὶ ἀπὸ ἄλλου, καὶ ἔχειν δεύτερον, ἀλλ’ οὐ πρῶτον, καὶ ἔχειν ἄλλο ὂν μετ’ ἐκεῖνο, ὅ ἐστιν ἕτερόν τι, ὃ μή ἐστι, καὶ μέθεξιν εἶναί τινος, ἀλλ’ οὐχ ὕπαρξιν, ἀρχηγὸν καὶ πρωτότυπον· ὥστε τὸ αὐτὸ εἶδος αὐτὸ μὲν εἶναι, ὅ ἐστιν, καθ’ ἑαυτό, μετέχεσθαι δὲ εἰς ἄλλο προϊὸν ἀπὸ ἄλλου· διττὸν δὲ τὸ μετεχόμενον, τὸ μὲν ὃ δίδωσι, τὸ δὲ αὐτὸ τὸ διδόμενον, καθ’ ὃ μετέχεται τὸ διδόν. Κατὰ γὰρ τὸ διδόμενον οἷον μετέχεται ὁ ἐν οὐρανῷ ἥλιος κατὰ τὸ ὑπ’ αὐτοῦ ἐνδιδόμενον φῶς τοῖς ἡμετέροις ὄμμασι· μετεχόμενον δὲ ὅμως καὶ τὸ διδόμενον, καὶ μετέχειν ἑκατέρου λέγομεν τὸ μετέχον τοῦ μὲν ὡς ἐπὶ ἄλλο μετὰ ἄλλο καὶ ἀπὸ ἄλλου προϊόντος, τοῦ δὲ ὡς διδόντος ἄλλῳ τὴν ἑαυτοῦ μεθ’ ἑαυτὸ ἰδιότητα. Τοσαῦτα μὲν περὶ τοῦ ὀνόματος. Ὅτι δέ ἐστί τι καὶ τοιοῦτον ἐν τοῖς πράγμασι, καὶ ἕτερον ἑτέρου μετέχει, ἀλλ’ οὐ καθ’ αὑτὸ ἕκαστον ἕστηκεν ἀπὸ τῶν ἄλλων μεμονωμένον, καὶ μόνον τοῦτο λεγόμενον, ὅ ἐστι, καθάπερ ἐπιχειρεῖ μὲν Πρωταγόρας ὑποτίθεσθαι, Λυκόφρων δὲ ἀπεφήνατο, δηλώσει ὁ λόγος, μέτρια βασανισθείς.

2.2 Τί γὰρ ἂν εἴη, φήσουσι, τὸ καλὸν ᾗ καλόν; τί δέ, τὸ δίκαιον ἕτερον ᾗ δίκαιον; οὐκοῦν οὔτε τὸ καλὸν δίκαιον ῥητέον, οὔτε τὸ δίκαιον καλόν. Τί δὲ ἄρα, τὸ καλὸν εἶναι; οὐ γὰρ ὂν τὸ καλόν, ἀλλ’ ὃ μόνον καλόν. Καὶ τὸ δίκαιον οὐκ ἔστιν· τὸ γάρ ἐστι τοῦ ὄντος ἴδιον· οὐδὲν ἄρα τῶν ἄλλων ἐστὶ παρὰ τὸ ὄν· οὐδὲ ἕστηκεν ἄρα παρὰ τὸ ἑστὼς ἕτερον· οὐδὲ κινεῖται παρὰ τὸ κινούμενον· πᾶν δ’ ἄρα παντὸς μέτοχον, καὶ ἓν μόνον ἑκάστου ὄνομα κατηγορητέον τὸ τῆς οἰκείας ἰδιότητος, συμπλέκειν δὲ μὴ δεῖν παραγγέλλουσι, μηδὲ λόγον ποιεῖν ὡς ἐπὶ μιᾶς φύσεως λεγόμενον ἀληθῶς. Καὶ γὰρ ὁ ἄνθρωπος ἄνθρωπος μόνον, οὔτε δὲ ζῷον, οὔτε λογικόν, οὔτε θνητόν· οὐδὲν γὰρ τούτων ὅπερ ἄνθρωπος. Ἔτι δέ, φασί, τὸ μετέχον, ὅ ἐστι μένον, λέγεται ἄλλου μετέχειν. Εἰ δὲ μένει τὸ αὐτὸ ὅπερ καὶ πρότερον, τί πλέον ἔσχεν, ὅτι μετέσχεν ἑτέρου; καὶ αὐτὸ δὲ τὸ μετασχεθὲν ἔμεινεν ἐπὶ τῆς ἑαυτοῦ ἰδιότητος ὅπερ ἦν ἐξ ἀρχῆς, ὥστε καὶ ἐκεῖνο τοῦ αὐτοῦ ὀνόματος ἀξιωτέον οὗπερ καὶ πρότερον. Ἐκ δὲ τρίτων ἑτέρῳ σύνεστιν ἕτερον ἢ κατὰ ἕνωσιν ἢ κατὰ σύγκρισιν ἢ κατὰ παράθεσιν. Καὶ τίνα τούτων ἐροῦμεν εἶναι τῶν συνουσιῶν τὴν μέθεξιν, ζητητέον· οὔτε γὰρ 〈κατὰ〉 παράθεσιν· ἀπαθῆ γὰρ ὑπὸ ἀλλήλων τὰ παρακείμενα, μετὰ δὲ πάθους τινὸς ἡ μέθεξις. Οὔτε κατὰ ἕνωσιν· δεῖ γὰρ ἀφωρίσθαι τὸ μετεχόμενον καὶ τὸ μετέχον· ἡ δὲ ἕνωσις ἓν ποιεῖ τὰ δύο, καὶ οὐκέτι μένει μετέχον καὶ μετεχόμενον. Ἀλλ’ οὐδὲ κατὰ σύγκρισιν, ὃ μάλιστα δοκεῖ· ἐκ δυοῖν γὰρ ὁμοταγῶν σύγκρισις, καὶ στοιχείων ἀμφοῖν μιᾶς ὑπάρξεως, ἀλλ’ οὐχὶ τοῦ μὲν μετέχοντος, τοῦ δὲ μετεχομένου. Τοιγαροῦν οὐκ ἂν εἴποι τις τὸ λευκὸν σῶμα σύγκρισιν εἶναι λευκότητος καὶ σώματος, ὥσπερ τὸ σῶμα τριχῇ διαστατόν. Καὶ γὰρ ἀεὶ βούλεται τὸ μετέχον ὑποκείμενον εἶναι τοῦ μετεχομένου· τοῦτο δὲ ὡς ἐν ὑποκειμένῳ ἐκείνῳ. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα λέγοιεν ἂν οἱ πρὸς τὴν μέθεξιν ἀποροῦντες καὶ μηδὲν ἀξιοῦντες ἄλλο ἄλλου μετέχειν. Ἀλλὰ μὴν δεινὸς ὁ λόγος, εἰ διεσπασμένα πάντα ποιήσει ἀπ’ ἀλλήλων καὶ μηδενὸς κοινωνοῦντα ἑνός, μηδὲ αὐτοῦ τοῦ ἑνός, εἴπερ ὁ αὐτὸς ἁρμόσει καὶ περὶ τοῦ ἑνὸς λόγος, ἀναιρήσει δὲ καὶ πολλὰ τῶν ὁμολογουμένων εἰδῶν, οἷον τὴν ταυτότητα, τὴν ὁμοιότητα, τὴν ἰσότητα, τὴν ἕνωσιν ὅλην, καὶ αὐτήν γε τὴν ὁλότητα.

2.3 Τῶν γὰρ μερῶν ἕκαστον μετέχειν ἀνάγκη μιᾶς ὁλότητος· ἀνατρέπει δὲ καὶ πᾶσαν ἐπιστήμην, εἴπερ οὐκ ἐνδέχεται ἄλλο ἄλλου κατηγορεῖν οὔτε λέγοντας οὔτε νοοῦντας· ὥστε καὶ αὐτὸς ἑαυτὸν διαφθερεῖ ὁ λόγος. Οὐ γὰρ ἐξέσται αὐτῷ λέγειν κεχωρίσθαι ἀλλήλων τὰ πράγματα·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεθέξει γὰρ τοῦ αὐτοῦ δῆλον ὅτι πάντα τοῦ πρὸς ἄλληλα χωρισμοῦ. Καὶ μὴν εἰς τὰ πράγματα ἀποβλέπουσι φανερὸν ὅτι μετέχει ἄλλα ἄλλων, καί τινα τῶν αὐτῶν. Τά τε γὰρ ἐν τῇ ὕλῃ εἴδη φαίνεται οὕτως ἔχοντα, οἷον τὰ στοιχεῖα μετέχει ἀλλήλων· καὶ τὰ ἐκ στοιχείων, αὐτῶν τε τῶν στοιχείων καὶ αὐτὰ ἀλλήλων· θερμαίνεται γὰρ τὸ ἡμέτερον σῶμα καὶ ψύχεται, ἔτι δὲ τρέφεται ἀπὸ φυτῶν τε καὶ τῶν ἄλλων καρπῶν. Αἱ δὲ αἰσθήσεις οὐκ εἰδοποιοῦνται τοῖς αἰσθητοῖς; ἐπιθυμία δὲ καὶ θυμὸς οὐχὶ καὶ πρὸς τὸ χεῖρον ἀλλοιοῦται καὶ πρὸς τὸ κρεῖττον; ἡ δὲ λογικὴ ψυχὴ οὐ παιδεύεται τὴν τοῦ παιδεύοντος μεταλαμβάνουσα παιδείαν; οὐ πυθαγορικὴ γίνεται φιλοσοφοῦσα; οὐ πλατωνική; τὸ δὲ Σωκράτους ἐκεῖνο· ὅπως ἂν ἄλλος τὸ ἄλλου πάθος ἐγνώρισεν, εἰ μή τι κοινὸν ἦν πρὸς ἀλλήλους; καὶ δῆλον ὅτι ἀφ’ ἑνὸς ἀεὶ τὸ κοινόν. Τί δέ, τὰ χείρω οὐ μετέχει σαφῶς τῶν ὑπερτέρων, οἷον ἡ ὕλη τῶν εἰδῶν; τὸ γοῦν ξύλον ἐσχημάτισται καὶ τέτμηται τῷ πρίονι, καὶ εἰς θρόνον μεμόρφωται, τὸ δὲ σῶμα οὐ ζῇ καὶ κινεῖται ἔνδοθεν, οὐχ ᾗπερ τὸ ἄψυχον ἔξωθεν; ὁ ὧδε ἀὴρ καὶ πᾶν τὸ ὑποσέληνον οὐ φωτίζεται τῷ οὐρανίῳ φωτί; οὐ πᾶσι δὲ τοῖς ἐνύλοις τὰ ἄϋλα χορηγεῖ τὴν ἄπαυστον δύναμιν; Ἔτι δὲ λογικώτερον εἰπεῖν, ἄνθρωπος καὶ ἵππος εἶδος ἑκάτερον, ζῷον ἑκάτερον, ὂν ἑκάτερον, ἓν ἑκάτερον, καὶ πάντα κοινὰ πλὴν τῆς ἰδιότητος ἑκάστης, καὶ τὰ κοινὰ τῆς ἰδιότητός ἐστι καὶ ἐκείνης οἷον στοιχεῖα, ἀλλ’ οὐκ ἐφ’ ἑαυτῶν. Ὃ γὰρ μή ἐστιν ἑαυτοῦ καὶ καθ’ ἑαυτὸ, καὶ πρῶτον αὐτὸ, τούτου μέθεξίς ἐστιν ἀφ’ ἑτέρου εἰς ἕτερον ἐλθοῦσα, ὡς ἐλέγομεν. Ἀλλὰ ταῦτα μὲν ἴσως ὁμολογεῖται. Πῶς δὲ τοὺς ἐναντίους ἀπολυσόμεθα λόγους; ἢ ῥητέον ὡς τὰ μὲν εἴδη οὐδὲ πέφυκεν ὑφίστασθαι χωρὶς ἀλλήλων, ἀφ’ ἑαυτοῦ μόνου ἕκαστον; δεῖ γὰρ τὴν κίνησιν ἑστάναι, καὶ τὴν στάσιν κινεῖσθαι· εἰ δὲ μή, οὔτε μενεῖ ἡ κίνησις ἐν τῷ ᾧ ἐστιν, οὔτε ἐνεργήσει ἡ στάσις, καθόσον ἐστίν.

2.4 Ὁμοίως δὲ καὶ τὸ καλὸν καὶ τὸ δίκαιον ἀντιμετέχει ἀλλήλων, τὸ μὲν καλὸν τοῦ δικαίου, ἵνα τὴν οἰκείαν ἐνέργειαν ἐνεργῇ καὶ ἀσύγχυτον ᾖ πρὸς τὰ ἄλλα· τὸ δὲ δίκαιον τοῦ καλοῦ, ἵνα ἐραστὸν ᾖ καὶ ἀγαπητὸν καὶ ἐπαινετόν. Ὅμοια δὲ λέγειν καὶ ἐπὶ τῶν πλείστων εὐπορήσομεν. Τὰ μὲν οὖν εἴδη, ὅπερ ἔφην, ἀνάγκη μετέχειν ἀλλήλων, αἱ δὲ ἰδιότητες ἐπινοούμεναι, καθ’ ἑαυτὰς οὐκ οὖσαι λέγω, τὰς ἀπορίας ἡμῖν ἐργάζονται, ἐπεὶ κατὰ ἀλήθειαν οὐδὲ .....

Eulogikon public reading copy · View original HTML at eulogikon.org